Montanum quendam prophetam, cum Priscilla et Maximilla prophetissis praedicant quibus inhaerentes a recta via deflectunt. Nam de patre et filio, ac spiritu sancto eadem cum ecclesia catholica sentiunt. Sed ab eius se communione separarunt, quod erroris spiritus ac doctrinas daemonum sequantur. Nos enim, inquiunt, coelestia oportet dona recipere. Sua quidem et ecclesia catholica dona divinitus accipit, sed quae vera dona sunt, et spiritus sancti ac prophetarum et apostolorum dominique ipsius auctoritate comprobata. Ioannes siquidem apostolus sic in epistola sua nos admonet: *Probate spiritus, si ex deo sunt.* Et rursum: *Audistis quia Antichristus venit; et nunc Antichristi multi sunt. E nobis exierunt, sed non erant e nobis. Si enim e nobis fuissent, mansissent utique vobiscum: sed ut manifesti fiant, quoniam non sunt e nobis, idcirco scribo vobis, filioli etc.* Quocirca verum est illos e sanctorum grege non esse. Ab iis enim contendendi studio recesserunt, et erroris ac fabularum auctores spiritus consectati sunt. 1. Ioann. 4, 1. 1. Ioann. 2, 18.

Cap. II. Ecce tibi vel eo ipso, quod sibi propositum habent, aperte convincuntur nequaquam istud ipsum, quod contentiosa illa ambitione prae se ferunt, obtinere posse. Nam si coelestia illa dona recipienda sunt, iisque praeditam ecclesiam esse convenit, cur post Montanum ac Priscillam et Maximillam nullos habent amplius prophetas? Divinumne est munus exhaustum? At in ecclesia catholica minime id quidem est exhaustum. Absit. Quod si aliquo tenus prophetae vaticinati sunt, et vaticinari modo desinunt, consequens est, ne Priscillam quidem atque Maximillam, secundum apostolorum vaticinia quae in ecclesia recepta sunt, oraculum ullum edidisse. Quamobrem utrimque illorum insania constringitur. Nam aut prophetas post Maximillam aliquos ostendant, ne ea, quam illi iactitant, gratia extincta videatur, aut Maximilla cum suis falsae vatis nomine censendae sunt, quae post praescriptum prophetici doni officiique tempus non sancti spiritus, sed immissi a daemonibus erroris afflatum admittere non sunt veritae, ac suis auditoribus illudere. Enimvero ex iis ipsis, quae asserunt, eorum mendacia refellentur. Sic enim vates illorum Maximilla praedicat: *Post me nulla amplius erit prophetissa, sed finis sequetur.* Vides ut undique se prodat erroris spiritus? Nam quaecumque prophetae locuti sunt, ea scientes intelligentesque dixerunt, planeque uti nuntiata sunt acciderunt, et hodie-

2. *Parum accurate haec verba converterunt interpretes. Verte:* et audientibus illudere, audientes utique etiam quomodo ex iis ipsis quae asserunt illorum mendacia refelluntur.

πληροῦται. Αὕτη δὲ εἶπε μετ' αὐτὴν εἶναι συντέλειαν, καὶ οὔπω συνετελέσθη, μάλιστα τοσούτων βασιλέων γενομένων, καὶ τοσούτου χρόνου pag. 404. *ὑπερβεβηκότος. Ἔτη γάρ εἰσιν ἔκτοτε πλείω ἢ ἐλάσσω διακόσια* [3] *ἐννεακαίδεκα ἕως τοῦ ἡμετέρου χρόνου, δωδεκάτου ἔτους Οὐαλεντινιανοῦ καὶ Οὐάλεντος καὶ Γρατιανοῦ βασιλείας, καὶ οὔτε ἡ συντέλεια κατὰ τὴν ἠχήσασαν ἑαυτὴν προφήτιδα, μὴ γνοῦσαν μήτε τὴν ἡμέραν τῆς αὐτῆς τελευτῆς. Καὶ ἰδεῖν ἔστι πῶς πάντες οἱ ἀπὸ τῆς ἀληθείας ἑαυτοὺς ἀλλοτριώσαντες οὐκ ἐν εὐσταθείᾳ τινὶ λόγου μεμενήκασιν, ἀλλ' ὡς νήπιοι ὑπὸ τοῦ ἀεὶ πλανῶντος ὄφεως παραπεποιημένοι εἰς ἀπώλειαν ἑαυτοὺς ἐκδεδώκασι, καὶ εἰς τὸ γενέσθαι κατάβρωμα τοῦ λύκου, ἐκ τῆς μάνδρας αἱρεθέντες παρελκυσθῆναι καὶ οὕτως ἀπολέσθαι, μὴ κρατοῦντες τὴν ἀρχὴν, ἀλλὰ καταλείψαντες τὴν ἀλήθειαν, ἐν ναυαγίῳ ἑαυτοὺς καὶ ἐν κλύδωνι τῆς πάσης πλάνης παραδεδώκασιν. Εἰ γὰρ λέξει Μαξιμίλλα ὅτι προφήτης οὐκέτι ἔσται, ἄρα ἀναιρεῖ τὸ εἶναι παρ' αὐτοῖς τὸ χάρισμα, καὶ εἰς ἔτι δεῦρο φέρεσθαι· εἰ δὲ ἕως αὐτῆς, ὡς προεῖπον μὲν, τὸ χάρισμα,* [4] *ἄρα καὶ αὐτὴ οὐ μετέσχε τῶν χαρισμάτων.*

Κεφ. γ'. *Πεπλάνηται γάρ. Ἐσφράγισε γὰρ ὁ κύριος τὴν ἐκκλησίαν, καὶ ἐπλήρωσεν* [1] *αὐτῇ τὰ χαρίσματα. Ὅτε γὰρ ἦν χρεία ἐν προφήταις, ἐν ἀληθινῷ πνεύματι καὶ ἐρρωμένῃ διανοίᾳ καὶ παρακολουθοῦντι νῷ οἱ αὐτοῦ ἅγιοι τὰ πάντα προεφήτευσαν, ἐμπιπλώμενοι πνεύματος ἁγίου κατὰ τὴν ἀναλογίαν τῶν ἐκ πνεύματος χαρισμάτων ἑκάστῳ διδομένων, καὶ κατὰ τὴν ἀναλογίαν τῆς πίστεως πρὸς τὸ συμφέρον. Τί οὖν συμφέρον οὗτοι εἰρήκασιν; ἢ ποῖον ἀνάλογον τῆς πίστεως; Πῶς δὲ οὐχὶ μᾶλλον οὗτοί εἰσι περὶ ὧν εἶπεν ὁ κύριος ὅτι, Προςέχετε ἀπὸ τῶν ψευδοπροφητῶν, οἵτινες ἔρχονται πρὸς ὑμᾶς ἐν ἐνδύμασι προβάτων, ἔσωθεν δέ εἰσι λύκοι ἅρπαγες; Συγκρίνοντες γὰρ τὰ παρ' αὐτῶν εἰρημένα καὶ* [2] *κατὰ τὴν παλαιὰν διαθήκην καὶ καινὴν ἐν ἀληθείᾳ ὄντα καὶ ἐν ἀληθείᾳ γενόμενα καὶ πεπροφητευμένα δοκιμάσωμεν ποία προφητεία τυγχάνει, καὶ ποία ψευδοπροφητεία. Ὁ προφήτης μετὰ καταστάσεως λογισμῶν καὶ παρακολουθήσεως ἐλάλει καὶ ἐφθέγγετο ἐκ πνεύματος ἁγίου, τὰ πάντα ἐρρωμένως λέγων· ὡς Μωϋσῆς ὁ θεράπων τοῦ θεοῦ* pag. 405. *καὶ πιστὸς ἐν οἴκῳ Ὁ βλέπων* [3] *ἐλέγετο. Ὁ προφήτης ἐν τῇ παλαιᾷ διαθήκῃ, Ὅρασις, φησὶν, ἣν εἶδεν Ἡσαΐας υἱὸς Ἀμὼς ὁ προφήτης· Εἶδον, φησὶ, τὸν κύριον καθήμενον ἐπὶ θρόνου ὑψηλοῦ, καὶ ἐπηρμένου· καὶ εἶδον Σεραφὶμ καὶ Χερουβίμ· καὶ ἤκουσα φωνῆς κυρίου λεγούσης πρός με, Βάδιζε, εἶπον τῷ λαῷ τούτῳ, Ἀκοῇ ἀκούσητε, καὶ*

3. *Emendatio est Ios. Scaligeri*, cum *libri omnes* (*etiam cod. Venet.*) *habeant* διακόσια ἐννενήκοντα. *Petavius volebat* διακόσια εἴκοσι.

4. *In libris vulgatis et in cod. Rhedig. scriptum est* ἄρα.

Cap. III. — 1. αὐτῇ *emendatio est Petavii. Libri habent* αὐτή.

que perficiuntur. At illa post se rerum omnium exitum fore praedixit, quod hactenus nondum accidisse cernimus, praesertim cum tot sibi imperatores successerint, ac tantum sit temporis interlapsum. Anni siquidem ad hoc tempus, qui est Valentiniani ac Valentis et Gratiani imperationis annus XII., plus minus CCXC numerantur, et tamen hic ille praedictus ab inani seseque ostentante prophetissa nondum rerum exitus advenit; quae quidem diem obitus sui minime compertum habuit. Hinc illud videre licet, omnes qui se a veritate segregant, nullam in sermonibus habere constantiam, sed infantium more ab impostore serpente deceptos ultro se in exitium perniciemque committere. Nam cum, ut a lupo devorentur, a caula longius aberrare ac perire voluerint, non *retento principio*, sed repudiata veritate, in naufragium errorumque omnium tempestatem sese coniecerunt. Nam si hoc Maximilla dixerit, prophetam amplius neminem futurum, divinum hoc illis munus funditus eripit, ut ad hodiernum tempus minime perseveret. Quod si ad illam usque, ut ante diximus, eadem propagata gratia est, ne ipsa quidem eiusmodi donorum compos est facta. Coloss. 2, 19.

Sed nimirum vehementer errat. Etenim deus ecclesiam suam velut obsignavit, ac divina illa munera complevit. Quamdiu enim prophetis opus fuit et veri spiritus instinctu, cum animi firmitate atque constantia et eorum quae loquerentur intelligentia sanctissimi viri sua omnia responsa et oracula dederunt, iidemque pro cuiusque concessorum a sancto spiritu donorum ac fidei ratione, communem ad utilitatem illo ipso spiritu repleti sunt. Quid igitur ab illis est ad hominum utilitatem praedictum, aut quae habita fidei ratio? Nonne eiusmodi potius habendi illi sunt de quibus locutus est dominus: *Attendite a falsis prophetis, qui veniunt ad vos in vestimentis ovium, intrinsecus autem sunt lupi rapaces?* Age vero quae ab illis dicuntur cum iis quae in utroque Testamento revera continentur, quaeque certissime gesta ac praedicta sunt, comparantes, discernamus quae sit vera quaeque falsa prophetis. Verus quippe propheta cum sui compos, tum ea quae dicebat intelligens, futura nuntiabat, proque eo ac spiritus sanctus impulerat, praecipuo quodam animi robore vaticinari solebat. Sic *servus ille dei Moyses, ac fidelis in domo.* Unde et *videns* in Vetere Testamento propheta dicitur. *Visio*, inquit, *quam vidit Isaias filius Amos propheta. Vidi dominum sedentem super thronum excelsum et elevatum. Et vidi Seraphim et Cherubim; et audivi vocem domini dicentem ad me. Vade dic populo huic: Auditu* Cap. III. Matth. 7, 15. Num. 12, 7. 1. Reg. 9, 9. Isai. 1, 1. et 6, 1 sqq.

2. *Repono* καὶ τὰ κατὰ τὴν *cett.*
3. *In libris perperam distinctum inveneram* ὁ βλέπων ἐλέγετο ὁ προφήτης ἐν τῇ παλαιᾷ διαθήκῃ. ὅρασις *cett.*

οὐ μὴ μάθητε, καὶ βλέποντες βλέψητε, καὶ οὐ μὴ ἴδητε. Καὶ ἀκούσας παρὰ τοῦ κυρίου ἐλθὼν πρὸς τὸν λαὸν ἔφη· Τάδε λέγει κύριος. Οὐχ ὁρᾷς ὅτι παρακολουθοῦντος ὁ λόγος, καὶ οὐκ ἐξισταμένου, οὔτε ὡς ἐξισταμένης διανοίας ἡ φθογγὴ ἀπεδίδοτο; ὡςαύτως δὲ καὶ Ἰεζεκιὴλ ὁ ἅγιος καὶ προφήτης ἀκούων παρὰ κυρίου ὅτι, Ποίησον σεαυτῷ ἄρτον ἐπὶ κόπρου ἀνθρωπείας, ἔλεγε· Μηδαμῶς, κύριε· οὐδέποτε κοινὸν καὶ ἀκάθαρτον εἰςῆλθεν εἰς τὸ στόμα μου. Γινώσκων γὰρ τὴν δι' ἀπειλὴν λεγομένην πρὸς αὐτὸν ῥῆσιν ὑπὸ κυρίου, καὶ οὐχ ὡς ἐν ἐκστάσει διανοίας φερόμενος ἐπεβάλλετο τοῦτο πράττειν, ἀλλ' [4] ἠξίου, ἐρρωμένην ἔχων τὴν διάνοιαν καὶ παρακολουθοῦσαν, καὶ ἔλεγε, Μηδαμῶς, κύριε. Ταῦτα γὰρ ἀληθῶς προφητῶν ἐν ἁγίῳ πνεύματι ἐρρωμένην ἐχόντων τὴν διάνοιαν καὶ τὴν διδασκαλίαν καὶ τὴν διαλογήν. Ὁ δὲ Δανιὴλ οὐχ εὑρίσκεται πάσης συνέσεως ἔμπλεως, καὶ τοῖς φρονήμασι παρακολουθῶν; ὃς τὰ αἰνίγματα τοῦ Ναβουχοδονόσωρ ἐπέλυσε, καὶ ἃ ἐκεῖνος δι' ὀνειράτων ἐθεάσατο, καὶ ἀπέστη ἀπ' αὐτοῦ τοῦ ἑωρακότος, οὕτως ὑπομιμνήσκει, καὶ τὴν ἐπίλυσιν εὐθὺς ἐπέφερεν ἐρρωμένῃ καταστάσει, καὶ ὑπερβολῇ χαρίσματος, περιττοτέρως τὴν φρόνησιν ἔχων ὑπὲρ πάντα ἄνθρωπον, διὰ τὸ χάρισμα τοῦ ἁγίου πνεύματος, τὸ σοφίζον ὄντως τὸν προφήτην, καὶ τοὺς διὰ τοῦ προφήτου τῆς διδασκαλίας τῆς ἀληθείας καταξιουμένους. Ἃ δὲ οὗτοι ἐπαγγέλλονται προφητεύειν, οὐδὲ εὐσταθοῦντες φανοῦνται, οὔτε παρακολουθίαν λόγου ἔχοντες. Λοξὰ γὰρ τὰ παρ' αὐτῶν ῥήματα καὶ σκαληνά, καὶ οὐδεμιᾶς ὀρθότητος ἐχόμενα.

Κεφ. δ'. Εὐθὺς γάρ ὁ Μοντανός φησιν, Ἰδού, ἄνθρωπος ὡςεὶ λύρα, κἀγὼ [1] ἵπταμαι ὡςεὶ πλῆκτρον· ὁ ἄνθρωπος κοιμᾶται, κἀγὼ γρηγορῶ· ἰδού, κύριός ἐστιν ὁ [2] ἐξιστάνων καρδίας ἀνθρώπων, καὶ διδοὺς καρδίας ἀνθρώποις. Τίς τοίνυν τῶν παρακολουθούντων καὶ pag. 406. μετὰ συνέσεως δεχομένων τὸν τῆς ὠφελείας λόγον καὶ τῆς ἑαυτῶν ζωῆς ἐπιμελομένων οὐ καταγνώσεται τῆς τοιαύτης παραπεποιημένης ὑποθέσεως καὶ τοῦ λόγου τοῦ αὐχοῦντος ἑαυτὸν ἐν προφήταις καταλέγεσθαι, μὴ δυναμένου τὰ ὅμοια λέγειν προφήταις; οὔτε γὰρ πνεῦμα ἅγιον ἐλάλησεν ἐν αὐτῷ. Τὸ γὰρ εἰπεῖν [3] Ἐφίπταμαι, καὶ Πλήσσω, καὶ [4] Γρηγορῶ, καὶ Ἐξιστᾷ κύριος καρδίας, ἐκστατικοῦ ῥήματα ὑπάρχει ταῦτα, καὶ οὐχὶ παρακολουθοῦντος, ἀλλὰ ἄλλον χαρακτῆρα [5] ὑποδεικνύοντος

4. *I. e.* deprecatus est.

Cap. IV. — 1. ἅπτομαι *volebat Galakerus Opp. Crit. p.* 795. ἐφίπταμαι *cod. Venet.*

2. ἐξιστάνων *scripsi cum Ios. Scaligero et Galakero pro* ἐκστάνων, *quod reperitur in cod. Rhedig. et in utraque editione. Cod. Regius, auctore Petavio, habet* ἐτάζων, *quod correctoris manus videtur esse. Scripturam* ἐξιστάνων *firmant ea quae infra leguntur* „καὶ ἐξιστᾷ κύριος καρδίας, καὶ ἐκστατικοῦ“ *cett.*

audietis, et non intelligetis, et videntes videbitis, et non aspicietis. Quae cum audisset a domino, tum ad populum accedens ita narrabat: *Haec dicit dominus.* Videsne intelligentis haec esse quae dicat, non eius qui extra potestatem exierit? Nam eiusmodi vox nullam fuisse mentis perturbationem significat. Ita sanctus Ezechiel propheta dicente domino, *Fac tibi panem in stercore humano,* respondit, Ezech. 4, 14. *Absit, domine: nihil unquam commune et immundum intravit in os meum.* Cum enim minitandi gratia sibi a domino dictum illud animadverteret, non velut e mentis statu deiectus statim facere istud aggressus est, sed constanti animi robore praeditus ac sibi praesens ita respondit, *Absit, domine.* Haec enim prophetarum revera propria sunt, qui firmam ac stabilem in spiritu sancto mentem retinent, ac docendi discernendique facultatem. Nam Daniel ipse nonne plenus omni sa- Dan. 2. pientia fuisse, quaeque animo conceperat plane intellexisse videtur? qui et Nabuchodonosoris aenigmata dissolvit, et quae ei per somnium oblata fuerant, sed illum ipsum qui viderat effugerant, non aliter in memoriam reduxit, et cum eadem animi firmitate ac coelesti illo dono uberrime perfusus citra ullam moram interpretatus est; cum prudentia, intelligentiaque ceteris hominibus antecelleret, ob eam scilicet qua praeditus erat spiritus sancti gratiam, quae non modo prophetam informat, sed et nos omnes, quibus illius adminiculo deus doctrinam veritatis impertit. At contra quae isti vaticinare se iactitant, neque certa cum animi firmitate praedicant, nec quae dicunt intelligentia consequuntur. Sed obliqua sunt illorum ac perplexa verba, nec recti omnino quicquam effutiunt.

Sic enim Montanus exempli gratia loquitur: *Ecce homo tan-* Cap. IV. *quam lyra, ego vero ceu plectrum volo. Homo dormit, ego vero vigilo. Ecce dominus est qui corda hominum in stuporem vertit, et corda dat hominibus.* Quis est igitur, qui si utilissimam fidei doctrinam percipiat, intelligentiaque comprehendat, ac vitae suae nonnullam curam habeat, non argumentum istiusmodi ab otioso homine confictum et arrogantiae plenam eius orationem condemnet, qui se prophetarum numero insolenter adscribet, cum interim eadem dicere quae olim prophetae nequeant? Non enim spiritus sanctus in illo locutus est. Atque haec ipsa verba: *Volo,* et *Percutio,* et *Vigilo,* et *Dominus corda in stuporem vertit,* furiosi hominis verba sunt, minimeque quae loquitur assequentis; in quo alia prorsus nota figura-

3. *ἐφάπτομαι corrigit Gatakerus l. l. ἐφίσταμαι habet cod. Venet. — Verbum πλήσσω, ne quid in verbis Montani supra adscriptis excidisse suspiceris, refer ad πλῆκτρον.*
4. ἐγρηγορῶ *cod. Venet.*
5. ὑποδεικνῦντος *cod. Venet.*

παρὰ τὸν χαρακτῆρα τοῦ ἁγίου πνεύματος, τοῦ ἐν προφήταις λελαληκότος.

Εἰ δὲ θελήσουσι παραπλέκειν τῇ ἀληθείᾳ τὸ ψεῦδος, καὶ ἀγνοεῖν τὸν νοῦν τὸν τῆς ἀκριβείας ἐπιμελόμενον, ἑαυτοῖς δὲ ἐπισωρεύειν λόγους δι' ὧν παραποιητεύονται τὴν ἑαυτῶν πλάνην ὁμοίαν τινὰ ἀποτελέσαι, [6] παραστήσουσιν ἀπὸ τοῦ τὴν ἁγίαν γραφὴν εἰρηκέναι, Ἐπέβαλεν ὁ θεὸς ἔκστασιν ἐπὶ τὸν Ἀδὰμ, καὶ ὕπνωσε. Καὶ οὐκέτι ὅμοιον τοῦτο ἐκείνου. [7] Οὐ γὰρ καὶ ἐνταῦθα σῶμα ἔμελλε πλάσσειν ὁ θεὸς, ἀφ' οὗ εἰς ἔκστασιν ἔφερεν, ἵνα τὰ ὅμοια ἐπενέγκῃ, δι' ὑπερβολὴν τῆς φιλανθρωπίας· τῷ γὰρ Ἀδὰμ ἐπήνεγκε τὴν ἔκστασιν τοῦ ὕπνου, οὐκ ἔκστασιν φρενῶν. Ἔκστασις δὲ κατὰ διαφορὰς πολλὰς ἔχει τὸν τρόπον. Ἔκστασις δι' ὑπερβολὴν θαύματος λέγεται· ἔκστασις λέγεται ἡ μανία, διὰ τὸ ἐκστῆναι τοῦ προκειμένου. Ἐκείνη δὲ ἡ τοῦ ὕπνου ἔκστασις κατὰ ἄλλον τρόπον ἐῤῥέθη, κατὰ τὴν φυσικὴν ἐνέργειαν, μάλιστα δὲ τῷ βαθυτάτως αὐτὴν ἐπενηνέχθαι τῷ ἁγίῳ Ἀδὰμ, καὶ ἐν χειρὶ θεοῦ πεπλασμένῳ.

Κεφ. ε'. Καὶ γὰρ ἀληθῶς ἔστιν ἰδεῖν, ὡς δικαίως ἔκστασιν ταύτην ἡ θεία γραφὴ [1] κέκληκεν. Ἐν τῷ γὰρ ὑπνοῦν τὸν ἄνθρωπον μεθίστανται πᾶσαι αἱ αἰσθήσεις εἰς ἀνάπαυσιν τραπεῖσαι. Ὡς οἷον εἰπεῖν, παροῦσα ἡ διορατικὴ οὐχ ὁρᾷ· ἀποκέκλεισται γὰρ τὸ ὄμμα, ἡσυχάζει τὸ κινοῦν ἐν τῷ ἀνθρώπῳ πνεῦμα, εἴτ' οὖν ψυχή. Δυςοδμίας οὔσης ἐν οἴκῳ καὶ εὐοδμίας, καί τοί γε παρούσης τῆς ὀσφραντικῆς αἰσθήσεως, οὐκ ἀντιλαμβάνεται· ἐξέστη γὰρ ἡ τοιαύτη αἴσθησις εἰς ἀνάπαυσιν τραπεῖσα. Πικρῶν ὄντων χυμῶν ἐν τῷ στόματι, ἢ ἁλμυρῶν, ἢ γλυκέων, τὸ γευστικὸν οὐκ αἰσθάνεται, ἐπειδήπερ ἐν ἐκστάσει τῆς ἀναπαύσεως pag. 407. κεῖται μὴ ἐνεργοῦν, ὅπερ ἐν τῷ ὕπαρ ἐνήργει. Ἀκοὴ πάρεστιν, ἀλλ' ἀργεῖ τὸ ἀκουστικὸν κατὰ τὴν αἴσθησιν, καὶ πολλάκις τῶν λαλούντων ἐν οἴκῳ, εἰ μή τι διυπνισθῇ ὁ ἄνθρωπος, οὐχ ὑπακούει τῶν παρά τινων ῥηθέντων, διὰ τὸ ἀποστῆναι τὴν ἐνέργειαν πρὸς τὴν ὥραν. Τινῶν κνωδάλων διερχομένων διὰ τοῦ ἡμετέρου σώματος οὐκ αἰσθανόμεθα τῆς αὐτῶν περὶ τὸ σῶμα ἡμῶν ἀφῆς, εἰ μή τι βαρέως ἐπιθῶνται ἡμῖν τὰ κνώδαλα, ὡς τοῦ παντὸς ὀργάνου διὰ τὴν ἀνάπαυσιν τοῦ ὕπνου ἐκστάντος ἀπὸ τῆς ἐνεργείας. Τὸ μὲν γὰρ ὄργανον φύσεως ὂν γηΐνης, καὶ [2] περιττὴν ψυχὴν ἔχον, διὰ τὸ οὕτως ἐκ θεοῦ τῶν χρησίμων ἡμῖν γεγενῆσθαι, ἀποδίδοται τῷ ὕπνῳ καιρὸς, μεθιστῶν αὐτὸ ἀπὸ τῆς ἐνεργεστάτης αἰσθήσεως εἰς μετάστασιν ἀναπαύσεως· αὐτὴ δὲ

6. *Male distinxerunt Cornarius et Petavius* πλάνην, ὁμοίαν τινὰ ἀποτελέσαι παραστήσουσιν, ἀπὸ *cett.*

7. *Verterim:* Neque enim, quod ad illum attinet, deus tum corpus figuraturus erat, ut illum in stuporem conicere opus haberet, et pariter eum, ut olim Adamum, afficiendo largae suae benignitati satisfaceret.

que cernitur quam quae spiritus sancti, qui per prophetas olim locutus est, germana videatur ac propria.

Quod si veritati mendacium admiscere voluerint, et accuratum sacrarum literarum dissimulare sensum, ac loca quaedam accumulare quibus errorem suum procudant et divinis oraculis quam simillimum reddant puta quod scriptura dixerit, *Misit deus ἔκστασιν, hoc est soporem, in Adam, et dormiit:* sciant longe aliam hic esse quam in illorum negotio rationem. Non enim, quod ad istos attinet, novum quoddam corpus a deo designabatur, cuius gratia, quod olim Adamo fecerat, pro sua benignitate stuporem immitteret. Nam Adami stupor ille somni quidam torpor extitit, non mentis insania. Stuporis porro vocabulum pluribus modis usurpari solet. Alius enim est, quem vehemens quaedam parit admiratio. Alias pro furore et insania sumitur, ex eo quod animus a proposito ἐκστῆναι, hoc est aberrare, dicitur. At ille somno stupor alio, nimirum ad naturales functiones, referendus est praesertim cum Adamo viro sancto ac dei manibus perpolito altissimus sit ille stupor iniectus. Gen. 2, 21.

Constat enim quam merito stuporis hoc nomen a scriptura fuerit usurpatum. Quandoquidem homine consopito sensus omnes ad quietem sese transferunt. Sic videndi facultas, exempli gratia, tametsi praesens adsit, clausis oculis nihil omnino discernit, propterea quod tum ille quo movemur spiritus sive anima requiescit. Sic quantavis domi fragrantia sit aut foetor, nihil tamen odoratu, qui sane praesens est, percipere possumus, eo quod sensui illi ad quietem composito velut quidam torpor obrepsit. Item licet amarus in ore sit sapor, aut salsus, aut dulcis, nihil gustatu sentitur, eo quod stupidus hic sensus ac sopitus functionem nullam exercet, cuiusmodi praestare vigilans solebat. Manet et auditus ipse, sed audiendi est facultas otiosa: adeo ut plerumque domi loquentibus nonnullis, nisi qui dormit expergefactus fuerit, quae ab iis dicuntur non audiat, quod omnis eo tempore intercepta sit actio. Postremo cum quaedam per corpus oberrent bestiae, harum contactus minime tum a nobis percipitur, nisi forte vehementius pupugerint. Cuius ea caussa est, quod sensus nostri domicilium in illa somni quiete ab omni actione cessaverit. Quod quidem sensus instrumentum, cum sit natura terrenum animaque nihilominus excellenti praeditum, quod ita deus utilitatis nostrae caussa constituit, suum habet somno tempus attributum, per quod ab acerrima sentiendi functione in quietem Cap. V.

Cap. V. — 1. κέκληκεν *correxi cum Petavio. Sic iterum cap.* 5 „ἔχει δὲ, *inquit,* περιττοτέρως ἐκείνην ἔκστασιν κέκληκεν." *Libri veteres habent* βέβληκεν.

2. περιττὴν *scripsi cum Petavio pro* περὶ τήν, *quod cod. Rhedig. et liber Cornarii praebent.*

ἡ ψυχὴ οὐκ ἐξέστη τοῦ ἡγεμονικοῦ, οὐδὲ τοῦ φρονήματος. Πολλάκις γὰρ φαντάζεται ἑαυτὴν, ὡς ἐν γρηγορήσει, καὶ περιπατεῖ καὶ ἐργάζεται καὶ ποντοπορεῖ, καὶ ἐν πλείοσι καὶ μείζοσι τούτων δι' ὀνειράτων ἑαυτὴν θεωμένη, οὐ μὴν κατὰ τὸν ἀφραίνοντα καὶ ἐν ἐκστάσει γινόμενον ἐκστατικὸν ἄνθρωπον, τὸν τῷ σώματι καὶ τῇ ψυχῇ ἐγρηγορότα τὰ δεινὰ μεταχειριζόμενον καὶ πολλάκις ἑαυτῷ δεινῶς χρώμενον καὶ τοῖς πέλας. Ἀγνοεῖ γὰρ ἃ φθέγγεταί τε καὶ πράττει, ἐπειδήπερ ἐν ἐκστάσει γέγονεν ἀφροσύνης ὁ τοιοῦτος.

Κεφ. ϛ'. Ταῦτα δὲ πάντα διὰ τὸ, Ἐπέβαλε κύριος ἔκστασιν ἐπὶ τὸν Ἀδὰμ καὶ ὕπνωσεν, ἀνάγκην ἐσχήκαμεν, ὦ ἐπιπόθητοι, συναγαγεῖν τὰς διαφορὰς τῶν τρόπων τῆς ἐκστάσεως, καὶ ἐφράσαμεν δι' ἣν αἰτίαν ἐκεῖ παρὰ κυρίου ἔκστασις εἴρηται ἡ τοῦ ὕπνου μετοχὴ, ὅτι διὰ τὴν τοῦ θεοῦ φειδὼ καὶ φιλανθρωπίαν, ἣν πᾶσι μὲν ἀνθρώποις ὁ αὐτὸς δεδώρηται εἰς τὸ μεταφέρεσθαι τὸν ἄνθρωπον ἀπὸ μερίμνης εἰς ἀνάπαυσιν ὕπνου, καὶ τῶν τῷ βίῳ χρειωδῶν πραγμάτων. Ἐκεῖ δὲ περιττοτέρως ἐκείνην ἔκστασιν κέκληκε, διὰ τὸ ποιῆσαι αὐτὸν πρὸς τὴν ὥραν μὴ αἰσθάνεσθαι πόνου, δι' ἣν ἔμελλε λαμβάνειν πλευρὰν ἀπ' αὐτοῦ, καὶ πλάττειν αὐτὴν αὐτῷ εἰς γυναῖκα· ἀλλὰ οὐκ ἦν ἔκστασις φρενῶν καὶ διανοημάτων. Εὐθὺς γὰρ ἀναστὰς ἐπέγνω, καὶ εἶπε· Τοῦτο νῦν ὀστοῦν ἐκ τῶν ὀστῶν μου, καὶ σὰρξ ἐκ τῆς σαρκός μου· αὕτη
pag. 408. κληθήσεται γυνὴ, ὅτι ἐκ τοῦ ἀνδρὸς αὐτῆς ἐλήφθη αὕτη. Καὶ ἐπίσταται γὰρ, ὡς ὁρᾷς, καὶ τὰ πρῶτα καὶ τὰ παρόντα, καὶ προφητεύει περὶ τῶν μελλόντων. Ἰδοὺ γὰρ, ἐπέγνω τὰ πρῶτα, ὅτε ἦν ἐν ὕπνῳ, λέγων ὅτι, Ὀστοῦν ἐκ τῶν ὀστῶν μου· καὶ ἐπέγνω τὰ παρόντα, μετὰ τὸ πλασθῆναι τὴν γυναῖκα ἐπιγνοὺς αὐτὴν [1] ἀπὸ τοῦ σώματος ἡρμένην· καὶ προεφήτευσε περὶ τῶν ἐσομένων ὅτι, Ἕνεκεν τούτου καταλείψει ἄνθρωπος τὸν πατέρα αὐτοῦ καὶ τὴν μητέρα αὐτοῦ, καὶ προσκολληθήσεται τῇ γυναικὶ αὐτοῦ, καὶ ἔσονται οἱ δύο εἰς σάρκα μίαν. Ταῦτα δὲ οὐκ [2] ἦν ἐκστατικοῦ ἀνδρὸς, οὐδὲ ἀπαρακολουθήτου, ἀλλὰ ἐρρωμένην ἔχοντος τὴν διάνοιαν.

Κεφ. ζ'. Εἰ δὲ καὶ περὶ τοῦ, Ἐγὼ εἶπον ἐν τῇ ἐκστάσει μου, Πᾶς ἄνθρωπος ψεύστης, λεκτέον, ἑτέρα πάλιν αὕτη ἡ δύναμις, οὐχ ὃν τρόπον τινὸς ἀφραίνοντος ἀνθρώπου καὶ ἐκστατικοῦ, μὴ γένοιτο, ἀλλὰ ὑπερθαυμάζοντος καὶ διανοουμένου [1] ὑπὲρ τῶν κατὰ τὴν συνήθειαν λογισμῶν τῶν συμμέτρως ὁρωμένων τε καὶ πραττομένων. Ἐπειδὴ γὰρ ἐθαύμασεν προφήτης, διὰ θαυμασμὸν ἐνταῦθα λέγει. Γεγόνασι δὲ ἐν ἐκστάσει οἱ προφῆται, οὐκ ἐν ἐκστάσει λογισμῶν. Γέγονε γὰρ καὶ Πέ-

Cap. VI. — 1. *Mallem* ἀπ' αὐτοῦ σώματος. 2. ἦν *correxi cum Petavio. Libri habent* οὐκ ἐν ἐκστατικοῦ ἀνδρός.

torporemque resolvitur. Interim animae pars illa praecipua intelligendique vis eiusmodi est stuporis expers. Saepe enim semetipsam sibi quasi vigilantem obiicit, ambulans, agens aliquid, navigans, atque in pluribus et maioribus negotiis versari per somnium existimat. Quamquam longe istud alio modo quam a furioso ac fanatico geritur, qui corpore animoque vigilans atrocia quaedam perpetrat, et cum sibi tum ceteris omnibus infestus est. Nescit enim quid dicat aut faciat, quoniam a rationis statu deiectus et in furorem versus est.

Haec nos omnia illius occasione loci: *Immisit deus stuporem in Adamum, et dormiit*, necessario disputavimus, ac diversos stuporis modos proposuimus, atque illud ipsum explicavimus, cuius rei gratia somnus ille iniectus a domino stupor appelletur. Nimirum hoc singulari dei cautione ac benignitate perfectum, quam generi hominum impertiit, quo se ad somni requiem a quotidiana negotiorum cura ac sollicitudine traduceret. Quamquam illic potiori iure stuporis vocabulum illud adhaeserit, eo quod aliquanto illum tempore ab omni sensu doloris exemit, cum ei costam detracturus esset quam in mulierem converteret. Non erat ille mentis aut animi stupor. Nam statim atque expergefactus est, quod gestum erat agnovit ac dixit: *Hoc nunc os ex ossibus meis et caro de carne mea: haec vocabitur virago, quia ex viro suo sumpta est.* Vides, opinor, quemadmodum tam priora quam posteriora noverit, ac futura praedicat. Etenim priora quidem intellexit, quae dormiente se gesta fuerant, ut ex iis illius verbis colligitur: *Os ex ossibus meis.* Praesentia vero ac mulieris procreationem subsecuta cognovit, quippe de suo corpore translatam illam animadvertit. Postremo futura quoque vaticinatus est, cum ita pronuntiavit: *Propter hoc relinquet homo patrem suum et matrem suam, et adhaerebit uxori suae, et erunt ambo in carnem unam.* Haec igitur non fanatici hominis sunt, non quid dicat ignorantis, sed animi robore ac firmitate praediti.

Cap. VI. — Gen. 2, 21.

Iam vero ut de loco illo: *Ego dixi in excessu meo, Omnis homo mendax*, aliquid dicamus, alia quaedam huius verbi notio est, non ea videlicet quae amenti ac furioso tribuitur. Absit ut id in animum inducamus. Sed hominem incredibilem in modum obstupescentem significat, et usitatis ac quotidianis eorum quae videntur aut aguntur cogitationibus majora versantem. Cum enim propheta miraculo esset attonitus, prae admiratione ita locutus est. Quod vero prophetae extra se rapti leguntur, non sic accipiendum est, quasi

Cap. VII. — Ps. 115, 11.

Cap. VII. — 1. ὑπὲρ τὸ κατὰ τὴν συνήθειαν *Petavius putabat scribendum.*

τρος ἐν ἐκστάσει, οὐχὶ μὴ παρακολουθῶν τῷ λόγῳ, ἀλλ' ὁρῶν τῆς καθημερινῆς ἀκολουθίας ἕτερα παρὰ τοῖς ἀνθρώποις ὁρώμενα. Εἶδε γὰρ ὀθόνην καθιεμένην, καὶ πάντα τὰ τετράποδα καὶ ἑρπετὰ καὶ τοῦ οὐρανοῦ τὰ πετεινὰ ἐν αὐτῇ. Ὅρα δὲ ὅτι [2] παρακολουθεῖ, καὶ οὐκ ἦν ἐν ἐκστάσει φρενῶν ὁ ἅγιος Πέτρος. Ὅτε γὰρ ἤκουσεν, Ἀνάστα, θῦσον καὶ φάγε, οὐχ ὡς μὴ τὸν νοῦν ἐῤῥωμένος ἐπείσθη, ἀλλά φησι πρὸς τὸν κύριον, Μηδαμῶς, κύριε· οὐδέποτε κοινὸν ἢ ἀκάθαρτον εἰςῆλθεν εἰς τὸ στόμα μου. Καὶ Δαβὶδ ὁ ἅγιος εἶπεν ὅτι, Πᾶς ἄνθρωπος ψεύστης· ὁ δὲ λέγων, Εἶπον ἐγὼ, ἰδίᾳ ἔλεγε, καὶ περὶ τῶν ἀνθρώπων, ὅτι, ἔλεγε, ψεύδονται. Ἄρα αὐτὸς οὐκ ἐψεύδετο, ἐκπληττόμενος δὲ καὶ θαυμάζων τὴν [3] αὐτοῦ φιλανθρωπίαν καὶ τὰ αὐτῷ παρὰ τοῦ κυρίου κεκηρυγμένα ἐθαύμαζε καθ' ὑπερβολὴν, καὶ ὁρῶν πάντα ἄνθρωπον ἐνδεόμενον τοῦ ἐλέους τοῦ θεοῦ μόνῳ κυρίῳ τὸ ἀληθεύειν ἐπέδωκε, πάντα δὲ ἄνθρωπον ὑπὸ ἐπιτίμιον ἔγνω, ἵνα δείξῃ τὸ ἀληθινὸν πνεῦμα τὸ ἐν προφήταις λαλῆσαν, καὶ τὰ βάθη αὐτοῖς
pag. 409. ἀποκαλύψαν τῆς τοῦ θεοῦ γνώσεως καὶ ἀκριβείας. Ἐγένετο δὲ καὶ Ἀβραὰμ ἐν ἐκστάσει, οὐκ ἐν ἐκστάσει φρενῶν, ἀλλὰ ἐκστάσει φόβου. Ἔβλεπε γὰρ κλίβανον καὶ λαμπάδας περὶ τὴν τοῦ ἡλίου δύσιν. Καὶ ἄλλοι προφῆται ὁρῶντες τὰ ὁράματα ἐν διανοίᾳ ἐῤῥωμένῃ ἔλεγον· ὡς ὁ Μωϋσῆς φησιν, Ἔμφοβός εἰμι καὶ ἔντρομος. Ἔγνω δὲ Ἀβραὰμ τὰ ὑπὸ τοῦ κυρίου λεγόμενα· Γινώσκων γνώσῃ ὅτι πάροικον ἔσται τὸ σπέρμα σου ἐν γῇ ἀλλοτρίᾳ ἔτη τετρακόσια. Καὶ ὁρᾷς ὡς ἔστι τὰ πάντα ἐν ἀληθείᾳ ἰδεῖν παρὰ τοῖς προφήταις εἰρημένα, καὶ ἐν ἐῤῥωμένῃ διανοίᾳ, καὶ ἐν σώφρονι λογισμῷ, καὶ οὐκ ἐν παραπληξίᾳ.

Κεφ. η'. Εἰ δὲ καὶ πάλιν θελήσουσι λέγειν οὐχ ὅμοια τὰ πρῶτα χαρίσματα τοῖς ἐσχάτοις, πόθεν τοῦτο ἔχουσι δεῖξαι; ὁμοίως γὰρ ἀλλήλοις οἱ ἅγιοι προφῆται καὶ οἱ ἅγιοι ἀπόστολοι προεφήτευσαν. Πρῶτον μὲν οὖν ἀνερχομένου τοῦ σωτῆρος εἰς τὸν οὐρανὸν [1] καὶ ἰδόντες τοὺς δύο τοὺς ἐν ἐσθήσεσι λευκαῖς οὐκ ἐν παραπληξίᾳ ὁρῶσιν, ἀλλὰ ἤκουον ἐῤῥωμένῃ τῇ διανοίᾳ ὅτι, Ἄνδρες Γαλιλαῖοι, τί ἑστήκατε εἰς τὸν οὐρανὸν ἀτενίζοντες; οὗτος ὁ Ἰησοῦς ἀφ' ὑμῶν εἰς τὸν οὐρανὸν ἀναληφθεὶς οὕτως ἐλεύσεται, καὶ τὰ ἑξῆς. Εἶτα δὲ καὶ ὁ Πέτρος, ὡς ἔφην, ὁρῶν καὶ ἀκούων καὶ ἀποκρινόμενος καὶ λέγων, Μηδαμῶς, κύριε, εὐσταθῶν ἦν τῇ διανοίᾳ. Ἀγαβὸς γὰρ προφητεύων ἔλεγε, καὶ κατὰ σχήματος θαυμαστοῦ αἰνιττόμενος λαβὼν τὴν ζώνην τοῦ Παύλου, καὶ δήσας

2. *Fortasse reponendum est* παρηκολούθει.

3. *Rescribo* θεοῦ φιλανθρωπίαν.

Cap. VIII. — 1. *Fortasse* κατιδόντες.

rationis usum amiserint. Nam et Petrus extra se raptus aliquando dicitur, non quod habitum ultro citroque sermonem ignorarit, sed quod praeter quotidianum usum nonnulla fieri inter homines animadverteret. *Vidit enim linteum demissum, et omnia quadrupedia ac reptilia et coeli volucres in eo contineri.* Quam porro quae dicerentur animo perceperit, nec a statu rationis alienus fuerit, ex eo potes discernere quod, cum audisset: *Surge, occide et manduca,* non illico velut mentis minime compos obsequitur, sed ita domino respondet: *Absit, domine: nihil unquam commune vel immundum intravit in os meum.* Quod autem ad Davidem attinet, qui dixit, *Omnis homo mendax,* cum adiecit, *Ego dixi,* privatim et ex sua persona locutus est, ut mentiri homines affirmaret, mendacii ipse esset expers. Sed nimirum dei benignitatem vehementer admiratus est, tum quod numinis afflatu quamplurima olim ventura praedixisset, cumque universis hominibus necessariam esse dei misericordiam cerneret, soli domino veritatem attribuit, ac mortales omnes reprehensioni obnoxios esse pronuntiavit; ut verum in prophetis locutum esse spiritum ostenderet, cumque iis altissima divinae cognitionis accurataeque scientiae arcana communicasse. Abraamus itidem extra se fuisse raptus scribitur, non ut animi impotens esset, sed duntaxat timore perculsus. Vidit enim sub solis occasum clibanum cum lampadibus. Eodemque modo prophetae ceteri, cum obiecta sibi visa cernerent, in eodem mentis vigore perstiterunt. Sic enim Moyses dicebat: *Timore perculsus sum ac cohorrui.* Abraamus vero quae a domino sunt dicta percepit: *Scito praenoscens, quod peregrinum futurum sit semen tuum in terra aliena annis quadringentis.* Iam illud animadvertere te puto, quae a prophetis pronuntiantur omnia et cum eadem animi praesentia et cum certa ac prudenti ratione proferri.

Act. 10, 11. — Hebr. 12, 21. — Gen. 15, 13.

Cap. VIII.

Quod si illud obiiciant, posterioribus donis priora non fuisse similia, quibusnam id argumentis efficient? Certe enim prophetae omnes, et apostoli non dissimili a se invicem ratione vaticinati sunt. Inprimis cum ascendente in coelum domino duos illos in vestibus albis aspicerent, non amentes furiosique viderunt, sed integro animi iudicio suique compotes audierunt: *Viri Galilaei, quid statis aspicientes in coelum? Hic Iesus, qui assumptus est a vobis in coelum, sic veniet, etc.* Quin et Petrus videns, uti dictum est, et audiens atque his verbis respondens: *Absit, domine,* eandem retinebat animi constantiam. Agabus similiter afflatu prophetico instructus admirabili quodam habitu gestuque quod futurum erat adumbrare volens

Act. 1, 11. — Act. 21, 11.

Quamquam illud καὶ *apte possis interpretari* vel, etiam, *ut aliquid mutare vix opus sit.*

τοῖς ἰδίοις ποσί φησιν οὕτως· Τὸν ἄνδρα οὗ ἐστιν ἡ ζώνη αὕτη, δήσουσιν αὐτὸν, καὶ ἀποίσουσιν εἰς Ἱερουσαλήμ. Ἀλλὰ καὶ πάλιν ἐν Ἀντιοχείᾳ κατῆλθον προφῆται, καὶ κατήγγελλον λιμὸν ἔσεσθαι καθ' ὅλης τῆς οἰκουμένης· καὶ οὐ διέπεσεν ὁ τούτων λόγος. Ἀλλ' ἵνα δείξῃ αὐτοὺς ἀληθινοὺς προφήτας, ἡ γραφὴ εὐθὺς ἐπιφέρει λέγουσα, Ἥτις ἐγένετο ἐπὶ Κλαυδίου Καίσαρος. Παῦλος δὲ ὁ ἁγιώτατος ἀπόστολος προφητεύων ἔλεγε, Τὸ δὲ πνεῦμα ῥητῶς λέγει, Ἐν ἐσχάταις ἡμέραις ἐνστήσονται καιροὶ χαλεποὶ, καὶ τὰ ἑξῆς· καὶ πάλιν ἄλλοτε ὅτι, Ἀποστήσονταί τινες τῆς ὑγιαινούσης διδασκαλίας, προςέχοντες πλάνοις καὶ
pag. 410. *διδασκαλίαις δαιμόνων, κωλυόντων γαμεῖν, ἀπέχεσθαι βρωμάτων, ἃ ὁ θεὸς ἔκτισεν εἰς μετάληψιν ἡμῖν, τοῖς μετ' εὐχαριστίας· ὡς σαφῶς ἐφ' ὑμῖν καὶ τοῖς ὁμοίοις ὑμῖν πεπλήρωται ἐξ αὐτῶν τῶν προκειμένων Αἱ γὰρ πλείους τῶν αἱρέσεων τούτων τοῦ γαμεῖν κωλύουσιν, ἀπέχεσθαι βρωμάτων παραγγέλλουσιν, οὐχ ἕνεκεν πολιτείας προτρεπόμενοι, οὐχ ἕνεκεν ἀρετῆς μείζονος καὶ βραβείων καὶ στεφάνων, ἀλλὰ βδελυκτὰ τὰ ὑπὸ τοῦ κυρίου γεγενημένα ἡγούμενοι.*

Κεφ. θ'. *Ἡ δὲ ἁγία ἐκκλησία καὶ παρθενίαν δοξάζει καὶ μονότητα, καὶ ἁγνείαν καὶ χηροσύνην ἐπαινεῖ, καὶ γάμον σεμνὸν τιμᾷ καὶ δέχεται, πορνείαν δὲ καὶ μοιχείαν καὶ ἀσέλγειαν ἀπαγορεύει. Ὅθεν ἰδεῖν ἔστι τὸν χαρακτῆρα τῆς ἁγίας καθολικῆς ἐκκλησίας καὶ τοὺς παραπεποιημένους τῶν ἄλλων τρόπους, καὶ τὰ δοκιμασθέντα ἀποδιδράσκειν ἀπὸ πάσης πλάνης καὶ σκολιᾶς ὁδοῦ καὶ τρίβου* [1] *ἐναντίως διακειμένης. Ἔφην γὰρ ἄνω ὡς ἀπὸ τοῦ ἁγίου ἀποστόλου προείρηται, καὶ πάλιν ἐρῶ, ὅτι ἀσφαλιζόμενος ἡμᾶς καὶ τὸν χαρακτῆρα τῆς ἁγίας ἐκκλησίας διαιρῶν ἀπὸ τῆς τῶν αἱρέσεων πλάνης ἔφη, ὡς τολμηρῶς τὰ ἐκ θεοῦ καλῶς τεταγμένα ἀπαγορεύοντες νομοθετοῦσι, φήσας περί τινων κωλυόντων γαμεῖν καὶ ἀπέχεσθαι βρωμάτων. Καὶ γὰρ συμμετρίᾳ τινὶ ὁ θεὸς λόγος ἐν τῷ εὐαγγελίῳ φήσας, Θέλεις τέλειος γενέσθαι; Συγγνωμονῶν τῇ τῶν ἀνθρώπων πλάσει καὶ* [2] *ἀσθενείᾳ χαίρει ἐπὶ τοῖς τὰ δοκίμια τῆς θεοσεβείας δυναμένοις ἐνδείκνυσθαι, παρθενίαν ἀσκεῖν αἱρουμένοις, καὶ ἁγνείαν καὶ ἐγκράτειαν· τὴν δὲ μονογαμίαν τιμᾷ, εἰ καὶ μάλιστα τὰ χαρίσματα τῆς ἱερωσύνης διὰ τῶν ἀπὸ μονογαμίας ἐγκρατευσαμένων καὶ τῶν ἐν παρθενίᾳ διατελούντων κοσμήσας προετύπου, ὡς καὶ οἱ αὐτοῦ ἀπόστολοι τὸν ἐκκλησιαστικὸν κανόνα τῆς ἱερωσύνης εὐτάκτως καὶ ὁσίως διετάξαντο. Εἰ δέ τις κατὰ ἀσθένειαν ἐπιδεηθείη μετὰ τὴν τελευτὴν τῆς ἰδίας γαμετῆς συναφθῆναι δευτέρῳ γάμῳ, οὐκ ἀπαγορεύει τοῦτο ὁ κανὼν τῆς ἀληθείας, τουτέστι τὸν μὴ*

CAP. IX. — 1. ἐναντίως διακειμένης *scripsi Petavium secutus. Cod. Rhedig. habet* ἄναντι διακειμένης, *editi libri* ἀνάντη διακειμένης. *Olim incideram in* ἀπέναντι (*vel* ἔναντα) διαχ. *Cornarius vertit* „ab omni errore et obliqua atque acclivi calle refugiamus.“

2. *Editores distinxerunt post* ἀσθενείᾳ.

Pauli zonam arripuit eaque pedes suos alligans ita locutus est: *Virum cuius est haec zona, ligabunt illum et adducent in Hierusalem.* Ad haec Antiochiam prophetae quidam venisse narrantur, famemque nuntiasse toto terrarum orbe futuram. Nec vana praedictorum fides fuit. Atque ut veros illos prophetas fuisse monstraret, scriptura statim adiunxit: *Quae facta est sub Claudio Caesare.* At Paulus sanctissimus apostolus instinctu prophetico dixit: *Spiritus autem* 2. Tim. 3, 1. *manifeste dicit, In novissimis diebus instabunt tempora difficilia, etc.* Item alio in loco: *Discedent quidam a sana fide, attendentes spiriti-* 1. Tim. 4, 1. *bus erroris, et doctrinis daemoniorum, prohibentium nubere, abstinere a cibis, quos deus creavit ad percipiendum nobis, qui cum gratiarum actione utimur;* id quod in vobis ac vestri similibus esse perfectum res ipsa declarat. Etenim pleraeque illarum haereseon nuptiis atque usu quorumdam ciborum interdicunt, non ut sanctioris vitae genus instituant, aut ad praestantiorem virtutem ac coelestia praemia et coronas comparent, sed quod detestanda quae a domino condita sunt existiment.

At ecclesia catholica et virginitatem praedicat et coelibem vi- Cap. IX. tam, ac castimoniam viduitatemque collaudat, et honestas nuptias colit et approbat; stupra vero, adulteria ac libidines prohibet. Ex quo veram ac germanam ecclesiae catholicae notam et adulterinos aliorum ritus licet intueri, ac quemadmodum sincerae religionis dogmata ab omni errore ac flexuosis ambagibus et abruptis ac salebrosis itineribus declinent. Hoc enim et ante monui ab apostolo esse praedictum, et iterum monebo: uti nos cautiores efficeret, ac sacrosanctam ecclesiam propriis quibusdam notis ab haereticorum errore discerneret, ita pronuntiasse: Quae a deo recte constituta sunt incredibili audacia prohibentes istos privata quaedam decreta sancire. Quod ad eos pertinet qui nuptias prohibent, et a cibis abstinere praecipiunt. Atqui deus ipse verbum in Evangelio moderationem ei rei quandam apposuit: *Vis,* inquit, *perfectus esse.* In Matth. 19, 21. quo se ad humanam conditionem et imbecillitatem accommodare voluit. Iis enim delectatur quidem qui eiusmodi pietatis specimen praestare potuerint, ut virginitatem, castimoniam continentiamque profiteantur: singulares porro nuptias commendat, cum sacerdotalia munera et ornamenta cum iis qui post unas nuptias continentiam servaverint, aut in virginitate perstiterint, communicanda esse velut in quodam exemplari monstraverit; id quod apostoli deinde ecclesiastica sacerdotii regula honeste ac religiose decreverunt. Quod si quis post uxoris obitum secundas nuptias pro sua imbecillitate desiderat, minime id quidem veritatis regula prohibet, in eo duntaxat

ὄντα ἱερέα. Οὗτοι δὲ κωλύουσι [3] κατὰ τὸ εἰρημένον, Κωλυόντων γαμεῖν· ἐκβάλλουσι γὰρ τὸν δευτέρῳ γάμῳ συναφθέντα, καὶ ἀναγκάζουσι μὴ δευτέρῳ γάμῳ συνάπτεσθαι. Ἡμεῖς δὲ οὐκ ἀνάγκην ἐπιτιθέαμεν,
pag. 411. ἀλλὰ παραινοῦμεν μετὰ συμβουλίας ἀγαθῆς προτρεπόμενοι τὸν δυνάμενον, οὐκ ἀνάγκην δὲ ἐπιτιθέαμεν τῷ μὴ δυναμένῳ, οὐκ ἐκβάλλομεν αὐτὸν ἀπὸ τῆς ζωῆς. Ὁ γὰρ ἅγιος λόγος παντὶ ἐκήρυξε τὴν ἀσθένειαν τῶν ἀσθενούντων βαστάζειν· ὡς καὶ αὐτὸς ὁ ἅγιος ἀπόστολος εὑρεθήσεται λέγων, καὶ ἐλέγχων τοὺς τοιούτους μὴ ὄντας τοῦ αὐτοῦ χαρίσματος ὅτι, νεωτέρας χήρας παραιτοῦ· μετὰ γὰρ τὸ καταστρηνιάσαι τοῦ Χριστοῦ γαμεῖν θέλουσιν, ἔχουσαι κρίμα, ὅτι τὴν πρώτην πίστιν ἠθέτησαν. Αἱ γὰρ ἐπαγγειλάμεναι καὶ ἀθετήσασαι ἔχουσι κρίμα· αἱ δὲ μὴ ἐπαγγειλάμεναι, ἀλλὰ συναφθεῖσαι δι' ἀσθένειαν, κρίμα οὐκ ἔχουσιν. Εἰ δὲ καὶ κρίμα ἔμελλον ἔχειν, πῶς ἔλεγε· Γαμείτωσαν, οἰκοδεσποτείτωσαν;

Κεφ. ι'. [1] Πᾶς τοίνυν προφητεύων παρακολουθῶν εὑρίσκεται, κἄν τε ἐν τῇ παλαιᾷ διαθήκῃ, κἄν τε ἐν τῇ καινῇ· ὡς καὶ ὁ ἅγιος Ἰωάννης ἐν τῇ Ἀποκαλύψει ἔλεγε, Τάδε ἀπεκάλυψε κύριος τοῖς αὐτοῦ δούλοις διὰ τοῦ δούλου αὐτοῦ Ἰωάννου, καὶ, Τάδε λέγει κύριος. Ὁ ταῦτα λέγων ἐρρωμένην εἶχε τὴν διάνοιαν, καὶ παρηκολούθει. Ἰδοὺ τοίνυν, Τάδε λέγει κύριος, καὶ, Ὅρασις ἣν εἶδεν. Ὁ δὲ Μοντανὸς οὗτος ὁ αὐχῶν ἑαυτὸν εἶναι προφήτην, καὶ πλανήσας τοὺς ὑπ' αὐτοῦ πεπλανημένους, ἀσύστατα κατὰ τὰς θείας γραφὰς διηγεῖται. Λέγει γὰρ ἐν τῇ ἑαυτοῦ λεγομένῃ προφητείᾳ· Τί λέγεις τὸν ὑπὲρ ἄνθρωπον σωζόμενον; λάμψει γὰρ ὁ δίκαιος, φησὶν, ὑπὲρ τὸν ἥλιον ἑκατονταπλασίονα, οἱ δὲ μικροὶ ἐν ὑμῖν σωζόμενοι λάμψουσιν ἑκατονταπλασίονα ὑπὲρ τὴν σελήνην. Ὁ δὲ κύριος ἐλέγχει τὸν τοιοῦτον, ὁ ἔχων τὴν ἐξουσίαν χαρίσασθαι τὸ λάμπειν τὰ πρόσωπα τῶν ἁγίων, καὶ φαιδρύνας τὸ πρόσωπον τοῦ Μωϋσέως, καὶ μεταβαλὼν τοὺς ἁγίους ἐν τῇ ἁγίᾳ αὐτοῦ ἀναστάσει τῶν σωμάτων, τοὺς σπειρομένους ἐν τῇ ἀτιμίᾳ καὶ ἐγειρομένους ἐν δόξῃ, οὐκ ἄλλα σώματα παρὰ τὰ ὄντα, ἀλλὰ αὐτὰ τὰ ὄντα ἐγειρόμενα ὅλα, λαμβάνοντα δὲ δόξαν παρ' αὐτοῦ μετὰ ἀνάστασιν, παρὰ τοῦ τὴν δόξαν ἀφθόνως παρέχοντος τοῖς αὐτοῦ ἁγίοις, ἐπειδὴ ἔχει τὴν ἐξουσίαν δοῦναι καὶ χαρίσασθαι, ὡς θεὸς καὶ κύριος. Ἔχων δὲ τοῦ [2] χαρίσασθαι, οὐκ ἐπηγγείλατο κατὰ Μοντανὸν, ἀλλὰ φησὶ,

3. κατὰ τὸ εἰρημένον *habet cod. Rhedig.; ut emendaverat iam Petavius. Editi libri illud* τὸ *non agnoscunt.*

Cap. X. — 1. *Libri habent* Πῶς, *quod vitium correxerunt Cornarius et Petavius.*

2. τοῦ χαρίσασθαι τὴν ἐξουσίαν οὐκ *coniecit Petavius; quamquam illud sub-*

qui sacerdos non fuerit. At isti prohibent, adeoque Pauli illa sententia comprehenduntur: *Prohibentium nubere.* Nam eum, qui secundis nuptiis illigatus fuerit, expellunt, ac ne facere istud audeat vim ac necessitatem adhibent. Nos autem neque necessitate ulla constringimus, sed suademus, nec aliter quam honestis praeceptis ac consiliis eum qui quidem possit ad id praestandum impellimus; eum vero qui minus potest nulla vi cogimus, nec a salute prorsus excludimus. Nam tenuiorum imbecillitatem ferendam cuilibet divino sermone praecipitur. Atque hoc sanctus apostolus non dixisse modo reperietur, sed et istos aperte refellere, et ab ea quam habebat gratia alienos ostendere: *Adolescentiores*, inquit, *viduas devita. Cum* 1.Tim.5,11.
enim luxuriatae fuerint in Christo, nubere volunt, habentes damnationem, quia primam fidem irritam fecerunt. Si quidem quae castitatem professae irritam eam professionem fecerint, damnationem habere dicuntur. Quae vero minime professae fuerint, sed pro infirmitate sua nupserint, damnationis sunt prorsus expertes. Si enim ulli essent obnoxiae, cur diceret: *Nubant, domui praesint?*

Omnis igitur propheta, tam in vetere quam in novo testamento, Cap. X.
quae dicit intelligentia consequitur. Unde et Ioannes ita in Apocalypsi loquitur: *Haec revelavit dominus servis suis per servum suum* Apoc. 1, 1.
Ioannem, et: *Haec dicit dominus.* Quae qui dixit, profecto firmo erat iudicio praeditus, ac quid loqueretur animo perceperat. Hinc illae formulae: *Haec dicit dominus*, et: *Visio quam vidit.* Montanus vero, qui se prophetam iactitat ac sectatoribus illudit suis, ea dicit quae sacris literis nequaquam consentanea videntur. Sic enim in ea quam appellant eius prophetia scriptum est: *Quid eum dicis, qui supra hominem cum sit, salutem adipiscitur? Iustus enim*, inquit, *centuplo quam sol splendidiori luce fulgebit. At qui inter vos exigui sunt, lunam centuplo superabunt.* Sed hunc domini ipsius auctoritas refellit, penes quem ius omne ac potestas est id sanctis suis tribuendi, ut eorum vultus splendore collustrentur. Qui Moysis faciem eiusmodi luce perfudit, qui eosdem sanctos in corporum resurrectione commutat, sanctos, inquam, illos, qui quadam velut cum ignominia sati cum gloria ac dignitate resurgunt, non ut alia praeterquam vera propriaque corpora, sed ut eadem, atque integra penitus excitentur, ita tamen ut ab eo secundum resurrectionem novum quoddam decus ac maiestatem accipiant, qui sanctis suis incredibilem gloriae ubertatem impertit, quandoquidem largiendi huius, utpote dominus ac deus, amplissima est potestate praeditus. Atqui tametsi summa, uti dixi, penes illum sit potestas, nihil tamen eiusmodi promisit

intelligi commode possit. Sed quod silendum non est, post τοῦ χαρίσασθαι *in cod. Rhedig. comparet sane rasura per spatium decem vel undecim literarum.*

pag. 412. *Λάμψει ὑμῶν τὰ πρόσωπα ὡς ὁ ἥλιος. Εἰ τοίνυν ὁ ἔχων τὴν ἐξουσίαν καὶ ἀληθῶς ὑπάρχων δεσπότης καὶ κύριος ἡμῶν Ἰησοῦς Χριστὸς ὡς ὁ ἥλιος λέγει τὰ πρόσωπα τῶν δικαίων λάμψειν, πῶς Μοντανὸς ἐπαγγέλλεται περιττότερον ἑκατονταπλασίονα; εἰ μὴ ἄρα ὅμοιος εἶ ἐκείνῳ τῷ ἐπαγγειλαμένῳ τοῖς περὶ τὸν Ἀδὰμ ὅτι, [3] Ἔσεσθε ὡς θεοί, φήσαντι, καὶ ἀπὸ τῆς ὑπαρχούσης αὐτοῖς [4] δόξης καὶ παραδείσου τρυφῆς παρασκευάσαντι αὐτοῖς τὴν ἐκβολὴν γενέσθαι, καὶ εἰς φθορὰν θανάτου κατενεχθῆναι.*

Κεφ. ια'. *Ἔτι δὲ προστίθησιν ὁ αὐτὸς Μοντανὸς, οὕτω λέγων· Ἐγὼ κύριος ὁ θεὸς ὁ παντοκράτωρ καταγινόμενος ἐν ἀνθρώπῳ. Ἄρα οὖν καλῶς ἡμᾶς ἡ θεία γραφὴ ἐπασφαλίζεται, καὶ ἡ ἀκόλουθος τοῦ ἁγίου πνεύματος διδασκαλία, νουθετοῦσα ἡμᾶς, ἵνα γινώσκωμεν ποῖά ἐστι τὰ μιμηλὰ τοῦ ἀλλοτρίου πνεύματος, καὶ τὰ ἀντίθετα πρὸς τὴν ἀλήθειαν. Ὅτε γὰρ εὐθὺς τοῦτο εἶπε Μοντανὸς, ὑπόνοιαν ἡμῖν δέδωκεν ἀναμνησθῆναι τὰ ὑπὸ τοῦ κυρίου εἰρημένα. Οὕτω γάρ φησιν ὁ κύριος ἐν τῷ εὐαγγελίῳ· Ἐγὼ ἦλθον ἐν τῷ ὀνόματι τοῦ πατρὸς, καὶ οὐκ ἐδέξασθέ με· ἄλλος ἐλεύσεται ἐπὶ τῷ ἰδίῳ ὀνόματι, καὶ δέξονται τὸν τοιοῦτον. Ἀσύμφωνος τοίνυν παντάπασιν ὁ τοιοῦτος τῶν θείων γραφῶν ηὑρέθη, ὡς παντί τῳ σαφές ἐστι τῷ νουνεχῶς ἐντυγχάνοντι. Εἰ τοίνυν ἀσύμφωνος ὑπάρχει, ἀλλότριός ἐστι τῆς ἁγίας καθολικῆς ἐκκλησίας, καὶ ἡ κατ' αὐτὸν αὐχοῦσα αἵρεσις προφήτας ἔχειν καὶ χαρίσματα, ἃ μὴ εἴληφεν, ἀλλὰ ἐκ τούτων ἀπέστη. Τίς τοίνυν τολμήσειε παρακολουθῶν τούτους προφήτας καλεῖν, καὶ μὴ μᾶλλον πλάνους εἶναι τοὺς τοιούτους; Χριστὸς γὰρ ἡμᾶς ἐδίδαξε λέγων ὅτι, Τὸ πνεῦμα τὸ παράκλητον ἀποστέλλω ὑμῖν· καὶ τὰ σημεῖα διδοὺς ἔλεγεν ὅτι, Ἐκεῖνος ἐμὲ δοξάσει· ὡς τὰ ἀληθῆ ἔστιν ἰδεῖν ὅτι οἱ ἅγιοι ἀπόστολοι τὸ παράκλητον πνεῦμα λαβόντες Χριστὸν ἐδόξασαν, οὗτος δὲ ὁ Μοντανὸς ἑαυτὸν δοξάζει. Ὁ κύριος τὸν πατέρα αὐτοῦ ἐδόξασε, καὶ ὁ κύριος πάλιν ὁ Χριστὸς τὸ πνεῦμα ἐδόξασε, λέγων αὐτὸ πνεῦμα ἀληθείας, ὁ Μοντανὸς δὲ ἑαυτὸν δοξάζει μόνον, καὶ λέγει εἶναι πατέρα παντοκράτορα καὶ ἐν αὐτῷ ἐνοικῆσαι, ἵνα πανταχόθεν δειχθῇ οὐκ αὐτὸς ὢν, οὐδὲ ὑπ' ἐκείνου ἀπεσταλμένος, οὐδὲ παρ' αὐτοῦ λαμβάνων. Ἐν γὰρ τῷ κυρίῳ ηὐδόκησε πᾶν τὸ πλήρωμα τῆς θεότητος κατοικῆσαι*

pag. 413. *σωματικῶς, καὶ ἀπὸ τοῦ πληρώματος αὐτοῦ πάντες οἱ προφῆται εἰλήφασι, κατὰ τὸν τοῦ ἁγίου Ἰωάννου λόγον. Καὶ ὁρᾷς πῶς πάντες οἱ παλαιοὶ Χριστὸν κατήγγελλον, καὶ οἱ μετέπειτα Χριστὸν ἐδόξασαν καὶ αὐτὸν ὡμολόγησαν. Μοντανὸς δὲ εἰσέφρησεν ἑαυτόν τινα λέγων, ὅπως δειχθῇ ὅτι οὔτε ἔστιν, οὔτε ἀπ' αὐτοῦ ἀπέσταλται, οὔτε παρ' αὐτοῦ εἴληφεν.*

3. ἔσεσθαι *cod. Rhedig.*

4. *Post vocabulum* δόξης *in edit. Cornarii asterisci nota conspicitur.*

quale Montanus finxit, sed hoc unum pollicetur: *Fulgebunt facies vestrae sicut sol.* Itaque cum is penes quem omnis est potestas, quique vere omnium dominus est, Christus, inquam, Iesus dominus noster, solis instar illustrandos esse iustorum vultus definiat, qua fronte centuplo clariores fore Montanus affirmat? Nisi forte illius es similis, qui id primis hominibus pollicebatur: *Eritis sicut dii,* quique ut ab ea quam consecuti fuerant gloria ac paradiso deiicerentur et in exitii corruptelam incurrerent calliditate sua perfecit. Matth. 13, 43. Gen. 3, 5.

Sed haec insuper Montanus adiicit: *Ego sum dominus deus, qui in homine versor.* Praeclare quidem nos scriptura sacra et consentanea sibi sancti spiritus doctrina commonitione sua comparat, ut quae alieni sunt spiritus ad veri imitationem conficta dogmata ac veritati contraria discernamus. Statim enim ac Montanus hoc dixit, ea nobis in memoriam revocavit quae a domino praenuntiata leguntur. Ita enim in evangelio testatus est: *Ego veni in nomine patris, et non suscepistis me: alius veniet in nomine suo, et talem suscipient.* Quocirca Montanum a sacris literis dissentire omnino demonstravimus, idque nemini non perspicuum est qui eius scripta cum iudicio revolverit. Quod si ita est, restat ut tam ipse ab ecclesia catholica alienus existimetur quam eius haeresis, quae prophetas ac coelestia illa dona penes se esse praedicat, quae nequaquam acceperit, sed ab iis potius desciverit. Ecquis igitur, si paululum quid dicat intelligat, prophetas istos, ac non planos et veteratores appellandos censeat? Christus enim nos docuit et: *Spiritum,* inquit, *paracletum mittam ad vos.* Nec non miraculis editis aiebat: *Ille me glorificabit.* Quod etiam reipsa contigisse cernimus, eo quod apostoli, cum paracletum spiritum accepissent, Christum glorificaverunt. Montanus vero suam ipse gloriam celebrat. Dominus patrem suum glorificavit. Idem ille spiritum quoque glorificavit, cum veritatis esse spiritum docuit. Montanus unum se glorificat, ac patrem esse dicit omnipotentem, qui in sese habitet, ut illud omnino constet, talem eum non esse qualem se videri voluerit, nec ab coelesti illo patre missum, nec a Christo quicquam accepisse. Nam in domino complacuit *omnem plenitudinem divinitatis habitare corporaliter;* et de plenitudine eius prophetae omnes acceperunt, ut Ioannes affirmat. Vides sane quemadmodum Christum veteres omnes praedicarint, tum qui postea secuti sunt Christum praeconio suo et confessione celebrarint. At Montanus violenter irrupit, mirificum quendam hominem se esse iactitans, ut vel hoc ipso nec eiusmodi esse, nec ab illo missus, nec ab eo quicquam accepisse monstretur. Cap. XI. Ioann. 5, 43 Ioann. 16, 14. Col. 2, 9.

Εἶτα πάλιν φησὶ τὸ ἐλεεινὸν ἀνθρωπάριον Μοντανὸς ὅτι, Οὔτε ἄγγελος, οὔτε πρέσβυς, ἀλλὰ ἐγὼ κύριος ὁ θεὸς πατὴρ ἦλθον. Ταῦτα δὲ λέγων φωραθήσεται ἀλλότριος ὤν, Χριστὸν μὴ δοξάζων, ὃν πᾶν χάρισμα ἐκκλησιαστικὸν ἐν ἐκκλησίᾳ τῇ ἁγίᾳ δοθὲν ἐν ἀληθείᾳ ἐδόξασεν. Εὑρεθήσεται γὰρ ἐκτὸς εἶναι σώματος ἐκκλησίας καὶ κεφαλῆς τοῦ σύμπαντος, καὶ μὴ κρατῶν τὴν κεφαλὴν ἐξ ἥςπερ πᾶν τὸ σῶμα συναρμολογούμενον αὔξει, κατὰ τὸ γεγραμμένον. Ὁ γὰρ κύριος ἡμῶν Ἰησοῦς Χριστὸς ἑαυτὸν ἔδειξεν ὄντως ὢν υἱὸς ἐν ἀληθείᾳ, Μοντανὸς δὲ ἑαυτὸν καὶ πατέρα λέγει.

Κεφ. ιβʹ. *Πῶς τοίνυν, ὦ Φρύγες, ἡμῖν πάλιν ἐπαναστάντες πολέμιοι καὶ μεμορφωμένοι εἰς Χριστιανικὴν ἐπίκλησιν, βαρβάρων δὲ ἐπανῃρημένοι μάχην καὶ τῶν Τρώων καὶ Φρυγῶν μιμούμενοι τὸ πολέμιον, πῶς πεισθῶμεν ὑμῖν, λέγουσι διὰ χαρίσματα ἀφεστάναι τῆς ἐκκλησίας; οὐκέτι γὰρ χαρίσματα εἴη τὰ ἀλλότρια χαρισμάτων ὄντα, καὶ παρὰ τὸν χαρακτῆρα τὸν ὑπὸ κυρίου ὑπισχνούμενα, ὡς οἱ καθ' ὑμᾶς προφῆται λέγουσιν. [1] Εἰςάγετε ἡμῖν πάλιν καὶ Μαξιμίλλαν· καὶ γὰρ καὶ τὰ ὀνόματα ἡμῶν διηλλαγμένα καὶ φοβερώτατα, καὶ οὔτε προςηνές τι καὶ γλυκύτατον ἔχοντα, ἀλλὰ ἄγριον καὶ βαρβαρικόν. Εὐθὺς γὰρ αὕτη ἡ Μαξιμίλλα ἡ παρὰ τοῖς τοιούτοις κατὰ Φρύγας οὕτω καλουμένοις, ἀκούσατε, ὦ παῖδες Χριστοῦ, τί λέγει· Ἐμοῦ μὴ ἀκούσητε, ἀλλὰ Χριστοῦ ἀκούσατε. Καὶ ἐν οἷς ἔδοξε Χριστὸν δοξάζειν πεπλάνηται. Εἰ γὰρ ἦν τοῦ Χριστοῦ, ἔλεγεν ἂν κατὰ τοὺς ἁγίους ἀποστόλους, ὡς ἕκαστος λέγει. Πέτρος μὲν πρῶτος λέγων ὅτι, Ἡμεῖς παρ' αὐτοῦ ἠκούσαμεν· καὶ αὐτοῦ τοῦ κυρίου λέγοντος· Ὁ ὑμῶν ἀκούων ἐμοῦ ἀκούει· καὶ τοῦ Παύλου λέγοντος· Μιμηταί μου γίνεσθε, καθὼς*
pag. 414. *κἀγὼ Χριστοῦ. Αὕτη δὲ ἀληθεύει ψευδομένη καὶ μὴ βουλομένη. καλῶς δὲ λέγει φάσκουσα, Ἀλλὰ Χριστοῦ. Πολλάκις γὰρ τὰ ἀκάθαρτα πνεύματα ἀναγκάζεται ἑαυτὰ καθαιρεῖν, οὐκ ὄντα τῆς ἀληθείας, καὶ ὑποφαίνειν τὸν κύριον αὐτῶν, θέλοντα καὶ μὴ θέλοντα, δι' ἀνάγκην. Ὡς ἡ παιδίσκη, ἡ ἔχουσα πνεῦμα Πύθωνος, ἔλεγεν, Οὗτοι οἱ ἄνθρωποι τοῦ θεοῦ δοῦλοι τοῦ ὑψίστου εἰσί· καὶ τὸ, Τί ἦλθες πρὸ καιροῦ βασανίσαι ἡμᾶς; οἴδαμέν σε τίς εἶ, ὁ ἅγιος τοῦ θεοῦ. Ὡς καὶ αὕτη ἀναγκαζομένη ἔλεγεν αὐτῆς μὴ ἀκούειν, ἀλλὰ Χριστοῦ. Πῶς οὖν τοῦτο οἱ παρ' αὐτῆς ἀκηκοότες καὶ αὐτῇ πεπιστευκότες βούλονται αὐτῆς ἀκούειν παρ' αὐτῆς μαθόντες μὴ αὐτῆς ἀκούειν, ἀλλὰ κυρίου. Καὶ γὰρ ἀληθῶς ἐπίγεια φθεγγομένης αὐτῆς, εἰ παρῆν αὐτοῖς σύνεσις, οὐκ ἔδει αὐτὴν ἀκούεσθαι· καὶ μὴ λέγε ὅτι παρηκολούθει. Οὐ*

Cap. XII. — 1. εἰςάγετε *correxit Petavius. Libri tam scripti quam editi habent* εἰςάγεται.

Pergit Montanus infelix homuncio: *Non angelus*, inquit, *non legatus aliquis, sed egomet deus pater accessi.* Qua sua voce alienus esse deprehenditur, qui Christum minime praedicatione sua celebraverit, quem coeleste omne donum divinitus ecclesiae collatum vere semper ac magnifice praedicavit. Quare extra corpus ecclesiae, totiusque corporis caput esse reperietur, nec cum illo, inquam, cohaerere capite, *ex quo totum corpus coagmentatum crescit*, ut scri- Col. 2, 19.
ptura loquitur. Quippe dominus noster Iesus Christus ita semetipsum declaravit, revera ut germanum esse parentis filium ostenderet. Montanus contra vel parentem se esse gloriatur.

Quae cum ita sint, quo tandem pacto, Phryges, qui contra nos Cap. XII.
novi iterum hostes consurgitis, et externa quadam specie Christianum ad nomen usurpandum illuditis, ac Troianorum et Phrygum hostile in nos odium imitamini, qui nos, inquam, habere fidem vobis possumus, cum ob coelestia dona vos ab ecclesia discessisse iactatis? Non enim coelestia esse dona possunt quae tantopere sunt ab eiusmodi donis aliena, quaeque praeter institutam a domino formam ac rationem ostenditis, quemadmodum prophetae vestri profitentur. Sed Maximillam nescio quam nobis obtruditis; quippe vel ipsa nomina vestra a communi usu remota sunt et ad terrorem composita, neque mite quicquam illis inest aut iucundum, sed barbarum et agreste. Haec igitur Maximilla, quam Phryges isti praedicant, audite, Christi filii, quemadmodum loquitur: *Me quidem non audite, sed Christum audite.* Quibus verbis, licet Christo honorem habere videatur, iisdem tamen ipsis errorem suum demonstrat. Nam si Christi foret, eandem in loquendo formulam adhiberet, qua apostoli omnes singillatim usi sunt. Imprimis Petrus, *Nos*, inquit, *ab illo* Act 4, 20. 2. Petr 1, 18.
audivimus. Sed et dominus ipse dixit, *Qui vos audit, me audit.* Luc. 10, 16.
Paulus item: *Imitatores mei estote, sicut et ego Christi.* At illa men- 1. Cor. 11, 1.
tiendo vel invita verum dicit: recteque istud adiicit, *sed Christum.* Saepe enim impuri spiritus semetipsos coguntur evertere, cum a veritate abhorreant, ac dominum suum, velint nolint, necessario declarant. Quemadmodum puella illa Pythonico spiritu praedita clamabat, *Homines isti dei altissimi servi sunt.* Quo et illud pertinet: Act. 16, 16.
Cur venisti ante tempus torquere nos? Novimus qui sis, sanctus dei. Matth. 8, 29.
Ita Maximilla vi quadam impulsa audiri se minime vult, sed Christum. Qui igitur hoc ab illa audierint eique crediderint, cur eam diutius audiunt, cum non ipsam, sed Christum audiendum ab illamet ipsa didicerint? Et vero cum nonnisi terrena quaedam effutiat, si ullus in eis sensus inesset, audire illam nequaquam oporteret. Nec est quod obiicias hanc intellexisse quid diceret. Non enim intelli-

γὰρ παρακολουθοῦντός ἐστι τὸ διδάσκειν, καὶ ἑαυτὸν ἀνατρέπειν. Εἰ γὰρ ὅλως λέγει, Μὴ ἀκούετέ μου, ποῖον ἦν τὸ πνεῦμα τὸ λαλοῦν ἐν αὐτῇ; Εἰ αὐτὴ ἔλεγεν [2] ἢ ἄνθρωπος, ἄρα οὐκ ἦν ἐν πνεύματι ἁγίῳ. Ἡ γὰρ λέγουσα, Μὴ ἀκούετέ μου, [3] δῆλον, τὸ ἀνθρώπινον ἔλεγε, καὶ οὐκ ἦν ἐν πνεύματι ἁγίῳ· ἡ δὲ μὴ οὖσα ἐν πνεύματι ἁγίῳ ἄνωθεν, οὖσα δὲ τοῦ ἀνθρωπίνου φρονήματος, οὐδὲν ἐγίνωσκε, καὶ οὐκ ἦν ἄρα πνεῦμα ἅγιον, ἀλλὰ ἀνθρωπίνῳ φρονήματι ἐλάλει καὶ ἐφθέγγετο. Εἰ δὲ πνεύματι ἁγίῳ ἐλάλει καὶ ἐπροφήτευε, ποῖον ἄρα ἦν τὸ πνεῦμα τὸ ἅγιον, τὸ λέγον, Ἐμοῦ μὴ ἀκούετε; Καὶ πολλή ἐστι τῆς ἀπάτης ἡ τύφλωσις, καὶ μέγας ἐστὶν ὁ τοῦ θεοῦ λόγος, ὁ κατὰ πάντα τρόπον ἡμᾶς συνετίζων εἰς τὸ εἰδέναι ποῖα τὰ ἐκ τοῦ πνεύματος τοῦ ἁγίου λελαλημένα, πὴ μὲν ἐκ προσώπου πατρὸς, πὴ δὲ ἐκ προσώπου υἱοῦ, πὴ δὲ ἐκ προσώπου τοῦ ἁγίου πνεύματος. Καὶ εἰ τὸ ἐν Μαξιμίλλῃ πνεῦμα ἅγιον ἦν, οὐκ ἀπηγόρευε τὰ ἴδια ῥήματα. Ἓν γάρ ἐστι τὸ ἅγιον πνεῦμα, τὸ διαιροῦν ἑκάστῳ ὡς βούλεται. Λέγεται δὲ πνεῦμα εὐσεβείας, καὶ λέγεται εἶναι πνεῦμα Χριστοῦ, καὶ πνεῦμα παρὰ πατρὸς ἐκπορευόμενον, καὶ τοῦ υἱοῦ λαμβάνον, οὐκ ἀλλότριον πατρὸς καὶ υἱοῦ ὄν. Ἄρα οὐκ ἔλεγε, Μὴ ἀκούετέ μου. Τὰ γὰρ Χριστοῦ τὸ πνεῦμα ἐλάλει, καὶ ὁ Χριστὸς τὸ πνεῦμα ἀποστέλλει, καὶ ἐν πνεύματι ἁγίῳ ἐκβάλλει τὰ δαιμόνια, καὶ ὁ κύριος τὰ τοῦ πατρὸς λέγει, καὶ
pag. 415. ὁ πατὴρ τὸν υἱὸν ἡγίασε καὶ ἀπέστειλεν εἰς τὸν κόσμον, ἵνα γινώσκωσιν αὐτὸν καὶ δοξάσωσι, καθὼς δοξάζουσι τὸν πατέρα. Καὶ διέπεσε κατὰ πάντα τρόπον ἡ τῶν ἀπαλλοτριούντων ἑαυτοὺς διάνοια ἀπὸ τῆς τοῦ Χριστοῦ ἀκολουθίας.

Κεφ. ιγ'. Φάσκει δὲ πάλιν ἡ αὐτὴ Μαξιμίλλα, ἡ τῆς παρακολουθίας καὶ διδασκαλίας γνῶσις, ἵνα χλευαστικῶς εἴπω, ὅτι, Ἀπέστειλέ με κύριος τούτου τοῦ πόνου καὶ τῆς ἐπαγγελίας καὶ τῆς συνθήκης αἱρετιστὴν, μηνυτὴν, ἑρμηνευτὴν, ἠναγκασμένον, θέλοντα καὶ μὴ θέλοντα, μαθεῖν γνῶσιν θεοῦ. Σκοπήσωμεν οὖν τῆς ἡμῶν ζωῆς τὴν εὐσταθῆ βάσιν καὶ τὴν ὁδὸν τοῦ φωτὸς, ὦ ἀγαπητοὶ, καὶ μὴ σφαλῶμεν διὰ τῶν λόγων τῶν τοῦ δι' ἐναντίας καὶ τοῦ βοσκήματος τοῦ ἀλλοτρίου πνεύματος. Ὅρα γὰρ ἐνταῦθα τὸν οὕτως λαλήσαντα, ἠναγκασμένον ἑαυτὸν ἀποφήναντα, οὐχ ἑκουσίᾳ γνώμῃ. Ὁ δὲ κύριος ἡμῶν οὐκ ἄκων ἦλθεν εἰς τὸν κόσμον, οὐδὲ μετὰ ἀνάγκης ἀπὸ πατρὸς ἀπεστάλη, ἀλλὰ ἅμα σὺν πατρὶ ἔχων τὸ θέλειν, καὶ σὺν ἁγίῳ πνεύματι τὸ παρέχειν, καὶ ὡσαύτως ἅμα σὺν τῷ πατρὶ τὸ θέλειν ἔχει, καὶ τὸ οὐχὶ μετὰ ἀνάγκης ταύτην τὴν χάριν πᾶσι διδόναι, ἀλλὰ δι' ὑπερβολὴν φιλαν-

2. ἢ pro ἡ, quod libri habent, Petavius scribendum proposuit; ἢ usurpavit quomodo ἤτοι.

gentis esse potest contra se docere aliquid ac sibi ipsi refragari. Nam si omnino ita loquitur: *Ne me auditote*, qualisnam hic qui in ea loquebatur spiritus fuit? Quod si per sese ipsa quatenus homo erat ita pronuntiavit, non igitur spiritus eam sanctus afflaverat. Quae enim audiri se prohibet, humanum quiddam procul dubio significat, nec impulsu sancti spiritus agitur. Porro quae coelitus hausto illo spiritu minime ducebatur, sed humana duntaxat sapientia, noverat nihil. Non erat igitur in ea spiritus sanctus, sed humana, ut dixi, sapientia universa pronuntiabat. Alioqui si sancti spiritus loqueretur ac vaticinaretur instinctu, quis ille demum spiritus extitit, qui audiri se nollet? Magna profecto mendacii est errorisque caecitas: magnus porro dei sermo, qui nos omni ratione ad ea discernenda instituit, quae sancti spiritus impulsu prolata sunt, quae partim ex persona patris, partim ex persona filii, partim ex spiritus sancti persona dicuntur. Atqui si ille qui in Maximilla fuit spiritus sanctus extitisset, nunquam suis ipse verbis contradiceret: *Unus* 1.Cor.12,11.
enim est spiritus sanctus, qui dividit singulis prout vult. Qui et pietatis et Christi spiritus vocatur, et a patre procedens, et a filio accipiens, et a patre ac filio minime alienus appellatur. Non igitur dixisset, *Ne me auditote.* Quae enim Christi sunt spiritus loqueretur. Christus quippe spiritum mittit, et in spiritu sancto daemones eiicit; dominus vero quae patris sunt eloquitur; et, *Filium pater* Ioann. 10, 36.
sanctificavit, ac misit in mundum, ut cognoscant ipsum et glorificent quemadmodum glorificant patrem. Sic istorum hominum, qui se a Christi secta ac disciplina segregant, funditus labefactatur opinio.

Atenim Maximilla pergit, summa illa intelligentiae doctrinae- Cap. XIII.
que vis, ut id ioci obiter aspergam: *Dominus me misit*, inquit, *laboris huius, ac professionis, et foederis velut sectae antistitem, enarratorem et interpretem, et quidem ad percipiendam dei notitiam, vellem, nollem, maiori quadam necessitate compulsum.* Hic nos igitur, carissimi, vitae nostrae solidum et stabile firmamentum ac viam lucis consideremus, neque contrarium insistentis, hoc est peregrino spiritu agitatae pecudis eiusmodi vocibus in errorem abducamur. Quid enim ille dicat animadverte: Non sua sponte se, sed coactum id suscepisse declarat. Atqui dominus noster in hunc orbem haud invitus descendit, nec a patre ulla adhibita necessitate missus est. Sed cum communem cum patre voluntatis usum et cum spiritu sancto largiendi munus habeat, una et ut velit ei cum patre convenit, et ut citra necessitatem ullam, pro sua duntaxat incredibili benigni-

3. δῆλον ὅτι τὸ *volebat Gatakerus Opp. Crit. p.* 796.

θρωπίας. Καὶ οὕτω καὶ οὓς ἐκάλεσε, μετὰ προαιρέσεως κέκληκεν, οὐκ ἀνάγκην ἐπιβάλλων, οὐ κλοιὸν ἐπιτιθέμενος. Φάσκει γὰρ ὅτι, Διψῶντες ἔλθετε πρός με· καὶ πάλιν, Εἴ τις θέλει ἔρχεσθαι πρός με, ἀρνησάσθω ἑαυτὸν, καὶ ἀκολουθείτω μοι· καὶ διὰ Ἡσαΐου τοῦτο αὐτὸ φθεγγόμενος ἔλεγεν· Ἐὰν θέλητε, καὶ εἰςακούσητέ μου. Καὶ ὕστερον, ἵνα δείξῃ ὁ προφήτης ὅτι τίς ἐστιν ὁ λέγων, ἔφη, Τὸ γὰρ στόμα κυρίου ἐλάλησε ταῦτα. Καὶ ὁρᾷς κατὰ πάντα τρόπον τὴν πρὸς τὸν θεῖον γράμμα τούτων διαφωνίαν, καὶ τὴν ἀλλοίαν ὑπόνοιάν τε καὶ ὑπόληψιν παρὰ τὴν τοῦ θεοῦ πίστιν καὶ ἀκολουθίαν; Καὶ γὰρ καὶ Μαξιμίλλα τοὺς θέλοντας καὶ μὴ θέλοντας ἔλεγεν ἀναγκάζειν· ὡς καὶ ἐξ αὐτοῦ τοῦ ῥητοῦ ψεύσεται ἡ τοιαύτη. Οὔτε γὰρ θέλοντας ἐδίδαξε γνῶσιν θεοῦ, ἣν οὐκ ᾔδει, οὐδὲ τοὺς μὴ θέλοντας ἠνάγκασεν. Αὐτίκα οὐ πάντες οἱ ἐν τῷ κόσμῳ οἴδασι τί ἐστιν ὄνομα Μαξιμίλλης, οὐδὲ τῶν αὐτῆς λόγων τὸ παράφθεγμα· καὶ κατὰ πάντα τρόπον διέπεσεν ἡ τούτων πεπλανημένη ἐπίνοια, οὐκ οὖσα τῆς τοῦ θεοῦ ἀληθείας.

Κεφ. ιδ'. pag. 416. *Τιμῶσι δὲ οἱ τοιοῦτοι καὶ τόπον τινὰ ἔρημον ἐν τῇ Φρυγίᾳ, Πέπουζάν ποτε καλουμένην πόλιν, νῦν δὲ ἠδαφισμένην, καί φασιν ἐκεῖσε κατιέναι τὴν ἄνω Ἱερουσαλήμ. Ὅθεν ἀπερχόμενοι μυστήριά τινα ἐπιτελοῦσιν ἐν τῷ τόπῳ καὶ ἁγιάζουσιν, ὡς ὑπολαμβάνουσιν. Ἔστι γὰρ καὶ τὸ γένος ἐν τῇ Καππαδοκίᾳ καὶ Γαλατίᾳ, καὶ ἐν τῇ προειρημένῃ Φρυγίᾳ, ὅθεν κατὰ Φρύγας ἡ αἵρεσις καλεῖται· ἀλλὰ καὶ ἐν Κιλικίᾳ, καὶ ἐν Κωνσταντινουπόλει τὸ πλεῖστον.*

Ἵνα δὲ μηδὲν καταλείψωμεν τῶν πρὸς ὄνομα ἑκάστης αἱρέσεως ὑφ' ἡμῶν προδεδηλωμένης, καὶ περὶ τοῦ Τασκοδρουγιτῶν ὀνόματος αὖθις ἐροῦμεν. Ἔστι γὰρ τὸ ὄνομα τοῦτο ἢ ἐν αὐτῇ ταύτῃ, ἢ ἐν τῇ μετὰ ταύτην τῶν Κυϊντιλλιανῶν καλουμένῃ· ἀπ' αὐτῶν γὰρ τούτων ὁρμᾶται καὶ τοῦτο τὸ ὄνομα. Καλοῦνται δὲ διὰ τοιαύτην αἰτίαν Τασκοδρουγῖται. Τασκὸς παρ' αὐτοῖς πάσσαλος καλεῖται, Δροῦγγος δὲ μυκτὴρ, εἴτουν ῥύγχος, καλεῖται, καὶ ἀπὸ τοῦ τιθέναι ἑαυτῶν τὸν δάκτυλον τὸν λεγόμενον λιχανὸν ἐπὶ τὸν μυκτῆρα ἐν τῷ εὔχεσθαι, δῆθεν κατηφείας χάριν καὶ ἐθελοδικαιοσύνης, ἐκλήθησαν ὑπό τινων Τασκοδρουγῖται, τουτέστι Πασσαλορυγχῖται. Ἐν ταύτῃ δὲ τῇ αἱρέσει, ἢ ἐν τῇ συζύγῳ ταύτης τῆς τῶν Κυϊντιλλιανῶν, εἴτουν Πρισκιλλιανῶν καὶ Πεπουζιανῶν καλουμένῃ, δεινόν τι καὶ ἀθέμιτον ἔργον φασὶ γίνεσθαι. Παῖδα γὰρ κομιδῇ νήπιον κατὰ ἑορτήν τινα δι' ὅλου τοῦ σώματος κατακεντῶντες ῥαφίσι χαλκαῖς τὸ αἷμα αὐτοῦ προςπορίζονται ἑαυτοῖς, εἰς ἐπιτήδευσιν δῆθεν θυσίας.

Κεφ. ιε'. *Ἀρκέσει δὲ ἡμῖν ἃ καὶ περὶ ταύτης εἰρήκαμεν, ὦ ἐπιπόθητοι.* [1] *Ἐπηγγειλάμεθα γὰρ ἀπὸ* [2] *ἑκάστης μὲν αἱρέσεως μὴ φθονῆσαι, ἀλλὰ*

Cap. XV. — 1. *Supra lib. I. tom. I. prooem. cap.* 2.

tate, beneficium hoc in universos conferat. Sic quos vocavit, voluntarios utique vocavit, non ut ullam vim adhiberet aut collo vinculum innecteret. Ita enim loquitur: *Omnes sitientes venite ad me.* Isai. 55, 1.
Item: *Si quis vult venire ad me, abneget semetipsum et sequatur me.* Matth. 16, 24.
Quinetiam per Esaiam ita dixit: *Si volueritis et audieritis me.* Ac Isai. 1, 19.
deinceps, ut quisnam loqueretur propheta declararet: *Os enim,* inquit, *domini locutum est ista.* Ibid. 58, 14.
Iamne vides istos cum sacris literis nulla ex parte convenire, sed abhorrentem a consentanea divinae fidei doctrina sententiam erroremque defendere? Etenim Maximilla volentes nolentes cogere se dicebat, ut vel hoc ipso dicto mendacium eius possit agnosci. Nam nec volentes dei quam non habebat cognitionem edocuit, neque vim nolentibus attulit. Non enim omnes qui toto orbe sunt Maximillae nomen sciunt, aut eius falsa dogmata et sermones audierunt. Sic omnino conficta illorum somnia nugaeque concidunt, ut quae nihil habeant cum divina veritate commune.

Ceterum iidem illi desertum quendam in Phrygia locum praecipue venerantur, ubi Pepuza quondam oppidum fuit, quod hodie solo aequatum est. Eo siquidem descendere coelestem Hierusalem affirmant. Ergo illo proficiscuntur, ac mysteria quaedam obeunt, sacrisque ceremoniis pro sua opinione celebrant. Est enim hominum illa factio per Cappadociam, Galatiam Phrygiamque, quam ante commemoravimus, dispersa; unde et secundum Phrygas secta dicitur. Sed et in Cilicia et Constantinopoli frequentissima cernitur. Cap. XIV.

Postremo ne quid omisisse videamur, quod ad singularum comprehensarum a nobis haereseon appellationem pertinet, de Tascodrugitarum voce nonnulla dicenda sunt. Hoc enim nomen vel penes hanc ipsam, vel penes sequentem Quintillianorum haeresin resedit. Indidem enim hoc vocabulum originem accepit. Igitur Tascodrugitae idcirco cognominati sunt, quod τασκὸς illorum lingua paxillum significat, δροῦγγος vero nasum sive rostrum. Quod igitur inter orandum indicem manus digitum naso imponunt, ut animi tristitiam et affectatam quandam sanctitatem prae se ferant, a nonnullis ideo Tascodrugitae nominantur, quasi *Paxillonasones* dixeris. Sed in hac Montani, vel in eius germana Quintillianorum, aut certe Priscillianorum et Pepuzianorum, haeresi horrendum quiddam ac detestandum fieri dicitur. Nam infantulum per solenne quoddam festum acubus aereis toto corpore pungentes exceptum sanguinem sacrificiis suis adhibent.

Sed de hac haeresi satis hactenus. Hoc enim in unaquaque suscepimus, nihil ut praetermitteremus, sed ingenue communicaremus Cap. XV.

2. ἑκάστης τῆς μὲν *cod. Rhedig. et libri editi. Secutus sum Petavii emendationem.*

ὑποφῆναι [3] ἅτε δι' ἀκοῆς, ἅτε ὑπὸ ἐγγράφων, καὶ ἅτε ὑπό τινων ἀληθῶς πιστωσαμένων τὴν ἡμῶν ἔννοιαν κατειλήφαμεν· ἵνα μηδέν τι περιττὸν [4] ὧν γε ἔγνωμεν ποιησάμενοι ὑπὸ συνείδησιν δόξωμεν εἶναι μὴ ὀρθὰ καὶ αὐτοὶ ἐφευρίσκοντες κατὰ ἀνθρώπων λέγειν, ἀλλὰ ὑποπίπτοντες πάθει, ᾧ καὶ αὐτοὶ ὑπέπεσαν, ἀλήθειαν μὴ λέγοντες, ἀλλὰ κηρύσσοντες ἃ μὴ ἑωράκασιν, οὐδὲ ἤκουσαν, οὐδὲ παρὰ τῆς ἀληθῶς διδασκαλίας τοῦ ἁγίου πνεύματος παρειλήφασιν. Ἀκριβῶς δὲ πάντα, ὡς
pag. 417. ἔφην, διεξερχόμενοι περὶ ἑκάστης αἱρέσεως, τὸ μὲν δεινὸν ἀποκαλύπτοντες εἰς διόρθωσιν τῶν παρεντυγχανόντων, καὶ διὰ τῆς ἀνατροπῆς [5] ἀπὸ τῶν θείων λόγων καὶ ἐξ ὀρθῶν λογισμῶν ποιούμενοι ἰατικόν, ὡς εἰπεῖν, φάρμακον, κατὰ διττοὺς τρόπους κατασκευάζοντες ἐν κυρίῳ, τοῖς μὲν διερχομένοις εἰς τὸ [6] ἀνασφῆλαι τῆς νόσου καὶ τῆς τοσαύτης ἀλγηδόνος, τοῖς δὲ μηδὲ παρεμπεσοῦσί ποτε προκαταληπτικόν, ὡς εἰπεῖν, τὸ βοήθημα τοῦ τῆς ἀληθείας φαρμάκου μεταδιδόντες τοῖς συνετοῖς μαθηταὶ καὶ αὐτοὶ κληθῶμεν τῶν τοῦ Χριστοῦ μαθητῶν καὶ αὐτοῦ τοῦ σωτῆρος, βοηθοῦ ὑπάρχοντος σωμάτων καὶ ψυχῶν.

Ὡς δὲ καὶ τὴν ἐνταῦθα ἱκανῶς εἰςηγησάμενοι περὶ ταύτης τῆς αἱρέσεως ἐργασίαν, σὺν δυνάμει Χριστοῦ, ἐπὶ τὰς ἑξῆς προβῆναι ἑαυτοὺς ἐπιδῶμεν, τὸν μὲν ἰὸν καὶ τὰ ἀγκιστροειδῆ τῶν ὀδόντων [7] αὐτῆς φάρμακα ἐν τῷ τῆς ἀληθείας τοῦ σταυροῦ ξύλῳ καταθλάσαντες, τῇ Αἱμορροίᾳ ἐχίδνῃ [8] ἐοικυίας, ἧς ἡ λύμη τῶν δεδηγμένων [9] τὸ αἷμα παντὸς τοῦ σώματος ἐκκρίνει, καὶ οὕτως [10] τὸν θάνατον ἐμβάλλει. Αὕτη γὰρ καὶ ἡ τῶν Κυϊντιλλιανῶν αἵρεσις τοῦτο ἐπιτελεῖ. Ἀφθόρου γὰρ παιδὸς κατακεντᾷ τὸ σῶμα, καὶ τὸ αἷμα δῆθεν εἰς μετάληψιν ἀποφέρεται, εἰς μυσταγωγίαν ὀνόματος Χριστοῦ τοὺς ἠπατημένους πλανῶσα.

Ἡμεῖς δὲ ἐπὶ τὰς ἑξῆς ἐν δυνάμει Χριστοῦ προσερχόμενοι τὴν αὐτοῦ ἀλήθειαν ἐπικαλεσώμεθα, ὅπως ἑκάστης πλάνης [11] ἰχνηλατήσαντες τὴν δύναμιν, φωράσαντές τε καὶ ἐλέγξαντες, θεῷ ἐν πᾶσι συνήθως εὐχαριστήσωμεν.

3. ἅτε δι' ἀκοῆς *emendatio est Petavii. Libri habent* εἴ τε δι' ἀκοῆς.
4. ὧν γε *scripsi pro* ὧν τε, *quod libri editi praebent. Petavius particulam* τε *uncinis inclusisse acquievit. In cod. Rhedig. illud* ὧν τε *plane desideratur.*
5. ἀπὸ τῶν θείων *ego. Libri habent* τῶν ἀπὸ θείων.
6. ἀνασφᾶλαι *ed. princ.*
7. αὐτοῖς *cod. Rhedig.*
8. ἐοικυίας *ego, cum Gatakero. Libri habent* ἐοικυίᾳ *vel* ἐοικία.

quod vel auditione compertum, vel aliorum scriptis proditum, vel nonnullorum qui fidem nobis fecissent testificatione cognitum haberemus, ne si plura quam quae accepimus mandare scriptis velimus, in eam suspicionem merito veniamus, prava nos quaedam et absurda eo confinxisse studio, ut ad haereticorum invidiam iis adscriberemus, eodemque quo illi crimine teneamur qui veri nihil afferunt, sed quae nunquam aut audierint aut viderint aut germana spiritus sancti disciplina didicerint, in medium adducunt. Cum igitur accurate, uti diximus, omnia quae ad unamquamque spectant haeresin comprehendamus, adeo ut quod in illis exitiosum est ac pestiferum ad lectorum emendationem significemus, et ad illud ipsum propulsandum partim e scripturis, partim ex recta ratione velut medicamentum confecerimus; cuius esset opportunitas duplex, ut et quia ea contagione laborarent, iis lectis ab omni penitus morbo ac tam intolerabili cruciatu relevarentur, et qui immunes hactenus fuissent, eo ad cautionem uterentur. Hoc, inquam, veritatis medicamentum dum prudentibus repraesentamus, id agimus, ut discipulorum Christi discipuli nominemur, et huius adeo ipsius, qui est corporum animorumque servator.

Nunc posteaquam satis superque in hac confutanda haeresi versati fuimus, opitulante Christo ad ceteras aggrediamur, earumque virus, hoc est hamatos venenatosque dentes, veritatis quae est in cruce velut quodam fuste comminuamus. Quam enim subiecimus, Haemorrhoeae viperae similis est, cuius virus ea vi praeditum est, ut eorum quos momorderit omnem e corporibus sanguinem excernat, itaque conficiat. Quod ipsum Quintillianorum praestat haeresis. Innocentis enim pueruli confosso corpore sanguinem omnem excipit, quo in celebrandis participandisque mysteriis ad circumveniendos homines nefarie abutitur.

Postremo antequam nos Christi potentia freti ad reliquas accingamus, illius veritatem imploremus, ut erroris cuiusque vestigia subodorati, eiusdem comperta disiectaque vi, deo in omnibus pro eo ac solemus gratiam habeamus.

9. *Ita supplevi haec verba, Cornarium atque Petavium secutus, quibus adstipulatus est Gatakerus quoque Opp. Crit. p.* 796. *Nam* τὸ αἷμα *in libris non extat. In seqq. pro* λύμη *ed. Petav. vitiose* λύμῃ *scriptum habet.*

10. τὸν θάνατον ἐμβάλλει *ego, cum Gatakero.* εἰς τὸν θάνατον ἐμβάλλει *Petavius.* τὸν θάνατον ἐκβάλλει *libri tam scripti quam editi.*

11. ἰχνιατήσαντες *cod. Rhedig.*

ΚΑΤΑ ΚΥΙΝΤΙΛΛΙΑΝΩΝ

εἴτ' οὖν Πεπουζιανῶν *τῶν καὶ Πρισκιλλιανῶν, οἷς συνέπονται Ἀρτοτυρῖται. κθ' ἢ καὶ μθ'.

Κεφ. α'. *Κυϊντιλλιανοὶ δὲ πάλιν, οἱ καὶ Πεπουζιανοὶ καλούμενοι, Ἀρτοτυρῖταί τε καὶ Πρισκιλλιανοὶ λεγόμενοι, οἱ αὐτοὶ μὲν ὄντες κατὰ Φρύγας, καὶ ἐξ αὐτῶν ὁρμώμενοι, διῄρηνται δὲ κατά τινα τρόπον. Φασὶ γὰρ οὗτοι οἱ κατὰ Φρύγας, εἴτουν Πρισκιλλιανοὶ, ἐν τῇ Πεπούζῃ ἢ* pag. 418. *Κυΐντιλλαν ἢ Πρισκίλλαν, οὐκ ἔχω ἀκριβῶς λέγειν, μίαν δὲ ἐξ αὐτῶν, ὡς προεῖπον, ἐν τῇ Πεπούζῃ κεκαθευδηκέναι, καὶ τὸν Χριστὸν πρὸς αὐτὴν ἐληλυθέναι συνυπνωκέναι τε αὐτῇ τούτῳ τῷ τρόπῳ, ὡς ἐκείνη ἀπατωμένη ἔλεγεν. Ἐν ἰδέᾳ, φησὶ, γυναικὸς ἐσχηματισμένος ἐν στολῇ λαμπρᾷ ἦλθε πρός με Χριστὸς, καὶ ἐνέβαλεν ἐν ἐμοὶ τὴν σοφίαν, καὶ ἀπεκάλυψέ μοι τουτονὶ τὸν τόπον εἶναι ἅγιον, καὶ ὧδε τὴν Ἱερουσαλὴμ ἐκ τοῦ οὐρανοῦ κατιέναι. Διό* [1] *φασι καὶ ἄχρι τῆς δεῦρο μυοῦσθαί τινας οὕτω γυναῖκας ἐκεῖσε ἐν τῷ τόπῳ καὶ ἄνδρας, πρὸς τὸ ἐπιμεινάσας αὐτὰς ἢ αὐτοὺς τὸν Χριστὸν θεωρῆσαι. Γυναῖκας οὖν παρ' αὐτοῖς καλοῦνται προφήτιδες· οὐ πάνυ δὲ σαφῶς οἶδα, ἢ παρ' αὐτοῖς, ἢ παρὰ τοῖς κατὰ Φρύγας. Ὁμοῦ γάρ εἰσι, καὶ αὐτὸ τὸ φρόνημα κέκτηνται.*

Κεφ. β'. *Κέχρηνται δὲ οὗτοι παλαιᾷ καὶ νέᾳ διαθήκῃ, καὶ ἀνάστασιν νεκρῶν ὁμοίως φάσκουσι. Κυΐντιλλαν δὲ ἔχουσιν ἀρχηγὸν ἅμα Πρισκίλλῃ, τῇ καὶ παρὰ τοῖς κατὰ Φρύγας. Φέρουσι δὲ μαρτυρίας πολλὰς ματαίας, χάριν διδόντες τῇ Εὔᾳ, ὅτι πρώτη βέβρωκεν ἀπὸ τοῦ ξύλου τῆς φρονήσεως. Καὶ τὴν ἀδελφὴν τοῦ Μωϋσέως ὡς προφήτιδα λέγουσιν, εἰς μαρτυρίαν τῶν παρ' αὐτοῖς καθισταμένων γυναικῶν ἐν κλήρῳ. Ἀλλὰ,* [1] *φησὶ, τέσσαρες θυγατέρες ἦσαν τῷ Φιλίππῳ προφητεύουσαι. Πολλάκις δὲ ἐν τῇ ἑαυτῶν ἐκκλησίᾳ εἰςέρχονται λαμπαδηφοροῦσαι ἑπτά τινες παρθένοι, λευχείμονες, δῆθεν ἐρχόμεναι ἵνα προφητεύσωσι τῷ λαῷ. Αἱ δὲ τρόπον τινὰ ἐνδεικνύμεναι ἐνθουσιασμοῦ τοῖς παροῦσι λαοῖς ἀπάτην ἐργάζονται, κλαίειν τε ποιοῦσιν, ὡς οἶκτον μετανοίας ἄγουσαι δάκρυα χεόμεναι, καὶ σχήματί τινι ἐποδυρόμεναι τὸν τῶν ἀνθρώπων βίον. Ἐπίσκοποί τε παρ' αὐτοῖς γυναῖκες, καὶ πρεσβύτεροι γυναῖκες, καὶ τὰ ἄλλα· ὡς μηδὲν διαφέρειν* [2] *φύσιν. Ἐν γὰρ Χριστῷ Ἰησοῦ οὔτε ἄρσεν, οὔτε θῆλυ. Ταῦτά ἐστιν ἃ κατειλήφαμεν. Ἀρτοτυρίτας δὲ αὐτοὺς καλοῦσιν ἀπὸ τοῦ ἐν τοῖς αὐτῶν μυστηρίοις ἐπιτιθέντας ἄρτον καὶ τυρὸν* [3] *καὶ οὕτως ποιεῖν τὰ αὐτῶν μυστήρια.*

* τῶν *addidi ex cod. Rhedig.*

Cap. I. — 1. φασι *correxi cum Cornario et Petavio. Libri habent* φησὶ.

Cap. II. — 1. *Fortasse* φασὶ.

2. φύσιν *scripsi cum Petavio, pro* φησιν, *quod libri retinent. Cornarius vole-*

ADVERSUS QUINTILLIANOS
sive Pepuzianos et Priscillianos quibus accedunt et Artotyritae, haeresis XXIX., sive XLIX.

Quintilliani, qui et Pepuziani vocantur, et Artotyritae ac Priscilliani, inter Phrygas censentur, et ab iis exorti sunt, sed nonnihil tamen discrepant. Etenim Phryges isti sive Priscilliani Quintillam aut Priscillam, neque enim utra sit certo scimus, sed harum alteram dicunt Pepuzae aliquando somno correptam. Tum ad eam descendisse Christum ac simul cum ipsa eiusmodi habitu dormiisse, ut vana muliercula iactabat. *Muliebri*, inquit, *specie ac veste splendida venit ad me Christus, mihique sapientiam indidit, atque hunc locum sanctum esse significavit, in eumque sanctam Hierusalem delabi.* Ob id nonnullae ad hodiernum usque tempus mulieres ac viri eodem initiari cultu solent, ut ibidem excubantes Christum contemplentur. Quamobrem sive apud istos, sive apud Phrygas, prophetissae feminae nuncupantur. Nec utrorum id institutum sit satis comperi; propterea quod communiter degunt atque idem dogma profitentur. Cap. I.

Utrumque porro testamentum adhibent, et mortuorum resurrectionem approbant. Quintillam vero cum Priscilla auctores suas praedicant, quam et Phryges asciscunt. Multas et vanissimas auctoritates circumferunt. Singularem Evae gratiam tribuunt, quod prima de scientiae fructu comederit. Sororem vero Moysis prophetissam iactitant, cuius exemplo suo illi cooptandarum in clerum mulierum instituto suffragantur. Quin et quatuor, inquiunt, Philippus prophetissas filias habuit. Saepenumero in illorum ecclesiam VII cum facibus virgines ingrediuntur, candida veste, ut populo videlicet oracula reddant. Hae cum speciem quandam furoris prae se tulerint, adstantibus illudunt, et ad fletum provocant, ut is poenitentiae luctus esse videatur. Nam et lacrymas profundunt, et toto corporis gestu vitam hominum deplorant. Apud eosdem mulieres episcopi sunt et presbyteri, et ad ceteros gradus alleguntur, nullum ut sexus discrimen servetur. *Nam in Christo Iesu neque mas est neque femina*. Haec sunt quae de illis comperire potuimus. Ceterum Artotyritas eosdem idcirco vocant, quod ad celebranda mysteria sua panem et caseum adhibent. Cap. II. Act. 21, 9. Gal. 3, 28.

bat φασίν, cum verteret: et alia quae nihil differre dicunt.

3. *Hoc* καὶ *delendum videtur.*

Κεφ. γ'. Πᾶσα δὲ ἀνθρώπων χλεύη ἐν τῷ ἀποστῆναι ἀπὸ τῆς ὀρθῆς πίστεως, καὶ εἰς ἀμηχανίαν τρέπεσθαι, καὶ εἰς διαφορὰν ἐνθουσιασμῶν
pag. 419. τε καὶ ἐνεργειῶν. Ἐκβακχευόμεναι γὰρ αἱ διάνοιαι ἀεὶ τοὺς μὴ κατέχοντας τὴν ἄγκυραν τῆς ἀληθείας, ἀλλ' ἐπιδιδόντας ἑαυτοὺς τῷ φέροντι κατὰ πᾶσαν ὁτιοῦν αἰτίαν. Κἄν τε γὰρ γυναῖκες παρ' αὐτοῖς εἰς ἐπισκοπὴν καὶ πρεσβυτέριον καθίστανται διὰ τὴν Εὔαν, ἀκούουσι τοῦ κυρίου λέγοντος, Πρὸς τὸν ἄνδρα σου ἡ ἀποστροφή σου, καὶ αὐτός σου κυριεύσει. Λέληθε δὲ αὐτοὺς καὶ ὁ ἀποστολικὸς λόγος ὅτι, Γυναικὶ οὐκ ἐπιτρέπω λαλεῖν, οὔτε αὐθεντεῖν ἀνδρός. Καὶ πάλιν, Οὐ γάρ ἐστιν ἀνὴρ ἐκ γυναικὸς, ἀλλὰ γυνὴ ἐξ ἀνδρός· καὶ, Ὁ Ἀδὰμ οὐκ ἠπάτηται, ἀλλ' ἡ Εὔα πρώτη ἀπατηθεῖσα ἐν παραβάσει γέγονε. Καὶ ὢ τῆς πολυφύρου πλάνης τοῦ κόσμου τούτου.

Διὸ ὡς νωδόν τι καὶ ἀφροσύνης ἔμπλεον ἀσκαλαβώτου δίκην ταύτην παρελθὼν, ἐπὶ τὰς ἑξῆς βαδιοῦμαι, ὦ ἀγαπητοὶ, Θεὸν [1] ἐπικαλούμενοι εἰς βοήθειαν τῆς ἡμετέρας ταπεινότητος, καὶ εἰς πλήρωσιν τῆς ἡμῶν ἐπαγγελίας.

ΚΑΤΑ ΤΕΣΣΑΡΕΣΚΑΙΔΕΚΑΤΙΤΩΝ
τριακοστὴ, ἡ καὶ πεντηκοστή.

Κεφ. α'. Ἀπὸ τούτων τῶν δύο αἱρέσεων ὁμοῦ ἀλλήλαις μιχθεισῶν, κατὰ Φρύγας τε καὶ Κυϊντιλλιανῶν ἤτοι Πρισκιλλιανῶν, ἀνέκυψε πάλιν τῷ κόσμῳ ἑτέρα αἵρεσις Τεσσαρεσκαιδεκατιτῶν, οὕτως καλουμένη. Καὶ οὗτοι μὲν πάντα ἔχουσιν ὡς ἡ ἐκκλησία, σφάλλονται δὲ ἀπὸ πάντων διὰ τὸ μὴ τῇ ἀκολουθίᾳ καὶ τῇ διδασκαλίᾳ τοῦ θεσμοῦ προσανέχειν, Ἰουδαϊκοῖς ἔτι μύθοις προσανέχοντες, καὶ οὔτε τὰ ἴσα αὐτοῖς δογματίζουσιν. Οὐ γὰρ ἃ λέγουσιν οἴδασιν, οὐδὲ περὶ τίνων διαβεβαιοῦνται. Ἅπαξ γὰρ τοῦ ἔτους μίαν ἡμέραν τοῦ Πάσχα οἱ τοιοῦτοι φιλονείκως ἄγουσι· καί τοί γε περὶ πατρὸς καὶ υἱοῦ καὶ ἁγίου πνεύματος καλῶς καὶ ἴσως ἔχοντες, προφήτας [1] δὲ δεχόμενοι καὶ ἀποστόλους καὶ εὐαγγελιστὰς, ἀνάστασιν δὲ σαρκὸς ὁμοίως ὁμολογοῦντες, καὶ κρίσιν ἐσομένην καὶ ζωὴν αἰώνιον. Περιέπεσον δὲ [2] ἀστοχήματι καὶ αὐτοὶ οὐ τῷ τυχόντι· δῆθεν κεχρημένοι τῷ ῥητῷ ᾧ εἶπεν ὁ νόμος ὅτι, Ἐπικατάρατος ὃς οὐ ποιήσει τὸ Πάσχα τῇ τεσσαρεσκαιδεκάτῃ ἡμέρᾳ τοῦ μηνός.

pag. 420. Ἕτεροι δὲ ἐξ αὐτῶν τὴν αὐτὴν μίαν ἡμέραν ἄγοντες καὶ τὴν αὐτὴν μίαν ἡμέραν νηστεύοντες καὶ τὰ μυστήρια ἐπιτελοῦντες ἀπὸ τῶν Ἄκτων

Cap. III. — 1. ἐπικαλούμενος *putabat Petavius, immemor quod Epiphanius enallagen numeri admodum frequentat.*

Verum enimvero ubi ab sincera religione semel aberratum est, ridicula ac perturbata, quae ab hominibus geruntur, esse omnia necesse est: varia ut inde furoris genera, daemonumque in corpora impressiones oriantur. Nam qui veritatis ancoram minime retinent: sed ventorum flatibus quacumque se occasione permittunt; horum animi praecipites amentia feruntur. Quod enim mulierculas ad episcoporum aut presbyterorum ordinem asciscunt, idque ob Evam facere se dictitant, audiunt sane quod a domino dictum est: *Ad virum erit conversio tua, et ipse dominabitur tibi.* Quin illud ignorant apostoli praescriptum: *Mulieri non permitto loqui, neque in viros auctoritatem habere.* Item: *Non enim vir est a muliere, sed mulier ex viro.* Et, *Adam non est deceptus, sed Eva prior decepta in transgressione fuit.* O mundi huius vanitatem erroremque multiplicem! Cap. III. Gen. 3, 16. 1. Cor. 14, 34. 1. Cor. 11, 8. 1 Tim 2, 14.

Sed iam, carissimi, edentula hac et amentiae plena haeresi stellionis instar praeterita, reliquas aggrediamur: ac dei primum imploremus auxilium, ut is tenuitati nostrae subveniat, quo susceptum opus ad exitum perducamus.

CONTRA QUARTADECIMANOS.
Haeresis XXX., sive L.

Ex iis duabus inter se commistis Phrygum et Quintillianorum sive Priscillianorum sectis nova quaedam conflata est et in orbem introducta Quartadecimanorum haeresis. Qui ceteris in rebus cum ecclesia consentientes, hoc ipso ab omnibus aberrant, quod non illius institutis doctrinaeque consentanea quaedam amplexi sunt. Nam et Iudaicis insuper fabulis inhaerent; neque tamen paria cum illis eademque sentiunt. *Quae enim dicunt non norunt, nec de quibus affirmant.* Quippe semel quotannis unum Paschatis diem praefracte celebrant. Quamquam de patre, filio ac spiritu sancto sinceram cum catholicis opinionem retinent, sed et prophetas et apostolos et evangelistas approbant. Resurrectionem carnis perinde ut illi futuram non dubitant; quemadmodum neque iudicium vitamque sempiternam. Sed inter haec tamen non mediocri calamitate conflictantur, eo quod id quod lege scriptum est perperam accipiunt: *Maledictus qui non fecerit Pascha XIV. die mensis.* Cap. I. 1. Tim. 1, 7.

Sunt inter eos nonnulli qui unam eandemque diem observant, et una eademque ieiunant ac mysteriis operantur. Nam ex Actis Pi-

Cap. I. — 1. *Hoc δὲ vocabuli sequentis δεχόμενοι esse subolem suspicor.* 2. *Recte Cornarius:* Inciderunt autem et ipsi in e r r o r e m non vulgarem.

δῆθεν Πιλάτου αὐχοῦσι τὴν ἀκρίβειαν εὑρηκέναι, ἐν οἷς ἐμφέρεται τῇ πρὸ ὀκτὼ Καλανδῶν Ἀπριλλίων τὸν σωτῆρα πεπονθέναι, καὶ ἐν ἐκείνῃ τῇ ἡμέρᾳ βούλονται ἄγειν τὸ Πάσχα ὁποίᾳ δ' ἂν ἐμπέσῃ ἡ τεσσαρεσκαιδεκάτη τῆς σελήνης. Οἱ δὲ ἐν τῇ Καππαδοκίᾳ τὴν αὐτὴν μίαν ἡμέραν τὴν πρὸ ὀκτὼ Καλανδῶν Ἀπριλλίων ἄγουσι. Καὶ ἐν αὐτοῖς δὲ στάσις οὐχ ἡ τυχοῦσα, τῶν μὲν λεγόντων τῇ τεσσαρεσκαιδεκάτῃ τῆς σελήνης τῶν πρὸ ὀκτὼ Καλανδῶν Ἀπριλλίων· ἔτι δὲ εὕρομεν ἀντίγραφα [3] ἐκ τῶν Πιλάτου, ἐν οἷς σημαίνει πρὸ δεκαπέντε Καλανδῶν Ἀπριλλίων τὸ πάθος γεγενῆσθαι. Τἀληθῆ δὲ, ὡς ἐκ πολλῆς ἀκριβείας ἔγνωμεν, ἐν τῇ πρὸ δεκατριῶν Καλανδῶν Ἀπριλλίων τὸν σωτῆρα πεπονθέναι κατειλήφαμεν. Τινὲς δὲ τῇ πρὸ δέκα Καλανδῶν Ἀπριλλίων λέγουσιν. Ἐξέπεσον δὲ καὶ οὗτοι τοῦ προκειμένου. Δέδια δὲ καὶ περὶ τούτων ἐπὶ πλεῖστον [4] μηκῦναι τὸν λόγον· πολλὰ γὰρ ἔχομεν λέγειν.

Κεφ. β'. Πληρώσας γὰρ ὁ νομοθέτης τὸν πάντα νόμον Μωσῆς, ἐκ θεοῦ λαβὼν τὸ [1] πρᾶγμα ἐν τῇ ἐσχάτῃ βίβλῳ, Δευτερονομίου τουτέστι, τίθησι πάσας τὰς κατάρας, οὐ μόνον περὶ Πασχῶν, ἀλλὰ καὶ περὶ περιτομῆς καὶ περὶ δεκατώσεως καὶ προσφορῶν, ὥστε οὖν, εἰ μίαν κατάραν πεφεύγασιν, εἰς πολλὰς ἑαυτοὺς ἐνέπειραν. Εὑρεθήσονται γὰρ ἐπικατάρατοι, μὴ περιτεμνόμενοι, ἐπικατάρατοι, μὴ ἀποδεκατοῦντες, καὶ ἐπικατάρατοι γίνονται, μὴ εἰς Ἱερουσαλὴμ προσφέροντες. Καὶ, ὢ τῶν πολλῶν ἀνθρώπων τῶν εἰς πολλὰς ἑαυτοὺς ἐρεσχελίας ἐμβαλλόντων· ἀληθῶς γὰρ ἔστιν εἰπεῖν ἐκεῖνο τὸ ῥῆμα τὸ συνετὸν τοῦ [2] Ἐκκλησιαστικοῦ, τὸ ἐκ πνεύματος ἁγίου ἡμῖν διεσταλμένον, ὅτι, Τοῦτο ἔγνω ὁ Ἐκκλησιαστὴς, ὅτι ὁ θεὸς συνετὸν ἄνθρωπον ἐποίησεν εὐθῆ· αὐτοὶ δὲ ἐζήτησαν πολλὰς [3] ἑαυτοῖς ὁδούς.

Πόθεν γὰρ οὐ διαπίπτει τούτων ἡ διάνοια; Πρῶτον γὰρ [4] εἰ τῃ τεσσαρεσκαιδεκάτῃ τὸ Πάσχα ἄγουσι, χρείαν ἔχουσι τὸ πρόβατον λαβεῖν ἀπὸ δεκάτης, καὶ τηρεῖν αὐτὸ ἕως τεσσαρεσκαιδεκάτης, καὶ οὐκέτι μία ἡμέρα ἔσται τῆς νηστείας, ἀλλὰ πέντε, [5] ἤτοι δεκάτη καὶ ἑνδεκάτη καὶ
pag. 421. δωδεκάτη, καὶ τρισκαιδεκάτη, καὶ τεσσαρεσκαιδεκάτη. Ἐὰν δὲ πρὸς ἑσπέραν τυθῇ τὸ Πάσχα, ἡ αὐτὴ τεσσαρεσκαιδεκάτη ἐπιφώσκουσα ἓξ διατελεῖ ἡμέρας ἐν τῇ νηστείᾳ, καὶ οὐκέτι μία ἔσται τῆς νηστείας· καὶ διέπεσεν ἡ περὶ μιᾶς ἡμέρας αὐτῶν ζήτησις, οὐ μία τις οὖσα. Ἔχει γὰρ τὰ πρωτότυπα συνεζευγμένα, καὶ ἐζημίωνται οὐκ ὀλίγην κατὰ θεὸν πραγματείαν. Ἔδει γὰρ τὸν Χριστὸν ἐν τεσσαρεσκαιδεκάτῃ ἡμέρᾳ θύε-

3. *Fortasse* Ἄκτων *pro* ἐκ τῶν *reponendum est.*
4. μηκύναι *extat vulgo.*
Cap. II. — 1. *Servavi* πρᾶγμα, *h. e. negotium, quod libri vindicant: Petavius volebat* πρόσταγμα. — *Vulgo distinctum reperitur* βίβλῳ Δευτερονομίου, τουτέστι τίθησι *celt.*
2. *Haec vetus scriptura est. Petavius correxerat* Ἐκκλησιαστοῦ. *At vetusti scriptores* Ecclesiasten Ecclesiasticum *interdum appellare nolum est. Sic Tertull. Adv.*

lati accuratam se huius instituti rationem didicisse gloriantur; in quibus scriptum est VIII. Kal. Aprilis salvatorem esse passum. Quamobrem illa ipsa die celebrare Pascha volunt, in quamcumque demum lunae XIV. dies incurrerit. At qui in Cappadocia degunt, eandem diem quae est VIII. Kal. Apr. celebrant. Tametsi non mediocris est inter illos dissensio. Nonnulli enim lunam XIV. statuunt, quae in VIII. Kal. Apr. incidit. Nos Actorum eiusmodi Pilati exemplaria quaedam invenimus, quae a. d. XV. Kal. Apr. passionem Christi contigisse narrabant. Verum certo et ex rei veritate comperimus a. d. XIII. Kal. Apr. passum esse salvatorem. Alii ad X. Kal. Apr. reiiciunt. Sed isti a proposito exciderunt. Verum nolo pluribus ea de re disputare. Alioqui multa nobis ad dicendum suppetunt.

Moyses quidem legislator, cum universam legem edixisset, mandato divinitus recepto, ut in postremo Deuteronomii libro scriptum est, imprecationes omnes proposuit, non modo quae ad Paschatis celebrationem, sed etiam quae ad circumcisionem ac decumas et oblationes spectabant. Quare dum unum imprecationis genus devitant, in alias complures semetipsos induunt. Execrabiles quippe eos oportet esse, qui neque circumcidantur amplius, neque decumas pensitent, neque Hierosolyma quicquam offerendi gratia submittant. O homines sponte cavillationibus variis ac ludibriis opportunos! Hoc enim ab ecclesiaste sapienter dictum, vel potius a spiritu sancto nostra caussa pronuntiatum, ad illos accommodari potest: *Hoc novit Ecclesiastes, quoniam deus prudentem hominem fecit rectum; illi autem inquisierunt varias sibimetipsis vias.*

Cap. II. Deut. 27.

Ecclesiast. 7, 29.

An non istorum explodenda merito sententia est? Primum enim si Pascha die XIV. celebrant, iam tum a die X. praeparandus illis agnus erit, nec amplius una erit consecrata ieiunio dies, sed quinque, nimirum decima, undecima, duodecima, decima tertia et decima quarta. Quod si ad vesperam Pascha fuerit immolatum, quod XIV. die illucescente geritur, VI dies ieiunio tribuendi sunt, nec iam unus praefinietur, sicque omnis illa de una die quaestio per se ipsa corruit, quae esse unica desinit. Nam et ad illas figurarum umbras, quae iis ipsis significantur, ad amussim congruunt, et istos necesse est haud mediocrem divinorum mysteriorum iacturam facere. Christum enim XIV. die mactari ex praescripto legis oportuit, ut

Marcion. V, 4.

3. *Ita correxi. Cod. Rhedig. habet* αὐτοὺς, *reliqui libri* ἑαυτοὺς.

4. εἰ τῇ *ego.* ἐν τῇ *libri omnes.*

5. ἤτοι *scripsi pro* ἢ τῇ *quod libri retinent. Item in eis quae sequuntur nominativos reduxi, cum edd. Cornarii et Petavii habeant* τῇ δεκάτῃ καὶ ἑνδεκάτῃ καὶ δωδεκάτῃ καὶ τρισκαιδεκάτῃ καὶ τεσσαρεσκαιδεκάτῃ.

σθαι κατὰ τὸν νόμον, ὅπως λήξῃ παρ' αὐτοῖς τὸ φωτίζον αὐτοὺς φῶς κατὰ τὸν νόμον, τοῦ ἡλίου ἀνατείλαντος καὶ σκεπάσαντος τῆς σελήνης τὸ σέλας. Ἀπὸ γὰρ τεσσαρεςκαιδεκάτης καὶ κάτω φθίνει τὸ φαεινὸν τῆς σελήνης. Οὕτω καὶ ἐν τῷ νόμῳ ἀπὸ τῆς τοῦ Χριστοῦ παρουσίας καὶ πάθους ἠμαύρωται ἡ Ἰουδαϊκὴ συναγωγὴ, κατηύγασε δὲ τὸ εὐαγγέλιον· μὴ καταλυθέντος τοῦ νόμου, ἀλλὰ πληρωθέντος· μὴ καταργηθέντος τοῦ τύπου, ἀλλὰ παραστήσαντος τὴν ἀλήθειαν. Οὕτω γὰρ καὶ ἐν τῷ πεποιηκέναι τὸ Πάσχα ἐν τῇ Ἱεριχῷ εὐθὺς ἐπήνεγκεν ἡ θεία γραφὴ, λέγουσα, Καὶ ἔφαγον ἐν Γαλγάλοις, καὶ ἐξέλιπε τὸ μάννα· προμαρτυροῦσα αὐτοῖς ἡ θεία γραφὴ, καὶ προφητεύουσα, ὅτι τῷ πάθει κυρίου διὰ τὴν αὐτῶν ἐπαρνησιθεῖαν λήξει παρ' αὐτοῖς ἡ βρῶσις ἡ [6] ἀγγελικὴ καὶ ἐπουράνιος, ὅπερ μάννα παρ' αὐτοῖς κέκληται.

Κεφ. γ'. Πανταχόθεν δὲ ἡ ἁγία θεοῦ ἐκκλησία περὶ τῆς χρείας ταύτης τῆς μυσταγωγίας συλλέγουσα τὸν σύνδεσμον οὐ διαπίπτει τῆς ἀληθείας. Κέχρηται γὰρ οὐ μόνον τῇ τεσσαρεςκαιδεκάτῃ, ἀλλὰ καὶ τῇ ἑβδομάδι τῇ κατὰ περίοδον ἀνακυκλουμένῃ τάξει τῶν τοῦ σαββάτου ἑπτὰ ἡμερῶν· ἵνα κατὰ τὰ ὑπὸ τοῦ κυρίου γενόμενα κατὰ τὸ πρωτότυπον εἴη ἀνάστασίς τε καὶ εὐωχία. Καὶ κέχρηται οὐ μόνον τῇ τεσσαρεςκαιδεκάτῃ τῆς σελήνης, ἀλλὰ καὶ τῷ δρόμῳ τοῦ ἡλίου· ἵνα μὴ ἐνὶ ἐνιαυτῷ δύο Πάσχα ποιοῦντες ἐν τῷ ἑτέρῳ μηδὲ ἓν Πάσχα τελέσωμεν. Διὸ παρατηρούμεθα μὲν τὴν τεσσαρεςκαιδεκάτην, ὑπερβαίνομεν δὲ τὴν ἰσημερίαν, φέρομεν δὲ ἐπὶ τὴν ἁγίαν κυριακὴν τὸ τέλος τῆς συμπληρώσεως, λαμβάνομεν δὲ τὸ πρόβατον ἀπὸ δεκάτης, ὄνομα τοῦ Ἰησοῦ ἐπιγνόντες διὰ τὸ ἰῶτα, ἵνα μὴ λάθῃ ἡμᾶς μηδὲν τῶν κατὰ τὴν ἀλήθειαν πᾶσαν τῆς ζωτικῆς ταύτης τοῦ Πάσχα τῆς ἐκκλησιαστικῆς καὶ ἀληθινῆς πραγματείας.

pag. 422. Ὑπερβήσομαι δὲ καὶ τοῦτο τὸ ἐμφύσημα τοῦ [1] βέωνος, εἴτουν φυσαλοῦ ὄφεως, διὰ τῆς τοῦ Χριστοῦ δυνάμεως ἐπισφραγισάμενος καὶ ἐπὶ τὰς ἑξῆς τὸν νοῦν προτείνων, θεὸν συνήθως ἐπικαλούμενος εἰς βοήθειαν.

ΚΑΤΑ ΤΗΣ ΑΙΡΕΣΕΩΣ
τῆς μὴ δεχομένης τὸ κατὰ Ἰωάννην Εὐαγγέλιον, καὶ τὴν Ἀποκάλυψιν, ἣν ἐκάλεσεν *Ἀνοήτων, τριακοστὴ πρώτη, ἡ καὶ πεντηκοστὴ πρώτη.

Κεφ. α'. Καθεξῆς δὲ τούτων τῶν αἱρέσεων, μετὰ τὴν κατὰ Φρύγας τε καὶ Κυϊντιλλιανοὺς καὶ Τεσσαρεςκαιδεκατίτας οὕτω καλουμένους, ἀνεφύη

6. ἀγγελικὴ *conjectura est Petavii, pro* εὐαγγελικὴ, *quod libri veteres tuentur.*
Cap. III. — 1. *Franc. Francus (Salmasius) Consulat. Animadv. Ant. Cercoetii pag. 77.:* „Serpentem quem Graeci φύσαλον vocant bufonem facit Petavius, qui in Graecis vocatur βέων. Quasi bufo sit serpens, aut quasi φύσαλος sit

eius lumen, quod Iudaeos collustrabat, oriente sole ac lunam abscondente desineret. Etenim a XIV. die deinceps lunae splendor imminuitur. Sic in veteri lege post adventum ac passionem domini Iudaeorum obscurata synagoga evangelicum lumen affulsit; non ut soluta lex sit, sed impleta, neque ut in nihilum figura redacta sit, sed ut veritatem exhibuerit. Ita post Pascha ad Hierichuntem peractum scriptura statim adiecit: *Et comederunt in Galgalis, et defecit* Ios. 5, 12.
manna. Quibus verbis idipsum sacrae literae vaticinando testatae sunt, dominica nece propter abnegatum ab illis numen, angelicum ac coeleste pabulum, quod appellabant manna, desiturum.

Ecclesia porro catholica, quae ad id mysterium celebrandum Cap. III.
necessaria sunt undique contrahens et in unum conferens veritatem retinet. Nam non solum XIV. diem observat, sed et hebdomadem, hoc est septenos illos sabbati dies, qui perpetuo circuitu ac revolutione redeunt, ut ad eorum exemplar quae sunt a domino gesta resurrectio epulaeque celebrentur. Deinde praeter lunae XIV. diem etiam cursum solis adhibet, ne duplex in eundem annum Pascha ita committatur, ut altero anno ne unum quidem habeatur. Quocirca XIV. illam diem sic tenemus, ut aequinoctium praetergrediamur. Ac demum in sanctam dominicam religiosissimi temporis finem coniicimus; sed agnum iam tum a decimo die sumimus; quoniam in iota litera Iesu nomen agnoscimus: ne quid omnino diligentiam nostram effugiat, quod ad ecclesiasticam et germanam ac vitae salutisque conciliatricem Paschatis celebrationem pertinere videatur.

Sed iam pestiferum bufonis huius afflatum Christi potentia velut obsignatus munitusque praeteribo: ac dei ope postulata, animum ad reliquas convertam.

ADVERSUS HAERESIN ILLAM,
quae Ioannis Evangelium et Apocalypsin reiicit, quam Amentium appellat, haeresis XXXI., sive LI.

Post Cataphrygum, Quintillianorum et Quartadecimanorum se- Cap. I.
ctas nova quaedam in orbem terrarum erupit haeresis, velut imbecil-

bufo. Ita Graeci genus vocant serpentis qui et παρείας dicebatur. Βέων autem rectum est, ut alibi dicam." *Cf. haer.* 40, 8.

* „Imo potius Ἀλόγων," *adscripsit Petavius. Cf. cap.* 3 *et* 28., ubi ipse Epiphanius Alogorum nomen interpretatur.

τῷ βίῳ αἵρεσις ἑτέρα, ὥςπερ ἑρπετὸν ἀσθενὲς, μὴ δυνάμενον ἀντισχεῖν πρὸς τὴν ὀσμὴν τῆς δικτάμνου, ἤτοι στύρακος, ἢ λιβανίτιδος, ἢ τῆς ἀβροτόνου, ἢ τῆς ὀσμῆς τοῦ ἀσφάλτου, ἢ τοῦ θυμιάματος, ἢ τοῦ λίθου τοῦ γαγάτου, ἢ τοῦ κέρατος τῆς ἐλάφου. Φασὶ γὰρ οἱ ἐν συνηθείᾳ γεγονότες καὶ διὰ πείρας τούτων ταῦτα τὰ εἴδη ἀπελαστικὰ εἶναι ἑρπετῶν καὶ ἰοβόλων. Καὶ τὴν μὲν δίκταμνόν τινες καλοῦσιν ἀπὸ τοῦ τοὺς παῖδας τῶν ἰατρῶν κεχρῆσθαι ταύτῃ εἰς τὴν τῶν τικτουσῶν γυναικῶν βοήθειαν· ὥςτε ἀφ' ἡμῶν εἰκότως ἀπεικάζεσθαι εἰς τὸν ἄνωθεν ἐλθόντα λόγον θεὸν ἀπὸ τῶν ἐπουρανίων, ἐκ πατρὸς ἀχρόνως καὶ ἀνάρχως γεγεννημένον. Φησὶ γὰρ ὁ Σολομὼν περὶ τῆς ἄφρονος καὶ φαύλης γυναικὸς ὅτι μισεῖ λόγον ἀσφαλείας. Οὕτως καὶ οὗτοι τὰ στερεὰ τοῦ κηρύγματος μεμισήκασιν, ἐπίγειοι ὄντες καὶ πρὸς τὰ ἐπουράνια ἀπεχθανόμενοι. Ὅθεν δεδιότες τὴν φωνὴν τοῦ ἁγίου πνεύματος, τὴν λέγουσαν, Φωνὴ κυρίου καταρτιζομένη ἐλάφους· τοῦ εἰπόντος τοῖς αὐτοῦ δούλοις καὶ ἀποστόλοις, Ἰδοὺ, δέδωκα ὑμῖν τὴν ἐξουσίαν πατεῖν ἐπὶ ὄφεις καὶ σκορπίους, καὶ ἐπὶ πᾶσαν τὴν δύναμιν τοῦ ἐχθροῦ. Αὕτη γὰρ ἦν ἡ φωνὴ ἡ καταρτιζομένη ἐλάφους, ἡ δοθεῖσα εἰς τὸν κόσμον διὰ τῶν ἁγίων ἀποστόλων καὶ εὐαγγελιστῶν, καταπατῆσαι τὴν τοῦ διαβόλου ἐναντιότητα. Ἐξ ὧν ὁ ἅγιος Ἰωάννης ἀκρότατα ἐπέστησε, καὶ διήλεγξε τὴν δύναμιν τῶν πεπλανημένων καὶ ὀφιομόρφων.

Κεφ. β'. Ἀλλὰ οὐκ ἰσχύουσιν ἐν τῇ κιβωτῷ οἱ τοιοῦτοι. Ἐπιτρέπεται γὰρ
pag. 423. ὁ ἅγιος Νῶε κατὰ τὸ ῥῆμα κυρίου ἐπασφαλίσασθαι τὴν τοιαύτην, ὥς φησι πρὸς αὐτὸν, Ἀσφαλτώσεις αὐτὴν ἔσωθεν καὶ ἔξωθεν· ἵνα δείξῃ τὸ εἶδος τῆς ἁγίας τοῦ θεοῦ ἐκκλησίας, ἐχούσης τῆς ἀσφάλτου τὴν δύναμιν, τὴν ἀποδιώκουσαν τὰ δεινὰ καὶ ὀλετήρια ἑρπετώδη διδάγματα. Ὅπου γὰρ θυμιᾶται ἡ ἄσφαλτος, οὐκ ἰσχύσει στῆναι ὄφις. Ἐκάρωσε τοίνυν τούτους τὸ ἅγιον θυμίαμα τοῦ στύρακος, καὶ παραιτοῦνται τούτου τὴν ὀδμὴν, καὶ τῆς ἀβροτόνου, εἴτουν λιβανίτιδος, ἡ δύναμις κατ' αὐτοῦ τοῦ ὄφεως ἐπιφύσασα, καὶ ἐπάνω τοῦ φωλεοῦ αὐτοῦ ἐκβλαστήσασα. Ἔνθα γὰρ τὸν Χριστὸν ἐκ παρατριβῆς ψιλὸν ἄνθρωπον ἐκήρυττεν ὁ Ἐβίων καὶ ὁ Κήρινθος, καὶ οἱ ἀμφ' αὐτοὺς, φημὶ δὲ ἐν τῇ Ἀσίᾳ, ἐκεῖ τὸ πνεῦμα τὸ ἅγιον ἀνέτειλε τῷ κόσμῳ ταύτην τὴν ἁγίαν βοτάνην, εἴτουν θάμνον, τὴν ἀποδιώξασαν τὸν ὄφιν καὶ λύσασαν τὴν τοῦ διαβόλου τυραννίδα. Ἐκεῖ γὰρ ὁ ἅγιος Ἰωάννης μεθ' ἡλικίαν γηραλέαν ἐπιτρέπεται ὑπὸ τοῦ πνεύματος τοῦ ἁγίου κηρύξαι καὶ ἀνακάμψαι τοὺς ἐν τῇ ὁδῷ πεπλανημένους, οὐ μετὰ ἀνάγκης, ἀλλὰ μετὰ προαιρέσεως τοῖς πειθομένοις ἀποκαλύψας θεοῦ τὸ φῶς, τὸ ἐν τῇ ἁγίᾳ θεοῦ διδασκαλίᾳ. Ἀλλ' ἕως πότε μηκύνω τὸν λόγον; Καὶ γὰρ τῷ μένοντι ὅπου ἀναφυῇ ἀβρότονος, ἐκεῖ ὄφις οὐκέτι ἐγκαταμένει, οὔτε ἐμφωλεύει, καὶ ὅπου θεοῦ ἀληθὴς διδασκαλία, οὐ κατισχύσει κατοικητήριον ἑρπετώδους διδασκαλίας, ἀλλὰ διόλλυται.

lus serpens, qui dictamni, vel styracis, aut libanitidis, aut abrotoni, aut bituminis, aut suffitus, aut gagatae lapidis, aut denique cervini cornu odorem non sustinet. His enim rebus serpentes ac venenatas bestias abigi proditum ab iis est qui id usu experientiaque didicerunt. Quod vero ad dictamnum pertinet, inde esse dictum plerique censent, quod ad parturientium remedia a medicis adhibetur. Quare merito id divino verbo, deo inquam qui de coelo delapsus est, et a patre sine ullo tempore est aut initio genitus, a nobis accommodatur. Quod vero Salomon de stolida ac nequam muliere dicit, *odisse illam securitatis sermonem,* hoc ad istos transferri potest, qui solidam ac constantem doctrinam penitus oderunt. Terrae siquidem affixi sunt et a coelestibus abhorrent. Ideoque vocem illam sancti spiritus perhorrescunt: *Vox domini praeparantis cervos.* Qui quidem servis Psalm. 28, 9.
suis et apostolis dixit, *Ecce dedi vobis potestatem calcandi super serpentes et scorpiones, et super omnem virtutem inimici.* Luc. 10, 19. Haec enim illa vox erat *cervos praeparans,* quae per sanctos apostolos et evangelistas per orbem est dissipata uti diaboli hostilis ad repugnandum vis et audacia proculcaretur. Sed ex apostolorum numero praecipue Ioannes extitit, qui animum intendens caecorum istorum ac serpentibus similium potentiam reprimeret.

Quamquam nihil adversus arcam conatus istorum proficit. Quam Cap. II.
ideo munire ac firmare sanctus Noë divina voce commonetur. Sic enim deus praecipit: *Linies eam bitumine intus et foris.* Gen. 6, 14.
Ut sanctae dei ecclesiae speciem praeberet, quae bituminis vim habet, qua perniciosa ac letifera serpentum dogmata propulsantur. Ubicumque enim bitumen suffiunt, nullus ibi serpens moratur. Quinetiam sancto styracis nidore sopiuntur, cuius odorem fugiunt, ut et abrotoni sive libanitidis vim, si supra serpentis latibulum consita fuerit atque pullularit. Etenim iisdem illis in locis, in quibus nudum hominem, et ex utriusque sexus coniunctione satum esse Christum Ebion et Cerinthus cum suis asserere ausi sunt, hoc est in Asia, ibidem spiritus sanctus illam velut herbam sanctissimam aut fruticem in orbem extulit, quo et serpens abigeretur et tyrannicus diaboli dominatus everteretur. Illic siquidem b. Ioannes affecta iam aetate praedicare sancti spiritus hortatu iubetur, et errantes a via revocare; non ut vi ac necessitate cogeret, sed ut sponte ac volentes induceret, iisdemque postea divinum coelestis doctrinae lumen impertiret. Verum quid ego de ea re diutius disputo? Quicumque enim in eo loco manet, ubi abrotonum consitum est, nullus ibi manebit latebitque serpens. Sic ubi vera est dei doctrina, nulla venenatae doctrinae latebra vim habebit aliquam, sed funditus occidet.

Κεφ. γ'. [1] Τί φάσκουσι τοίνυν οἱ Ἄλογοι; Ταύτην γὰρ αὐτοῖς [2] τίθημι τὴν ἐπωνυμίαν· ἀπὸ γὰρ τῆς δεῦρο οὕτως κληθήσονται, καὶ οὕτως, ἀγαπητοὶ, ἐπιθῶμεν αὐτοῖς ὄνομα, τουτέστιν [3] Ἄλογοι. Εἶχον γὰρ τὴν αἵρεσιν καλουμένην, ἀποβάλλουσαν Ἰωάννου τὰς βίβλους. Ἐπεὶ οὖν τὸν λόγον οὐ δέχονται τὸν παρὰ Ἰωάννου κεκηρυγμένον, Ἄλογοι κληθήσονται. Ἀλλότριοι τοίνυν παντάπασιν ὑπάρχοντες τοῦ κηρύγματος τῆς ἀληθείας ἀρνοῦνται τὸ καθαρὸν τοῦ κηρύγματος, καὶ οὔτε τὸ τοῦ Ἰωάννου εὐαγγέλιον δέχονται, οὔτε τὴν αὐτοῦ Ἀποκάλυψιν. Καὶ εἰ μὲν ἐδέχοντο τὸ εὐαγγέλιον, τὴν δὲ Ἀποκάλυψιν ἀπεβάλλοντο, ἐλέγομεν ἂν μή πη ἄρα κατὰ ἀκριβολογίαν τοῦτο ποιοῦνται, ἀπόκρυφον μὴ δε-
pag. 424. χόμενοι, διὰ τὰ ἐν τῇ Ἀποκαλύψει βαθέως καὶ σκοτεινῶς εἰρημένα. Ὁπότε δὲ οὐ δέχονται φύσει τὰ βιβλία τὰ ἀπὸ τοῦ ἁγίου Ἰωάννου κεκηρυγμένα, παντί τῳ δῆλον εἴη, ὅτι οὗτοί εἰσι καὶ οἱ ὅμοιοι τούτοις περὶ ὧν εἶπεν ὁ ἅγιος Ἰωάννης ἐν ταῖς καθολικαῖς ἐπιστολαῖς ὅτι, Ἐσχάτη ὥρα ἐστὶ, καὶ ἠκούσατε ὅτι Ἀντίχριστος ἔρχεται· καὶ νῦν ἰδοὺ Ἀντίχριστοι πολλοὶ, καὶ τὰ ἑξῆς. Προφασίζονται γὰρ οὗτοι, αἰσχυνόμενοι ἀντιλέγειν τῷ ἁγίῳ Ἰωάννῃ, διὰ τὸ εἰδέναι αὐτοὺς καὶ αὐτὸν ἐν ἀριθμῷ τῶν ἀποστόλων ὄντα, καὶ ἠγαπημένον ὑπὸ τοῦ κυρίου, ὃς ἀξίως τὰ μυστήρια ἀπεκάλυψε, καὶ ἐπὶ τὸ στῆθος αὐτοῦ ἀνέπεσε. Καὶ ἑτέρως αὐτὰ ἀνατρέπειν πειρῶνται. Λέγουσι γὰρ μὴ εἶναι αὐτὰ Ἰωάννου, ἀλλὰ Κηρίνθου, καὶ οὐκ ἄξια αὐτά φασιν εἶναι ἐν ἐκκλησίᾳ.

Κεφ. δ'. Καὶ ἀπ' αὐτῆς τῆς ἐπιβολῆς εὐθὺς ἐλέγχονται μήτε ἃ λέγουσιν νοοῦντες, μήτε περὶ τίνων διαβεβαιοῦνται. Πῶς γὰρ ἔσται Κηρίνθου τὰ κατὰ Κηρίνθου λέγοντα; Κήρινθος γὰρ πρόσφατον καὶ ψιλὸν τὸν Χριστὸν ἔχει ἄνθρωπον, ὁ δὲ Ἰωάννης ἀεὶ ὄντα τὸν λόγον κεκήρυχε, καὶ ἄνωθεν ἥκοντα καὶ σαρκωθέντα. Ἀπ' αὐτῆς τοίνυν τῆς εἰςβολῆς ἐλήλεγκται ἡ τούτων ματαιοσυκοφαντία, μωρία τις οὖσα, καὶ μὴ νοοῦσα πόθεν διελέγχεται. Δοκοῦσι γὰρ καὶ αὐτοὶ τὰ ἴσα ἡμῖν πιστεύειν· μὴ κατέχοντες δὲ τὰ ἀσφαλῆ τοῦ ἐκ θεοῦ οἰκονομηθέντος ἡμῖν διὰ τοῦ ἁγίου Ἰωάννου κηρύγματος, εὑρεθήσονται διελεγχόμενοι ἐν οἷς ἀγνοοῦσι, πῶς κατὰ τὴν τῆς ἀληθείας ἐπαίρονται γνῶσιν. Καὶ ἐάν γε θελήσωσιν ἀνανῆψαι καὶ κατανοῆσαι, γνώσονται. Ἡμεῖς γὰρ τὰς ἀπὸ τοῦ ἁγίου πνεύματος διδασκαλίας ἀξιολόγως καὶ ἠσφαλισμένως οὔσας οὐκ ἀποβάλοιμεν. Φάσκουσι γὰρ καθ' ἑαυτῶν, οὐ γὰρ εἴποιμι κατὰ τῆς ἀληθείας, ὅτι οὐ συμφωνεῖ τὰ αὐτοῦ βιβλία τοῖς λοιποῖς ἀποστόλοις. Καὶ δοκοῦσι λοιπὸν ἐπιλαμβάνεσθαι τῆς ἁγίας καὶ ἐνθέου διδασκαλίας, καὶ, Τί, φησὶν, εἶπεν; ὅτι, Ἐν ἀρχῇ ἦν ὁ λόγος, καὶ ὁ λόγος ἦν πρὸς τὸν θεὸν, καὶ θεὸς ἦν ὁ λόγος· καὶ ὅτι, Ὁ λόγος σὰρξ

Cap. III. — 1. Τί φάσκουσι; *scribendum videbatur pro* Φάσκουσι, *quod libri habent.*
2. *Cod. Venet.* ἐπιτίθημι.
3. *Cod. Venet.* ἀλόγων.

Haec igitur Alogorum est opinio. Nam eiusmodi eis nomen imponimus, nec a nobis deinceps aliter vocandi sunt. Et vos mecum, o carissimi, Alogos illos nominate. Quorum haeresis Ioannis libros repudiat. Quamobrem cum verbum a Ioanne praedicatum respuant, Alogi, hoc est a verbo alieni nuncupandi sunt. Ergo illi a doctrina veritatis funditus abhorrentes sinceram fidem abnegant, nec Ioannis evangelium aut Apocalypsin approbant. Atqui si Apocalypsi duntaxat reiecta evangelium admitterent, dici id possent subtili quodam et accurato iudicio fecisse, ut apocrypha respuerent, quod pleraque in Apocalypsi altissimos et obscuros sensus habeant. Sed cum universos Ioannis libros proprie reiiciant, dubitare nemo potest quin ii eorumque similes illi ipsi sint quorum in catholicis epistolis Ioannes meminit: *Novissima hora est*, inquit, *et audistis, quoniam Antichristus venit: et nunc ecce Antichristi multi, etc.* Quamquam illi nonnihil ad excusandam suam audaciam conantur afferre. Pudet enim palam b. Ioanni contradicere, quod et ipsum inter apostolos fuisse numeratum et a domino praecipue dilectum non dubitent, qui et sacra mysteria pro rei dignitate patefecit, et supra domini pectus incubuit. Quare aliam damnandorum apostoli scriptorum caussam commenti sunt. Negant haec Ioannis esse, et Cerintho tribuunt, nec esse digna putant quae ab ecclesia probentur. Cap. III. 1. Ioann. 2, 18.

Verum vel hoc ipso sui conatus initio convincuntur, *nec quid dicant intelligere, nec de quibus affirment.* Qui enim fieri potest, ut haec a Cerintho scripta sint, quae Cerintho potissimum repugnent? Hic enim recentem ac nudum hominem esse Christum asseruit. Contra Ioannes perpetuo fuisse verbum, atque e coelo delapsum, et carnem esse factum pronuntiat. Quocirca statim aditu ipso deprehenditur, vanam istorum calumniandi licentiam meram esse stultitiam, nec unde redargui possit satis animadvertere. Nam illi nobiscum alioqui eadem ac paria sentire videntur. Sed cum ad eius doctrinae, quam per b. Ioannem divina nobis sapientia providit, soliditatem nequaquam adhaerescant, in iis quae nesciunt contra veritatis scientiam insolenter illos efferri cognoscimus. Atque hoc ipsimet intelligere poterunt, si resipiscere modo ac mentem advertere voluerint. Nos enim ea monumenta, quibus spiritus sancti doctrina continetur, quae quidem fide digna probataque sint, nullo modo reiicimus. At illi contra se potius quam contra veritatem illud afferunt Ioannis libros cum ceterorum apostolorum scriptis minime consentire. Ex quo deinceps sacrosanctam ac divinam illius doctrinam redarguunt. Quid enim, inquiunt, scripsit? *In principio erat verbum, et verbum erat apud deum, et deus erat verbum.* Item: *Et verbum caro factum* Cap. IV. 1. Tim. 1, 7. Ioann. 1, 1 et 14 sq.

ἐγένετο, καὶ κατεσκήνωσεν ἐν ἡμῖν· καὶ εἴδομεν τὴν δόξαν αὐτοῦ, δόξαν ὡς μονογενοῦς παρὰ πατρὸς, πλήρης χάριτος καὶ ἀληθείας· καὶ εὐθέως, Ὁ Ἰωάννης μαρτυρεῖ, καὶ κέκραγε, λέγων ὅτι, Οὗτός ἐστιν
pag. 425. ὃν εἶπον ὑμῖν· καὶ ὅτι, Οὗτός ἐστιν ὁ ἀμνὸς τοῦ θεοῦ, ὁ αἴρων τὴν ἁμαρτίαν τοῦ κόσμου· καὶ καθεξῆς φησι, Καὶ εἶπον αὐτῷ οἱ ἀκούσαντες, Ῥαββὶ, ποῦ μένεις; ἅμα δὲ ἐν ταὐτῷ, Τῇ [1] ἐπαύριον, φησὶν, ἠθέλησεν ἐξελθεῖν εἰς τὴν Γαλιλαίαν, καὶ εὑρίσκει Φίλιππον, καὶ λέγει αὐτῷ ὁ Ἰησοῦς, Ἀκολούθει μοι. Καὶ μετὰ [2] τοῦτο ὀλίγῳ πρόσθεν φησὶ, Καὶ κατὰ τρεῖς ἡμέρας γάμος ἐγένετο ἐν Κανᾷ τῆς Γαλιλαίας, καὶ ἐκλήθη ὁ Ἰησοῦς, καὶ οἱ μαθηταὶ αὐτοῦ εἰς [3] τὸν γάμον, καὶ ἦν ἐκεῖ ἡ μήτηρ αὐτοῦ. Οἱ δὲ ἄλλοι εὐαγγελισταὶ φάσκουσιν αὐτὸν ἐν τῇ ἐρήμῳ πεποιηκέναι τεσσαράκοντα ἡμέρας, πειραζόμενον ὑπὸ τοῦ διαβόλου, καὶ τότε ὑποστρέψαντα καὶ παραλαβόντα τοὺς μαθητὰς, καὶ οὐκ οἴδασιν οἱ ἀπαρακολούθητοι ὅτι ἑκάστῳ εὐαγγελιστῇ μεμελέτηται συμφώνως μὲν τοῖς ἑτέροις λαλῆσαι τὰ ὑπ' ἐκείνων εἰρημένα, ἀλλὰ [4] δὴ τὰ [5] μὴ ὑπ' ἐκείνων ῥηθέντα, παραλειφθέντα [6] δὲ, οὕτως ἀποκαλύψαι. Οὐ γὰρ ἦν αὐτῶν τὸ θέλημα, ἀλλὰ ἐκ πνεύματος ἁγίου [7] ἡ διδασκαλία καὶ ἡ ἀκολουθία. Εἰ γὰρ τούτου βούλονται ἐπιλαμβάνεσθαι, μαθέτωσαν ὅτι οἱ [8] ἄλλοι τρεῖς οὐκ ἀπ' αὐτῆς ἐνήρξαντο τῆς ἀκολουθίας. Ματθαῖος γὰρ πρῶτος ἄρχεται εὐαγγελίζεσθαι· τούτῳ γὰρ ἦν [9] ἐπιτεταγμένον τὸ εὐαγγέλιον κηρύξαι ἀπ' ἀρχῆς, ὡς καὶ ἐν ἄλλῃ αἱρέσει περὶ τούτου διὰ πλάτους εἰρήκαμεν. Οὐδὲν δὲ ἡμᾶς λυπήσει καὶ αὖθις περὶ τῶν αὐτῶν [10] διαλαμβάνειν, εἰς παράστασιν τῆς ἀληθείας καὶ ἔλεγχον τῶν πεπλανημένων.

Κεφ. ε'. Οὗτος τοίνυν ὁ Ματθαῖος καταξιοῦται τὸ εὐαγγέλιον, ὡς ἔφην, καὶ δικαιότατα ἦν. Ἔδει γὰρ τὸν ἀπὸ πολλῶν ἁμαρτημάτων [1] ἀποστρέψαντα καὶ ἀπὸ τοῦ τελωνείου ἀναστάντα [2] καὶ ἀκολουθήσαντα [3] τῷ ἐλθόντι ἐπὶ σωτηρίᾳ τῷ γένει τῶν ἀνθρώπων καὶ λέγοντι, Οὐκ ἦλθον καλέσαι δικαίους, ἀλλὰ ἁμαρτωλοὺς εἰς μετάνοιαν, εἰς ὑπόδειγμα [4] ὑμῖν τοῖς μέλλουσι σώζεσθαι, [5] τῷ ἐν τῷ [6] τελωνείῳ ἀναχθέντι καὶ ἀπὸ ἀδικίας ἀναστρέψαντι παρασχέσθαι τὸ κήρυγμα τῆς σωτηρίας, ἵνα ἀπ' αὐτοῦ μάθωσιν οἱ ἄνθρωποι τὴν τῆς παρουσίας φιλανθρωπίαν. Μετὰ γὰρ τὴν ἄφεσιν τῶν ἁμαρτιῶν ἐδωρήσατο αὐτῷ καὶ ἀνάστασιν νεκρῶν

Cap. IV. — 1. αὔριον cod. Venet.
2. τούτῳ ed. pr. et cod. Rhedig.
3. τὸ δεῖπνον τοῦ γάμου cod. Ven.
4. δὲ cod. Venet.
5. μὴ, quod vulgo omissum, restitui ex cod. Veneto.
6. δὲ, quod vulgo abest, reposui ex cod. Veneto.
7. ἡ ἀκολουθία καὶ ἡ διδασκαλία cod. Venet.
8. ἀλλότριοι οὐκ cod. Ven.
9. ἐπιτετραμμένον cod. Ven.
10. διαλαβεῖν cod. Venet.

Cap. V. — 1. Ita cod. Ven. Vulgo ἐπιστρέψαντα.
2. Verba καὶ ἀκολουθήσαντα, quae vulgo desiderantur, debemus cod. Veneto, qui habet ἀκολουθήσαντι.
3. Construe Ἔδει γὰρ τὸν ἀπὸ ἁμαρτ. ἀποστρέψαντα κ. ἀπὸ τ. τε

est, et habitavit in nobis; et vidimus gloriam eius, gloriam quasi unigeniti a patre, plenum gratiae et veritatis. Et statim: *Ioannes testatur, et clamat dicens: Hic est quem dixi vobis.* Et: *Hic est agnus dei, qui tollit peccata mundi.* Deinde ita scribit: *Et dixerunt illi qui audierant, Rabbi ubi manes?* Postea vero, *Postera die*, inquit, *voluit abire in Galilaeam, et invenit Philippum, et dicit ei Iesus, Sequere me.* Paulo post vero ita prosequitur: *Et post triduum nuptiae factae sunt in Cana Galilaeae, et vocatus est Iesus et discipuli eius ad nuptias, et erat ibi mater eius.* Evangelistae vero ceteri narrant XL dies illum in deserto mansisse, et a diabolo fuisse tentatum, ac tum demum redeuntem discipulorum habuisse delectum. Nec illud, quae eorum inscitia est, animadvertunt, id evangelistarum unumquemque studuisse, ut, quae ab aliis essent prodita, ea consentanee cum illis exponeret, interim tamen nonnulla, quae ab iisdem essent praetermissa, memoraret. Neque enim id in eorum voluntate situm fuit, sed a spiritu sancto omnis illorum doctrina scribendique ordo profectus est. Nam si reprehendendum illud existimant, intelligant tres alios evangelistas non ab ipso rerum gestarum initio narrationis suae sumpsisse primordia. Matthaeus enim primus evangelium scribere aggressus est. Cui quidem initio praedicandi evangelii munus est commissum. De qua re in alia haeresi copiose disputavimus, et nunc eadem hoc loco repetere cum ad veritatis fidem, tum ad illorum convincendos errores, minime pigebit.

Matthaeus igitur primus evangelii scribendi provinciam nactus est, ut diximus; idque ex iure merito contigit. Oportebat enim eum ipsum qui ad conciliandam humano generi salutem advenerat, quique ita dixerat: *Non veni vocare iustos, sed peccatores ad poenitentiam*, ad eorum qui servandi erant exemplum, ei homini potissimum praedicandae salutis munus iniungere, qui ab innumeris peccatis conversus et a telonio suscitatus fuerat, ac se ab omni scelere et iniustitia revocarat, ut ab illo quanta sibi esset adventu Christi humanitas collata mortales discerent. Quippe post peccatorum condonationem hoc eidem concessit, ut et mortuos excitare posset ad vi- Cap. V. Matth. 9, 13.

ἀναστάντα καταξιοῦσθαι (*quod quidem verbum cogitatione repetendum est, ne cum Petavio omnia hic corrupta esse suspicemur*) τῷ ἐλθόντι *cett.*

4. ὑμῖν τοῖς μέλλουσι *cod. Ven. Vulgo* ἡμῖν τῶν μελλόντων.

5. *Fortasse rectius reponas* τοῦ *pro* τῷ, *cuius infinitivi cum* τοῦ *iuncti frequens est apud Epiphanium usus; sed etiam* τῷ, *quod libri tuentur, vindicari poterit. Verto:* in exemplum vobis, qui salutem adepturi estis, inde quod homini qui in telonio ab omni se scelere et iniustitia revocasset atque reversus esset, salutis praedicationem mandaret. *Participium* ἀναχθέντι *igitur cum* ἀπὸ ἀδικίας *etiam struendum est.*

6. τελωνίῳ *cod. Venet.*

καὶ κάθαρσιν λέπρας καὶ ἰαμάτων δυνάμεις καὶ ἀπέλασιν [7] δαιμόνων,
ἵνα μὴ μόνον ἀπὸ τοῦ λόγου πείσῃ τοὺς ἀκούοντας, ἀλλὰ καὶ ἀπ' αὐτοῦ
τοῦ ἔργου [8] κηρύξαι [9] εὐαγγέλια τοῖς ἀπολλυμένοις, ὅτι εὑρεθήσονται
pag. 426. διὰ μετανοίας, καὶ τοῖς πεπτωκόσιν, ὅτι ἀναστήσονται, καὶ τοῖς τεθνη-
κόσιν, ὅτι ζωογονηθήσονται. Καὶ οὗτος μὲν οὖν ὁ Ματθαῖος Ἑβραϊ-
κοῖς γράμμασι γράφει τὸ εὐαγγέλιον καὶ κηρύττει, καὶ ἄρχεται οὐκ ἀπ'
ἀρχῆς, ἀλλὰ διηγεῖται μὲν τὴν γενεαλογίαν ἀπὸ τοῦ Ἀβραάμ. Ἀβραὰμ,
φησὶν, ἐγέννησε τὸν Ἰσαὰκ, Ἰσαὰκ δὲ ἐγέννησε τὸν Ἰακὼβ, καὶ τὰ
ἑξῆς, ἄχρι τοῦ Ἰωσὴφ καὶ Μαρίας. Καὶ ἀπ' ἀρχῆς τάττει, λέ-
γων· Βίβλος γενέσεως Ἰησοῦ Χριστοῦ, υἱοῦ Δαβίδ· εἶτά φησιν, Υἱοῦ
Ἀβραάμ. Εἶτα ἐλθὼν ἐπ' αὐτὸ τὸ ζητούμενόν φησι· Τοῦ δὲ Ἰησοῦ
Χριστοῦ ἡ γέννησις οὕτως ἦν· Μνηστευθείσης τῆς μητρὸς αὐτοῦ Μα-
ρίας τῷ Ἰωσὴφ, πριν ἢ συνελθεῖν αὐτοὺς, εὑρέθη ἐν γαστρὶ ἔχουσα ἐκ
πνεύματος ἁγίου. Καὶ Ἰωσὴφ δίκαιος ὢν, ἐζήτει ἀπολῦσαι αὐτὴν
λάθρα· καὶ ἰδοὺ ἄγγελος κυρίου ἐφάνη αὐτῷ κατ' ὄναρ λέγον· Μὴ ἀπο-
λύσῃς τὴν γυναῖκά σου· τὸ γὰρ ἐν αὐτῇ ἐκ πνεύματός ἐστιν ἁγίου.
Ἰδοὺ γὰρ γεννήσει υἱὸν, καὶ καλέσεις τὸ ὄνομα αὐτοῦ Ἰησοῦν· οὗτος
σώσει τὸν λαὸν αὐτοῦ ἀπὸ ἁμαρτιῶν. Καὶ τοῦτο, φησὶ, γέγονεν, ἵνα
πληρωθῇ τὸ ῥηθὲν ὑπὸ τοῦ κυρίου διὰ τοῦ προφήτου, λέγοντος· Ἰδοὺ
ἡ παρθένος ἐν γαστρὶ ἕξει, καὶ τὰ ἑξῆς. Καὶ ἐγερθεὶς, φησὶν, ἀπὸ
τοῦ ὕπνου, ἐποίησεν οὕτως ὁ Ἰωσὴφ, καὶ παρέλαβε τὴν γυναῖκα αὐτοῦ,
καὶ οὐκ ἐγίνωσκεν αὐτὴν, ἕως οὗ ἔτεκε τὸν υἱὸν αὐτῆς τὸν πρωτότοκον,
καὶ ἐκάλεσε τὸ ὄνομα αὐτοῦ Ἰησοῦν. Τοῦ δὲ Ἰησοῦ γεννηθέντος, φη-
σὶ, ἐν Βηθλεὲμ τῆς Ἰουδαίας, ἐν ἡμέραις Ἡρώδου τοῦ βασιλέως, ἰδοὺ,
Μάγοι ἀπὸ ἀνατολῶν παρεγένοντο εἰς Ἱερουσαλὴμ, λέγοντες, Ποῦ ἐστιν
ὁ τεχθεὶς βασιλεὺς τῶν Ἰουδαίων; εἴδομεν γὰρ τὸν ἀστέρα αὐτοῦ ἐν
τῇ ἀνατολῇ, καὶ ἤλθομεν προςκυνῆσαι αὐτῷ. Ποῦ οὖν ἡ πραγματεία
τοῦ Ζαχαρίου; ποῦ τὰ τῷ Λουκᾷ πεπραγματευμένα; ποῦ ἡ ὀπτασία
τοῦ ἀγγέλου; ποῦ ἡ προφητεία Ἰωάννου τοῦ Βαπτιστοῦ; ποῦ τοῦ Ζα-
χαρίου ἡ ἐπιτίμησις, τοῦ μὴ δύνασθαι αὐτὸν λαλεῖν ἄχρις οὗ γένηται
τὰ ὑπὸ τοῦ ἀγγέλου λελαλημένα; ποῦ τὰ ὑπὸ τοῦ Γαβριὴλ τῇ παρθένῳ
λεχθέντα; ποῦ ἡ παράστασις τῆς ἀσφαλείας τῆς μετὰ συνέσεως, τῆς
Μαρίας αὐτῷ τῷ ἀγγέλῳ ἀποκριθείσης, ὡς ἠρώτα λέγουσα, Πῶς ἔσται
τοῦτο, ἐπεὶ ἄνδρα οὐ γινώσκω; καὶ ἡ μετὰ ἀκριβείας καθαρὰ ὑφήγη-
σις, ὡς εἶπεν αὐτῇ, πνεῦμα κυρίου ἐπελεύσεται ἐπὶ σὲ, καὶ δύναμις
ὑψίστου ἐπισκιάσει σοι;

Κεφ. ς'. Τί οὖν ἐροῦμεν; Ἐπεὶ μὴ κατήγγελλεν ὁ Ματθαῖος τὰ ὑπὸ τοῦ
Λουκᾶ ῥηθέντα, ἄρα ἀσύμφωνος εἴη ὁ ἅγιος Ματθαῖος πρὸς τὴν ἀλή-
pag. 427. θειαν; Ἀλλ' οὐκ ἀληθεύει ὁ ἅγιος Λουκᾶς, εἰπὼν περὶ τῶν πρώτων
τῷ Ματθαίῳ πεπραγματευμένων; οὐχὶ ἑκάστῳ ἐμέρισεν ὁ θεὸς, ἵνα

7. δαιμονίων *cod. Ven.* 8. κηρύξῃ *corrigit Petavius.*

tam, repurgare lepram et morbos depellere, daemonesque propulsare, ne dicendo solum persuaderet auditoribus, sed evangelicam doctrinam factis etiam ipsis praedicaret, atque et perditis hominibus nuntiaret posse illos poenitendo recuperari, et iis qui ceciderant resurrecturos se esse, et qui mortui essent, vitam esse denuo consecuturos. Hic igitur Matthaeus Hebraica lingua scripsit ac praedicavit evangelium, nec ab eius initio duntaxat exorsus est, sed primum Christi genealogiam ab Abraamo pertexuit. *Abraam,* inquit, *genuit* Matth. 1.
Isaac, Isaac autem genuit Iacob etc., usque ad Iosephum et Mariam. Et illud quidem initio praefixit: *Liber generationis Iesu Christi filii David.* Addit deinde, *Filii Abraam.* Tum ad id quod instituerat progressus, *Christi*, inquit, *generatio sic erat: Cum esset desponsata mater ipsius Maria Ioseph, antequam convenirent, inventa est in utero habens de spiritu sancto. Ioseph autem, cum esset iustus, quaerebat occulte dimittere illam. Et ecce angelus domini apparuit illi in somnis, dicens, Noli dimittere coniugem tuam; quod enim in ipsa est, de spiritu sancto est. Ecce enim pariet filium et vocabis nomen eius Iesum. Hic salvabit populum suum a peccatis. Et hoc*, inquit, *factum est, ut impleretur, quod dictum est a domino per prophetam dicentem, Ecce virgo concipiet etc. Exsurgens autem a somno ita fecit Ioseph. Et accepit uxorem suam, et non cognoscebat eam, donec peperit filium suum primogenitum, et vocavit nomen eius Iesus.* Pergit deinde: *Cum* Matth. 2.
natus esset Iesus in Bethleem Iudaeae in diebus Herodis regis, ecce Magi ab oriente venerunt Hierosolymam dicentes, Ubi est qui natus est rex Iudaeorum? Vidimus enim stellam eius in oriente, et venimus adorare eum. Ubi igitur est Zachariae illa omnis historia? Ubi sunt Luc. 1.
quae a Luca narrantur? Ubi visum illud angeli? Ubi Ioannis Baptistae prophetia? Ubi increpatio Zachariae, ut loqui ante non posset quam perfecta essent omnia quae ab angelo erant allata? Ubi sunt quae angelus Mariae locutus est? Ubi cautio illa ac prudentia quam suo illo ad angelum responso Maria prae se tulit, cum ita illum interrogavit: *Quomodo fiet illud, quoniam virum non cognosco?* aut Id. 1, 28.
sincera illa angeli accurataque rei gerendae propositio? *Spiritus,* inquit, *sanctus superveniet in te, et virtus altissimi obumbrabit tibi.*

Quinam ergo factum putabimus ut quae Lucas exposuit, ea sint Cap. VI.
a Matthaeo praetermissa? Num Matthaeum ab rei veritate discrepare statuemus? An contra in primis illis rebus gestis, quas Matthaeus perscripsit, Lucam ipsum minime vera narrasse? Nonne siq-

9. συναγγελίᾳ cod. Venet.

οἱ τέσσαρες εὐαγγελισταὶ ὀφείλοντες κηρύξαι εὕρωσιν ἕκαστος τί ἐργάσωνται; καὶ τὰ μὲν συμφώνως [1] καὶ ἴσως κηρύξωσιν, ἵνα δειχθῶσιν ὅτι ἐξ αὐτῆς τῆς πηγῆς ὥρμηνται, τὰ δὲ ἑκάστῳ [2] παραλειφθέντα ἄλλος [3] διηγήσεται, ὃς ἔλαβε παρὰ τοῦ πνεύματος μέρος τῆς ἀναλογίας; Τί δὲ ποιήσομεν Ματθαίου μὲν κηρύττοντος ἐν Βηθλεὲμ τὴν Μαριὰμ γεγεννηκέναι, κατὰ τὰς παρ' αὐτῷ γενεαλογίας, ἀπὸ Ἀβραὰμ καὶ Δαβὶδ τὴν ἔνσαρκον Χριστοῦ παρουσίαν, ὡς οὐχ εὑρίσκεται ὁ ἅγιος Μάρκος ταῦτα λέγων, ἀλλὰ ἀπὸ τῆς ἐν τῷ Ἰορδάνῃ πραγματείας ποιεῖται τὴν εἰςαγωγὴν τοῦ εὐαγγελίου καί φησιν· Ἀρχὴ τοῦ εὐαγγελίου, ὡς γέγραπται ἐν Ἡσαΐα τῷ προφήτῃ· Φωνὴ βοῶντος ἐν τῇ ἐρήμῳ; Οὕτω καὶ τὰ τῷ ἁγίῳ Ἰωάννῃ πεπραγματευμένα καὶ ἐν ἁγίῳ πνεύματι ἠσφαλισμένα τὴν φροντίδα ἔσχεν οὐ περὶ τῶν ἤδη κεκηρυγμένων πολλάκις μόνον λέγειν, ἀλλὰ περὶ τῶν ἀναγκαίων ὑπὸ τῶν ἄλλων εἰς [4] αὐτὸν κηρυγμάτων καταλειφθέντων. Ἡ γὰρ πᾶσα τῶν εὐαγγελίων ὑπόθεσις τοιοῦτον εἶχε τρόπον.

Ματθαίου μὲν γὰρ κεκηρυχότος τὸν Χριστὸν γεννηθέντα καὶ ἐκ πνεύματος ἁγίου συλληφθέντα, ἐκ σπέρματος Δαβὶδ καὶ Ἀβραὰμ κατὰ σάρκα οἰκονομηθέντα, πλάνη τισὶ γεγένηται τοῖς μὴ νενοηκόσιν (οὐ τοῦ εὐαγγελίου αἰτίου [5] ὄντος αὐτοῖς εἰς τὸ πλανηθῆναι, ἀλλὰ τῆς αὐτῶν διανοίας πεπλανημένης) εἰς παράστασιν [6] τῆς περὶ τῶν αὐτῶν πληροφορίας τὰ ἀπὸ τοῦ εὐαγγελίου κακῇ ὑπονοίᾳ [7] ἐπινενοημένα. Ἔνθεν γὰρ οἱ περὶ Κήρινθον καὶ Ἐβίωνα ψιλὸν [8] τὸν ἄνθρωπον κατέσχον, καὶ [9] Μήρινθον, καὶ Κλεόβιον, εἴτουν Κλεόβουλον, καὶ Κλαύδιον, καὶ Δημᾶν, καὶ Ἑρμογένην, τοὺς ἀγαπήσαντας τὸν ἐνταῦθα αἰῶνα, καὶ καταλείψαντας τὴν ὁδὸν τῆς ἀληθείας. Ἀντιλέγοντες γὰρ τοῖς τοῦ κυρίου μαθηταῖς κατ' ἐκεῖνο καιροῦ ἀπὸ τῆς κατὰ τὸν Ἀβραὰμ καὶ Δαβὶδ γενεαλογίας τὴν αὐτῶν ἄνοιαν παριστᾶν ἐπειρῶντο, [10] οὐ καλῶς μὲν οἰόμενοι, πλὴν ἐντεῦθεν τὴν πρόφασιν θηρώμενοι. [11] Ἀντελέγοντο γὰρ πολλάκις ὑπὸ τοῦ ἁγίου Ἰωάννου καὶ τῶν ἀμφ' [12] αὐτὸν, pag. 428. Λευκίου, καὶ ἄλλων πολλῶν. Παρατρίψασα δὲ ἑαυτῆς τὸ μετώπιον ἡ ἀναισχυντία [13] ἑαυτῇ κακὰ ἐπισπάσασθαι ἐφιλοτιμήσατο.

Εὐθὺς δὲ μετὰ τὸν Ματθαῖον ἀκόλουθος γενόμενος ὁ Μάρκος

Cap. VI. — 1. καὶ *om. cod. Rhedig.*
2. παραληφθέντα *libri omnes.*
3. διηγήσηται *cod. Rhedig.* διηγήσεται *reliqui libri.*
4. αὐτὸν *scripsi cum Petavio.*
5. *Cod. Venet. om.* ὄντος.
6. τῆς *om. cod. Venet.*
7. *Retinui veterem scripturam, sed, Gatakerum secutus Opp. Critt. p. 809 sq., verbis* οὐ τοῦ εὐαγγελίου — πεπλανημένης *parenthesi inclusis. Alioquin scripsissem* ἐπινενοημένης. *Petavio nonnihil deesse visum est. Ceterum codd. Venet. et Rhedig. pro* ἐπινενοημένα *habent* νενοημένα.
8. αὐτὸν *pro* τὸν *habet cod. Venet.*

gulis propria quaedam deus attribuit, ut evangelistae quatuor ad praedicandum evangelium delecti suum quoddam praecipuum munus haberent? Ita quidem, ut nonnulla concordi ac consentanea voce narrarent, quo se ex eodem hausisse fonte monstrarent, quaedam vero ab singulis praetermissa alius exponeret, cui privatim illud esset a spiritu sancto pro rata portione concessum. Quid igitur faciemus, cum Matthaeus Mariam Bethleemi peperisse scribat, secundum perscriptam ab eodem genealogiam, qua Christum cum carne venientis originem ab Abraamo ac Davide pertexuit, Marcus vero nihil habeat eiusmodi, sed ab eo quod ad Iordanem gestum est, evangelium ordiatur, ita scribens: *Initium evangelii: sicut scriptum est in Isaia pro-* Marc. 1.
pheta: Vox clamantis in deserto? Sic in iis quae beatus Ioannes mandavit memoriae, quaeque spiritu sancto gubernante fide omni ac veritate stabilita sunt, id videlicet actum est, ut non solum ea, quae saepius nuntiata fuerant, proponerentur, sed et necessaria quaedam adderentur dogmata, quae ceteri ante illum minime scriptis attigissent. Eiusmodi nempe totum evangeliorum argumentum fuit.

Cum Matthaeus genitum Christum atque e sancto spiritu conceptum, ac de Davidis et Abraami, quod ad carnem attinet, genere prognatum sua narratione descripsisset, nonnullis ignorantibus erroris istud occasionem dedit. Cuius quidem caussa non evangelio ipsi tribuenda, sed falsa illorum accusanda mens, qui ad id, quod certo sibi persuaserant, perperam acceptas ex evangelio auctoritates accommodabant. Hinc enim Cerinthus et Ebio nudum hominem fuisse Christum asserunt, ut et Merinthus et Cleobius, sive Cleobulus, et Claudius ac Demas et Hermogenes, *qui dilexerunt hoc seculum, et* 2.Tim.4, 10.
viam veritatis reliquerunt. Quippe domini discipulis per id tempus contradicentes illi ex Christi genealogia ab Abraamo et Davide perducta insaniam suam corroborare studuerunt. Quod etsi perperam in animum induxerant, nihilominus illinc occasionem nacti sunt. Et Ioannes quidem eiusque discipuli, maximeque Lucius, et alii plerique istorum conatibus saepius obstiterant. Sed nimirum ubi semel frontem suam impudentia perfricuit, mala sibi multa deinceps accumulare non destitit.

Itaque post Matthaeum statim Marco, qui Romae sancti Petri

9. Μήρινθος *cod. Rhedig. Rescripserim omnino* ὃν καὶ οἱ περὶ Μήρινθον *cett., vel* Ἔνθεν γὰρ ψιλὸν τὸν ἄνθρωπον κατέσχον οἱ περὶ Κήρινθον, καὶ Ἐβίωνα, καὶ Μήρινθον *cett.*

10. οὐχ ἁγνῶς *cod. Venet.*

11. ἀντελέγοντο *scripsi ex cod. Veneto, et cum Petavio. Nam reliqui libri habent* ἀντέλεγον. *Cornarius ita vertit:* non recte quidem putantes, verum hinc occasionem et praetextum venantes. Contradixit enim ipsis saepe *etc.*

12. αὐτὸν *rescripsi ex cod. Veneto, et cum Petavio. Libri vulgo habent* αὐτῶν.

13. *In libris extat* ἑαυτῇ.

τῷ ἁγίῳ Πέτρῳ ἐν Ῥώμῃ, ἐπιτρέπεται τὸ εὐαγγέλιον ἐκθέσθαι, καὶ γράψας ἀποστέλλεται ὑπὸ τοῦ ἁγίου Πέτρου εἰς τὴν τῶν Αἰγυπτίων χώραν. Οὗτος δὲ εἷς ἐτύγχανεν ἐκ τῶν ἑβδομηκονταδύο τῶν διασκορπισθέντων ἐπὶ τῷ ῥήματι, ᾧ εἶπεν ὁ κύριος, Ἐὰν μή τίς μου φάγῃ τὴν σάρκα καὶ πίῃ τὸ αἷμα, οὐκ ἔστι μου ἄξιος, ὡς τοῖς τὰ εὐαγγέλια ἀναγνοῦσι σαφὴς ἡ παράστασις. Ὅμως διὰ Πέτρου ἀνακάμψας εὐαγγελίζεσθαι καταξιοῦται, πνεύματι ἁγίῳ ἐμπεφορημένος. Ἄρχεται δὲ κηρύττειν ὅθεν τὸ πνεῦμα αὐτῷ παρεκελεύσατο, τὴν ἀρχὴν τάττων ἀπὸ πεντεκαιδεκάτου ἔτους Τιβερίου Καίσαρος, μετὰ ἔτη τριάκοντα τῆς τοῦ Ματθαίου πραγματείας. Δευτέρου δὲ γενομένου εὐαγγελιστοῦ, καὶ μὴ περὶ τῆς ἄνωθεν καταγωγῆς θεοῦ λόγου τηλαυγῶς σημάναντος, ἀλλὰ πάντῃ μὲν ἐμφαντικῶς, οὐ μὴν κατὰ ἀκριβολογίαν τοσαύτην, γέγονε τοῖς προειρημένοις εἰς δεύτερον [14] σκότωσις τῶν διανοημάτων, τοῦ μὴ καταξιωθῆναι πρὸς φωτισμὸν τοῦ εὐαγγελίου, λεγόντων αὐτῶν ὅτι, Ἰδοὺ, δεύτερον εὐαγγέλιον περὶ Χριστοῦ σημαῖνον, καὶ οὐδαμοῦ ἄνωθεν λέγων τὴν γέννησιν· ἀλλὰ, φησὶν, Ἐν τῷ Ἰορδάνῃ κατῆλθε τὸ πνεῦμα ἐπ' αὐτὸν καὶ φωνὴ, Οὗτός ἐστιν ὁ υἱός ὁ ἀγαπητὸς, ἐφ' ὃν ηὐδόκησα.

Κεφ. ζ. Ἐπειδὴ δὲ ταῦτα οὕτως ἐν τοῖς τοιούτοις ἀνοήτως ἐτελεῖτο, ἀναγκάζει τὸ ἅγιον πνεῦμα καὶ ἐπινύττει τὸν ἅγιον Λουκᾶν, ὡς ἀπὸ βάθους κατωτάτου [1] κακὴν τὴν διάνοιαν τῶν ἠπατημένων ἀνενέγκαι, καὶ τὰ ὑπὸ τῶν ἄλλων καταλειφθέντα αὖθις ἐπιβάλλεσθαι, ἵνα μή τις τῶν πεπλανημένων ἡγήσεται μυθωδῶς αὐτὸν ἐκφράσαι τὴν γέννησιν. Ἔπειτα ἀνωφερῆ τὸν λόγον ἐργάζεται, διὰ δὲ τὴν ἀκρίβειαν λεπτομερῶς τὴν πᾶσαν πραγματείαν διέξεισι, καὶ εἰς παράστασιν ἀληθείας ἐμμάρτυρας τοὺς ὑπηρέτας τοῦ λόγου γενομένους παρεισάγει, φάσκων, Ἐπειδήπερ πολλοὶ ἐπεχείρησαν· ἵνα τινὰς μὲν ἐπιχειρητὰς δείξῃ, φημὶ δὲ τοὺς περὶ Κήρινθον καὶ Μήρινθον, καὶ τοὺς ἄλλους. Εἶτα τί φησιν; Ἔδοξε

pag. 429. κἀμοὶ καθεξῆς παρηκολουθηκότι ἄνωθεν τοῖς αὐτόπταις καὶ ὑπηρέταις τοῦ λόγου γενομένοις γράψαι σοι, κράτιστε Θεόφιλε (εἶτουν τινὶ Θεοφίλῳ τότε γράφων τοῦτο ἔλεγεν, ἢ παντὶ ἀνθρώπῳ θεὸν ἀγαπῶντι), περὶ ὧν, φησὶ, κατηχήθης λόγων· τὴν ἀσφάλειαν καὶ τὴν μὲν κατήχησιν προτεταγμένην ἔφασκεν, ὡς ἤδη ὑπὸ ἄλλων μὲν κεκατηχῆσθαι, οὐκ ἀσφαλῶς δὲ παρ' αὐτῶν μεμαθηκέναι. Εἶτα τὴν ἀκρίβειάν φησιν. Ἐγένετο ἐν ἡμέραις Ἡρώδου τοῦ βασιλέως, ἐξ ἐφημερίας Ἀβιᾶ τοῦ ἀρχιερέως, ἱερεύς τις ὀνόματι Ζαχαρίας, καὶ γυνὴ αὐτοῦ ἐκ τῶν θυγατέρων Ἀαρὼν, ᾗ ὄνομα Ἐλισάβετ. Καὶ ἄρχεται πρὸ τοῦ Ματθαίου. Ὁ μὲν γὰρ Ματθαῖος ἐσήμανε τριακονταετῆ χρόνον ἀπ' ἀρχῆς, ὁ δὲ Μάρκος τὰ μετὰ τριάκοντα ἔταττεν ἔτη, τὴν ἐν τῷ Ἰορδάνῃ γενομένην

14. *Ita correxi. Libri omnes habent* σκότωσιν.

CAP. VII. — 1. κακὴν *reposui pro* κατὰ, *quod libri tuentur, quodque* **Petavius**

comes fuerat, scribendi evangelii provincia committitur. Quod cum fecisset, a b. Petro in Aegyptum mittitur. Erat hic unus e LXXII discipulis qui ob sermonem illum dispersi sunt quem dominus elocutus fuerat: *Nisi quis manducaverit carnem meam, et biberit sanguinem, non est me dignus:* uti sciunt qui evangelium legerint. Verum ille Petri opera reversus ac spiritu sancto repletus conscribendi evangelii munus accepit. Inde porro illud exorsus est, unde spiritus eum sanctus impulit, et a XV. Tiberii Caesaris anno sumpsit initium, qui est XXX. ab eo unde Matthaeus narrationem inchoavit. Quamobrem cum secundus hic evangelii scriptor extitisset, nec de verbi dei in terras e coelo delapsu perspicue significasset, quamquam expresse id omnino declaravit, — verum cum minus id accurate pertractasset, hinc novae quaedam tenebrae illorum, quos paulo ante commemoravi, ingeniis obortae sunt; ne eos evangelicus ille splendor illustraret. Sic enim illi iactabant: Ecce tibi novum de Christo proditum est evangelium, in quo nulla de coelesti illa generatione mentio: sed hoc unum memorat: *In Iordane descendit spiritus in illum, et vox: Hic est filius meus dilectus, in quo mihi complacui.*

Ioann. 6, 54. Marc. 1, 10 et 11.

Cap. VII. Cum igitur iis in rebus tam incredibilis illorum versaretur amentia, spiritus sanctus b. Lucam occultis quibusdam stimulis cogit et excitat, ut ex altissima illa voragine caecorum hominum mentes educeret, et quae fuerant ab aliis praetermissa scriptis commendaret, ne quis a veritate longius aberrans crederet Christi generationem ab eo velut fictam fabulam fuisse propositam. Sed orationem ille suam deinceps effert altius, ac cum subtilius exponat omnia, rei gestae seriem accurate prosequitur, et ad veritati faciendam fidem testes illos proponit in medium, qui divini verbi fuerant administri. Sic enim loquitur: *Quoniam quidem multi conati sunt* (ut nonnullos, qui id conati fuerant, indicaret, Cerinthum videlicet, Merinthum et alios): pergit vero: *Visum est mihi deinceps assecuto a principio diligenter eos qui ipsi viderunt, et ministri sermonis fuerunt, scribere tibi, optime Theophile:* sive ad Theophilum quempiam scribens ita dixerit, sive amantem dei quemlibet alloquatur: *Eorum*, inquit, *verborum de quibus eruditus es veritatem.* Ubi nonnullam institutionem antecessisse significat, qua ab aliis iam erat imbutus, sed ab iisdem certi nihil accepisse. Post haec rei veritatem exponit: *Fuit in diebus Herodis regis de vice Abia pontificis sacerdos quidam nomine Zacharias, et uxor eius de filiabus Aaron, nomine Elizabeth.* Altius ergo quam Matthaeus exorsus est. Matthaeus enim tricesimum aetatis annum initio declaravit. Marcus vero quae post tricesimum gesta sunt ex-

Luc. 1.

mendum subesse suspicatus, uncinis notavit.

ἐν ἀληθείᾳ πραγματείαν, ὅμοια τῷ Ματθαίῳ καὶ τῷ Λουκᾷ· ὁ δὲ Ματθαῖος ἀπὸ τριακονταέτους χρόνου πρὸ τῆς ἐν τῷ Ἰορδάνῃ καὶ τοῦ βαπτίσματος πραγματείας τὸ διήγημα ἐποιεῖτο. Λουκᾶς δὲ πρὸ τοῦ χρόνου τοῦ συλληφθῆναι τὸν σωτῆρα ἐν γαστρὶ ἀπὸ ἓξ μηνῶν τὸν χρόνον ἐδήλου, καὶ ἐννέα μηνῶν πάλιν καὶ ὀλίγων ἡμερῶν τῆς συλλήψεως τοῦ κυρίου· ὡς εἶναι τὸν πάντα χρόνον τριάκοντα ἓν ἔτος καὶ ἐπέκεινα. Διηγεῖται δὲ καὶ τὴν τῶν ποιμένων διὰ τῶν εὐαγγελισαμένων ἀγγέλων θεοπτίαν, καὶ ὡς ἐγεννήθη ἐν Βηθλεὲμ, καὶ ἐσπαργανώθη ἐν φάτνῃ, καὶ τῇ ὀγδόῃ περιετμήθη, καὶ ἐν τεσσαράκοντα ἡμέραις τὰ κατὰ τὸν νόμον προςφόρια ὑπὲρ αὐτοῦ ἐπετέλουν, καὶ ὡς ὁ Συμεὼν ἐν ἀγκάλαις ἐδέχετο, καὶ ὡς Ἄννα ἀνθωμολογεῖτο, θυγάτηρ Φανουὴλ, καὶ ὡς ἐκ Ναζαρὲτ ἀπῄει εἰς Ἱερουσαλὴμ ἅμα τοῖς γονεῦσι τελοῦσιν ὑπὲρ αὐτοῦ κατὰ τὸν νόμον· ὧν οὐδὲν τῷ Ματθαίῳ ἐπείργασται, οὐδὲ τῷ Μάρκῳ, ἀλλὰ μὴν οὐδὲ τῷ Ἰωάννῃ.

Κεφ. η'. Ὅθεν καί τινες ἄλλοι ἐξ Ἑλλήνων φιλοσόφων, φημὶ δὲ Πορφύριος, καὶ Κέλσος, καὶ Φιλοσαββάτιος, ὁ ἐκ τῶν Ἰουδαίων ὁρμώμενος, δεινὸς καὶ ἀπατεὼν ὄφις, εἰς τὴν κατὰ τῆς εὐαγγελικῆς πραγματείας διεξιόντες ἀνατροπὴν τῶν ἁγίων εὐαγγελιστῶν κατηγοροῦσι, ψυχικοὶ καὶ σαρκικοὶ ὑπάρχοντες, κατὰ σάρκα δὲ στρατευόμενοι, καὶ θεοῦ εὐαρέστησιν ἀδυνάτως ἔχοντες, καὶ τὰ τοῦ πνεύματος μὴ νενοηκότες.
pag. 430. Ἕκαστος γὰρ προςκόπτων τοῖς λόγοις τῆς ἀληθείας, διὰ τὴν ἐν αὐτῷ τύφλωσιν τῆς ἀγνωσίας, εἰς τοῦτο ἐμπίπτοντες ἔλεγον, Πῶς δύναται ἡ αὐτὴ ἡμέρα εἶναι τῆς ἐν Βηθλεὲμ γεννήσεως, αὐτὴ καὶ περιτομὴν ἔχειν ὀκταήμερον, καὶ διὰ τεσσαράκοντα ἡμερῶν ἐν Ἱεροσολύμοις ἄνοδον, καὶ τὰ ἀπὸ Συμεῶνος καὶ Ἄννας εἰς αὐτὸν τετελεσμένα, ὁπότε ἐν τῇ νυκτὶ ᾗ ἐγεννήθη πέφηνεν αὐτῷ, φησὶν, ἄγγελος, μετὰ τὴν τῶν Μάγων ἔλευσιν τῶν ἐλθόντων προςκυνῆσαι αὐτῷ, καὶ ἀνοιξάντων τὰς πήρας, καὶ προςενεγκάντων, ὡς λέγει; Φησὶν, Ὤφθη αὐτῷ ἄγγελος λέγων· Ἀναστὰς λάβε τὸ παιδίον, καὶ τὴν γυναῖκά σου, καὶ πορεύου εἰς Αἴγυπτον, ὅτι ζητεῖ Ἡρώδης τὴν ψυχὴν τοῦ παιδίου. Εἰ τοίνυν ἐν ταύτῃ νυκτὶ ᾗ γεγέννηται παρελήφθη εἰς Αἴγυπτον, καὶ ἐκεῖ ἦν ἕως ὅτου ἀπέθανεν Ἡρώδης, πόθεν τὸ ἐπιμεῖναι, καὶ ὀκταήμερον περιτμηθῆναι; ἢ πῶς τὸ μετὰ τεσσαράκοντα εὑρίσκεται Λουκᾶς ψευδόμενος, ὥς φασι βλασφημοῦντες κατὰ τῆς ἑαυτῶν κεφαλῆς, ὅτι φησὶν, Ἐν τῇ τεσσαρακοστῇ ἡμέρᾳ ἀνήνεγκαν αὐτὸν εἰς Ἱερουσαλὴμ, κἀκεῖθεν εἰς Ναζαρέτ; Καὶ οὐκ οἴδασιν οἱ ἀγνωσίᾳ κατεχόμενοι τοῦ ἁγίου πνεύματος τὴν δύναμιν.

Κεφ. θ'. Ἑκάστῳ γὰρ τῶν εὐαγγελιστῶν ἐδωρήθη ἑκάστου χρόνου καὶ καιροῦ διηγεῖσθαι τὰ ἐν ἀληθείᾳ πληρωθέντα. Καὶ ὁ μὲν Ματθαῖος διη-

posuit, et in iis quae ad Iordanem contigerunt enarrandis Matthaeo ac Lucae consentaneus est. Sed Matthaeus ab anno ipso tricesimo, ante illam omnem baptismi ac rerum ad Iordanem gestarum historiam, narrationem inchoavit. Lucas porro a sexto mense, ante salvatoris in utero generationem, principium deduxit, quibus novem deinde menses addit, una cum paucis quibus genitus est diebus, ut supra unius ac triginta annorum spatium colligatur. Narrat praeterea quemadmodum pastores ab internuntiis angelis admoniti deum conspexerint, utque is Bethleemi in lucem editus ac pannis involutus in praesepi, et octavo die circumcisus fuerit, nec non post dies XL pro eodem oblata sint quae lex praescripserat. Tum ut eum Symeon in ulnas acceperit, Phanuelis filia confessa sit, utque Nazareto cum parentibus Hierosolymam abierit, qui quod lex iusserat illius nomine dependerunt. Quae nec Matthaeus nec Marcus nec Ioannes attigerunt.

Ex quo factum est ut gentiles quidam philosophi, Porphyrius scilicet ac Celsus, et Philosabbathius, genere Iudaeus, veterator ac nequissimus coluber, cum adversus evangelicam historiam scriberent, sacros evangelistas arguerint, animales illi quidem et carnales homines, ac secundum carnem militantes, qui nec deo placere poterant, nec ea quae sunt spiritus sancti cognoverant. Nam omnes illi ad sermones veritatis offendentes, prae inscitiae caecitate, atque ad ea delapsi iactare identidem solebant, fierine potest ut eadem dies et Bethleemi natum viderit, et, quod post octiduum solebat fieri, circumcisum, et post dies XL Hierosolyma deportatum, ut item Symeonis et Annae acta illa in eandem diem inciderint; praesertim cum qua nocte Iesus est in lucem editus, Iosepho angelus apparuerit, post Magorum adventum, qui illius adorandi caussa venerant, quique munera sua apertis sacculis obtulerant? Tum enim *Apparuit,* inquit, *ei angelus dicens, Surge, accipe puerum, et coniugem tuam, et vade in Aegyptum; quoniam quaerit Herodes animam pueri.* Quamobrem si eadem qua natus est nocte in Aegyptum delatus est, et illic fuit donec Herodes mortuus est, quomodo permanere in Iudaea potuit, et octavo die circumcidi? aut quid tandem post dies XL factum esse Lucas mentitus est? Sic enim per summam illi blasphemiam, id quod in eorum caput vertat, obiiciunt. Nam *Quadragesimo,* ait Lucas, *die tulerunt illum in Hierusalem, et inde in Nazaret.* Sed ignari videlicet homines quae vis sit sancti spiritus nequaquam intelligunt.

Cap. VIII. Matth. 2, 13. Luc. 2, 39.

Etenim unicuique evangelistarum concessum est, ut quae singulis et temporibus et opportunitatibus gesta erant verissime perscribe- Cap. IX.

γησάμενος μόνον ὅτι ἐγεννήθη ἐν πνεύματι ἁγίῳ, καὶ ὅτι συνελήφθη ἄνευ σπέρματος ἀνδρὸς, οὐδὲν περὶ τῆς περιτομῆς εἶπεν, οὐδὲ πρὸ τῶν δύο ἐτῶν τι τῶν εἰς αὐτὸν γεγενημένων, ἀλλὰ διηγεῖται τὴν ἔλευσιν τῶν Μάγων, ὡς ἐπιμαρτυρεῖ ὑμῖν ὁ ἀληθὴς τοῦ θεοῦ λόγος, ἐρωτῶντος τοῦ Ἡρώδου παρὰ τῶν Μάγων τὸν [1]χρόνον καὶ ἀκριβοῦντος τοῦ γενομένου ἀστέρος, καὶ τῶν Μάγων ἡ ἀπόκρισις, ὅτι ἀπὸ δύο ἐτῶν καὶ κατωτέρω· ὡς μὴ εἶναι τὸν χρόνον τοῦτον, τὸν τῷ Λουκᾷ πεπραγματευμένον, ἀλλ' ὁ μὲν Λουκᾶς τὰ πρὸ δύο ἐτῶν διηγεῖται, Ματθαῖος δὲ εἰπὼν τὴν γέννησιν ἀπεπήδησεν εἰς τὸν διετῆ χρόνον, καὶ ἐδήλωσε τὰ γενόμενα μετὰ δύο ἔτη. Διὸ καὶ ὁ Ἡρώδης διανοηθεὶς τοῦτο μετὰ τὸ ἀπονεῦσαι τοὺς Μάγους δι' ἑτέρας ὁδοῦ ᾠήθη ἐν τῷ πλήθει τῶν παίδων καὶ αὐτὸν γεννηθέντα εὑρεθήσεσθαι, καὶ σὺν αὐτοῖς [2]ἀποκτέννυσθαι. Ἐκέλευσε γὰρ τοὺς ἐν τοῖς ὁρίοις Βηθλεὲμ παῖδας
pag. 431. ἀποκτανθῆναι, τοὺς ἀπὸ δύο ἐτῶν καὶ κατωτέρω, ἕως αὐτῆς τῆς ἡμέρας ἧς οἱ Μάγοι παρ' αὐτῷ ἐγένοντο. Ἔνθεν τίνι οὐ φανεῖται ὅτι, ὅτε ἦλθον οἱ Μάγοι, δύο ἦν ἐτῶν ὁ παῖς γεγενημένος; καὶ γὰρ καὶ ἡ αὐτὴ πραγματεία, τὴν πᾶσαν ἀκρίβειαν σαφηνίζει. Ὁ μὲν γὰρ Λουκᾶς λέγει ἐσπαργανῶσθαι τὸν παῖδα εὐθὺς τετεγμένον, καὶ κεῖσθαι ἐν φάτνῃ, καὶ ἐν σπηλαίῳ, διὰ τὸ μὴ εἶναι τόπον ἐν τῷ καταλύματι. Ἀπογραφὴ γὰρ ἦν τότε, καὶ οἱ διασκορπισθέντες ἀπὸ τοῦ χρόνου τῶν πολέμων τῶν ἐπὶ τοῖς Μακκαβαίοις γεγονότων ἐπὶ τὰ πανταχοῦ γῆς διεσκορπίσθησαν, καὶ ὀλίγοι παντελῶς ἔμειναν ἐν Βηθλεὲμ κατοικοῦντες. Διὸ ἔν τινι ἀντιγράφῳ τῶν εὐαγγελιστῶν καλεῖται πόλις τοῦ Δαβίδ· ἐν ἄλλῳ δὲ κώμην αὐτὴν καλοῦσι, διὰ τὸ εἰς ὀλίγην γῆν αὐτὴν ἡκέναι. Ὅτε δὲ γέγονε τὸ κέλευσμα τοῦ βασιλέως Αὐγούστου, καὶ ἀνάγκην ἔσχον οἱ διεσκορπισμένοι, [3]κατὰ τὰ αὐτῶν γένη ἦλθεν εἰς τὸν τόπον, ἵνα ἀπογραφῶσιν ἐπιρρέοντα τὰ πλήθη, καὶ ἐνέπλησε τὸν τόπον, καὶ οὐκ ἦν τόπος ἐν τῷ καταλύματι, διὰ τὴν συνέχειαν. Λοιπὸν δὲ μετὰ τὴν ἀπογραφὴν ἀπῆλθεν ἕκαστος, ὅποι γῆς τὴν καταμονὴν τῆς κατοικήσεως εἶχε· διὸ καὶ πλάτος ἐτύγχανεν ἐν τῇ γῇ. Ἐρχόμενοι δὲ, ὡς εἰπεῖν, μνήμης ἕνεκα τῶν ἐκεῖ γεγεννημένων, πρώτου ἐνιαυτοῦ τελεσθέντος καὶ τοῦ δευτέρου πληρωθέντος, ἦλθον οἱ γονεῖς ἐκεῖσε ἀπὸ Ναζαρὲτ, ὡς εἰς τὴν πανήγυριν ταύτην. Διὸ καὶ ἡ ἔλευσις τῶν Μάγων γεγένηται, [4]καὶ κατὰ τὴν τοιαύτην συγκυρίαν, οὐκέτι ἴσως τῇ καταλύσει τότε τῆς Μαρίας καὶ Ἰωσὴφ διὰ τὴν ἀπογραφὴν τῇ ὑπὸ τοῦ Λουκᾶ εἰρημένῃ. Οὐ γὰρ ηὗραν τὴν Μαριὰμ ἐν τῷ σπηλαίῳ, ὅπου ἐγέννησεν. Ἀλλὰ ὡς ἔχει τὸ εὐαγγέλιον, ὅτι, ὡδήγει, φησὶν, αὐτοὺς ὁ

Cap. IX. — 1. χρόνον καὶ ἀκριβοῦντος *scripsi meo periculo. Confer evangelii verba. Cod. Rhedig. et editi libri habent* χρόνον. καὶ ἠκρίβωτο, *quod mendosum esse nemo est qui non videat. Cornarius interpretatus est ita:* sed exponit adventum Magorum, velut attestatur nobis vera dei doctrina, interrogante Herode

ret. Itaque Matthaeus, cum id unum exposuisset, de spiritu sancto susceptum illum ac genitum, de circumcisione tacuit, nec ullam earum rerum attigit quae ante biennium acciderunt, sed Magorum demum enarravit adventum, quemadmodum verissimus dei sermo testatur; cum scilicet *tempus a Magis exquisivit Herodes*, ac de stella Matth. 2, 7. quae apparuerat accurate sciscitatus est. Ad haec Magorum commemorata responsio, de *duobus annis et infra:* ut diversum ab eo tempus esse constet quod Lucas narratione sua complexus est. Hic enim quae ante biennium illud gesta sint exponit. At Matthaeus a nativitate statim ad secundum annum se contulit, et quae post biennium acciderint declarat. Quod Herodes animo reputans, postquam Magi alia via discesserunt, in illa infantium turba deprehendi puerulum illum atque interfici posse crediderat. Infantes enim omnes, Matth. 2, 16. quotquot in agro Bethleemitico forent, a bimatu et infra iussit occidi, ad illam usque diem qua apud se Magi fuissent. Ex quo quis non videat tum cum Magi venerunt bimulum fuisse puerum? Siquidem ea rei gestae narratio veritatem ipsam accuratissime demonstrat. Etenim Lucas puerum, simulac natus est, fasciis involutum esse scribit, et in praesepi ac spelunca iacuisse, quod nullus in diversorio locus esset. Tum enim census habebatur, et qui bellorum temporibus, quae sub Macchabaeis extiterant, dispersi fuerant, quovis terrarum pervaserant, adeo ut pauci omnino Bethleemi remanerent. Quare in quodam evangelistarum exemplari Davidis urbs dicitur; in alio vero vicus appellatur, quod agrum haberet angustissimum. Cum igitur Augusti imperatoris edictum esset allatum, qui huc illucque dissipati erant, cum familiis suis ad illum locum censendi gratia venire coacti facile compleverunt, ut propter hominum frequentiam nihil esset in diversorio loci relictum. Post censum vero unusquisque eo ubi domicilium collocarat reversus est. Unde laxius ad habitandum spatium fuit. Itaque priore iam anno finito, et altero insuper, ob eorum quae gesta illic erant memoriam eo se parentes Nazareto, velut ad eandem celebritatem, contulerunt. Quo tempore Magorum adventus eiusmodi quadam opportunitate contigit. Tametsi non in eodem illo fortassis diversorio versabantur, in quo Mariam ac Iosephum descriptionis tempore mansisse Lucas testatus est. Neque enim Mariam in spelunca, ubi pepererat, repererunt, sed, ut evangelium narrat, stella illos ad eum locum perduxit, *ubi*

a Magis tempus, declarabat ipsum exortae stellae ac Magorum responsio, *cett.*

2. ἀποκτέννυσθαι *cod. Rhedig. et ed. pr.* ἀποκτίννυσθαι *ed. Petav.*

3. κατὰ τὰ *scripsi cum Petavio. In libris tam scripto quam editis extat* καὶ τά.

4. *Particulam* καὶ *delendam esse suspicor.*

ἀστὴρ ἄχρι τοῦ τόπου οὗ ἦν ἐκεῖ τὸ παιδίον, καὶ εἰςελθόντες εἰς τὸν οἶκον εὗρον τὸ βρέφος μετὰ Μαρίας, οὐκέτι ἐν φάτνῃ, οὐκέτι ἐν σπηλαίῳ, ἀλλ' ἐν οἴκῳ· ἵνα γνωσθῇ τῆς ἀληθείας ἡ ἀκρίβεια, καὶ τοῦ χρόνου τῶν δύο ἐτῶν τὸ διάστημα, τουτέστιν ἐξότου ἐγεννήθη ἕως ὅτε παρεγένοντο οἱ Μάγοι. Καὶ κατ' ἐκείνην τὴν νύκτα, μετὰ δύο ἔτη τῆς γεννήσεως, ὤφθη ὁ ἄγγελος, καὶ εἶπε παραλαβεῖν τὸ παιδίον καὶ τὴν μητέρα εἰς γῆν Αἰγύπτου. Διὸ οὐκέτι Ἰωσὴφ ἀνακάμπτει εἰς Ναζαρὲτ, ἀλλὰ ἀποδιδράσκει ἅμα τῷ παιδὶ καὶ τῇ μητρὶ αὐτοῦ εἰς Αἴγυπτον, καὶ ἄλλα δύο ἔτη ποιεῖ ἐκεῖσε. Καὶ οὕτως πάλιν ὁ ἄγγελος μετὰ τὴν τοῦ Ἡρώδου τελευτὴν ἐπιστρέφει τὸν αὐτὸν ἐν τῇ Ἰουδαίᾳ.

pag. 432. Τῷ γὰρ τριακοστῷ τρίτῳ ἔτει τοῦ Ἡρώδου γεννᾶται ὁ κύριος· τριακοστῷ πέμπτῳ ἦλθον οἱ Μάγοι· τριακοστῷ ἑβδόμῳ ἔτει τελευτᾷ ὁ Ἡρώδης, καὶ διαδέχεται Ἀρχέλαος υἱὸς αὐτοῦ τὸ βασίλειον, ποιήσας ἔτη ἐννέα βασιλεύων, καθάπερ μοι ἐν ἄλλοις τόποις εἴρηται. Ἀνεχώρησεν οὖν ἀκούσας περὶ Ἀρχελάου, καὶ ἐλθὼν κατῴκησεν εἰς Ναζαρέτ. Καὶ ἐκεῖθεν πάλιν κατ' ἔτος ἀνῄει εἰς Ἱερουσαλήμ. Ὁρᾷς ὅση τυγχάνει ἀκρίβεια ἐν τοῖς θείοις εὐαγγελίοις, περὶ ἑκάστης πραγματείας; Οἱ δὲ ἀγνοίᾳ φερόμενοι, τὸν ἑαυτῶν νοῦν σκοτώσαντες, οὐκ ἴσασι τὸ τέλος ἑκάστου λόγου, ἀλλὰ ἁπλῶς κατὰ τῶν ἁγίων ἐπαίρουσι τὸ στόμα, καὶ χαλῶσι τὴν γλῶτταν, μηδὲν μὲν λέγοντες ἐν ἀληθείᾳ, ἑαυτοὺς δὲ τῆς ζωῆς ἀλλοτριοῦντες.

Κεφ. ι'. Ἔνθεν οὖν ὁ Λουκᾶς, μετὰ τὸ διηγήσασθαι τὰ πρῶτα πάλιν λέγει, πῶς ἐν τῷ δωδεκάτῳ ἔτει ἀνῆλθεν εἰς Ἱερουσαλήμ· ἵνα μὴ παραλείψῃ τόπον τοῖς νομίσασιν αὐτὸν ἁπλῶς ἄνδρα τέλειον ἐν κόσμῳ πεφηνέναι, καὶ εἰς τὸν Ἰορδάνην πρὸς τὸν Ἰωάννην ἡκέναι, ὡς ὑπεβλήθη ὑπὸ Κηρίνθου καὶ Ἐβίωνος, καὶ τῶν ἄλλων. Δεινὸς γὰρ ὄφις σκαληνῶς διαβαίνων ἐν μιᾷ γνώμῃ οὐχ ἵσταται· ἀλλὰ τοῖς μὲν δοκεῖ ἐκ παρατριβῆς καὶ σπέρματος ἀνδρὸς γεγενῆσθαι, τοῖς δ' ἄλλοις ἁπλῶς ἄνθρωπος πεφηνέναι. Διὸ κατὰ τὸ λεπτὸν τὰ πάντα διηγούμενοι οἱ ἅγιοι εὐαγγελισταὶ ἀκριβολογοῦσι. Καὶ φύσει ὁ Λουκᾶς, ὡς ἀπὸ κάτωθεν ἐπὶ τὰ ἄνω ἀναφέρων τὴν διάνοιαν, φάσκει, Ἦν δὲ Ἰησοῦς ἀρχόμενος εἶναι ὡς ἐτῶν τριάκοντα, ὢν υἱὸς, ὡς ἐνομίζετο, τοῦ Ἰωσήφ. Τὸ δὲ νομίζεσθαι οὐκ ἀληθῶς ἐστιν· ἀλλὰ ἐν τάξει μὲν πατρὸς ἐτύγχανεν ὁ Ἰωσὴφ, διὰ τὸ οὕτως τῷ θεῷ δεδόχθαι· οὐκ ἦν δὲ πατὴρ ὁ μὴ πρὸς τὴν Μαριὰμ ἐσχηκὼς συνάφειαν, ἢ μόνον ὅτι ἀνὴρ ἐκλήθη, διὰ τὸ μεμνηστεῦθαι πρεσβύτης ἐτῶν ὀγδοήκοντα τυγχάνων πλείω ἢ ἐλάσσω, καὶ ἔχων υἱοὺς ἓξ, ἀπὸ τῆς ὄντως αὐτοῦ γαμετῆς πρώτης, τὴν δὲ δι' οἰκονομίαν παρειληφὼς, ὡς καὶ ἄλλῃ που ἀκριβέστερον περὶ

erat puer: et intrantes domum invenerunt puerum cum Maria; non in praesepi, vel in spelunca, sed in domo scilicet; ut accurata rei veritas, ac biennii intervallum exprimeretur, quod ab eius natali ad Magorum adventum effluxerat. Eadem illa vero nocte, duobus a nativitate annis elapsis, angelus apparuit, ac puerum cum matre in terram Aegypti iussit abducere. Idcirco non iam Nazaretum Iosephus regreditur, sed cum puero ac matre fugit in Aegyptum, ubi biennio altero commoratus est: atque ita rursum post Herodis obitum angelus eundem ut in Iudaeam rediret admonuit.

Quippe XXXIII. Herodis anno natus est dominus, eiusdemque XXXV. Magi venerunt. Deinde XXXVII. imperii anno moritur Herodes, cui successit Archelaus; isque novem regnavit annis, ut alio a me loco dictum memini. Quare cum de Archelao accepisset, recessit Iosephus ac se Nazaretum habitandi caussa contulit. Unde quotannis Hierosolymam proficisci consueverat. Vides quanta sit in sacris evangeliis cuiuslibet rei narrandae quamque accurata diligentia? At isti ignorantia coeci, quorum est tenebris obducta mens, uniuscuiusque narrationis exitum ignorant; sed adversus sacrosancta quaeque os suum arroganter extollunt, ac linguam relaxant; adeo ut neque veri quicquam afferant, et a vita nihilominus ac salute semetipsos alienent.

Post haec Lucas ubi priora persecutus est, exponit quemadmodum anno XII. Hierosolyma perrexerit; ne quem illorum errori locum relinqueret, qui illum arbitrati sunt perfecta ac virili iam aetate in mundo repente fuisse conspectum, itaque conveniendi Ioannis gratia ad Iordanem accessisse; quae fuit Cerinthi, Ebionis et aliorum opinio. Siquidem callidus ille serpens obliquis flexibus adrepens nihil unum ac constans asserit. Sed aliis placet ex utriusque coniunctione sexus ac virili semine Christum esse procreatum. Alii simpliciter hominem apparuisse statuunt. Quae caussa fuit cur subtiliter accurateque omnia sancti evangelistae narrando complexi sint: praecipue Lucas animum ab inferioribus ad superiora referens ita scribit: *Et erat Iesus incipiens esse quasi annorum XXX, filius, ut putabatur, Iosephi.* Quod autem solummodo putatur, minime est reipsa. Sed patris vicem Iosephus gerebat ille quidem, quod ita deo placuerat; pater vero non erat, ut qui nunquam se cum Maria copularat, nisi quod illius vir appellatus est, quod eam senex duxisset, anno aetatis plus minus LXXX., cum iam liberos sex e priori coniuge sustulisset, hanc vero posteriorem singulari dei providentia sibi,

Cap. X. — Luc. 3, 23.

τούτου διῆλθον. Πῶς οὖν ὁ μὴ ἔχων συνάφειαν πατὴρ αὐτοῦ ὑπῆρχεν; Ὅπερ ἀδύνατον.

Κεφ. ια'. Ἀλλὰ ἐρεῖς μοι, Πῶς οὖν ἀνὴρ αὐτῆς ἐκέκλητο, εἰ μὴ ἔσχε ταύτην; Ὁ δὲ ταῦτα ἀμφιβάλλων ἀγνοεῖ τὰ κατὰ τὸν νόμον, ὅτι ἐξότε pag. 433. ὀνομάζεται γυνὴ ἀνδρὶ, κἂν τε παρθένος ᾖ, κἂν τε ἐν οἴκῳ πατρὸς ἔτι ὑπάρχει, γυνὴ τοῦ ὀνόματος μόνου λέγεται ἡ τοιαύτη. Τούτου ἕνεκα ὁ ἅγιος ἄγγελός φησι· Μὴ φοβηθῇς παραλαβεῖν τὴν γυναῖκά σου. Καὶ ἵνα μή τις νομίσῃ ὅτι πλάνη τις ἐν τοῖς εὐαγγελίοις· ἔκπληκτον γὰρ τὸ μυστήριον, καὶ ἡ διήγησις ὑπὲρ ἄνθρωπον, μόνοις δὲ τοῖς υἱοῖς τοῦ ἁγίου πνεύματός ἐστι λεία πᾶσά τε καὶ πεφωτισμένη. Ἦν οὖν ὡς ἐτῶν λ', ὡς ἐνομίζετο υἱὸς τοῦ Ἰωσὴφ, τοῦ Ἠλὶ, τοῦ Ματθάν. Καὶ ἀναφέρει τὴν γέννησιν ἐπὶ τὸν Ἀβραὰμ, ὅθεν καὶ ὁ Ματθαῖος ἐνήρξατο· ὑπερβαίνει δὲ τὸν Νῶε, καὶ φθάνει ἐπὶ τὸν Ἀδὰμ, ἵνα τὸν ἀπὸ πρώτης πλασθέντα σημάνῃ ζητούμενον διὰ τοῦ ἀπὸ τοῦ φυράματος αὐτοῦ ἐλθόντος, τουτέστιν ἀπὸ τῆς ἁγίας παρθένου Μαρίας. Ἦλθε γὰρ δι' ἐκεῖνον τόν ποτε πλασθέντα, καὶ τοὺς ἀπ' αὐτοῦ γεγεννημένους, θέλοντας ζωὴν αἰώνιον κληρονομῆσαι. Ὑπερβὰς δὲ τὸν Ἀδὰμ λέγει, Τοῦ θεοῦ.

Ἐντεῦθεν λοιπὸν ἦν φανέρωσις ὅτι τοῦ μὲν θεοῦ ἦν υἱὸς, διὰ δὲ τοῦ σπέρματος τοῦ Ἀδὰμ κατὰ διαδοχὴν ἐν σαρκὶ παρεγένετο. Ἀλλὰ οὐκ ἔσχον πάλιν φωτισμὸν οἱ πεπλανημένοι· ἀντέλεγον δὲ τῷ λόγῳ, ἑαυτοὺς πλανῶντες ὑπὲρ τὴν ἀλήθειαν. Ἔφασκον δὲ ὅτι, Ἰδοὺ, τρίτον εὐαγγέλιον τὸ κατὰ Λουκᾶν. Τοῦτο γὰρ ἐπετράπη τῷ Λουκᾷ, ὄντι καὶ αὐτῷ ἀπὸ τῶν ἑβδομήκοντα δύο τῶν διασκορπισθέντων ἐπὶ τῷ τοῦ σωτῆρος λόγῳ, διὰ δὲ Παύλου τοῦ ἁγίου πάλιν ἐπανακάμψαντος πρὸς τὸν κύριον, ἐπιτραπέντος δὲ αὐτοῦ κηρύξαι τὸ εὐαγγέλιον. Καὶ [1] κηρύττει πρῶτον ἐν Δαλματίᾳ καὶ Γαλλίᾳ, καὶ ἐν Ἰταλίᾳ καὶ Μακεδονίᾳ. Ἀρχὴ δὲ ἐν τῇ Γαλλίᾳ· ὡς καὶ περί τινων τῶν αὐτοῦ ἀκολούθων λέγει ἐν ταῖς αὐτοῦ ἐπιστολαῖς ὁ αὐτὸς Παῦλος· Κρίσκης, φησὶν, ἐν τῇ Γαλλίᾳ. Οὐ γὰρ ἐν τῇ Γαλατίᾳ, ὥς τινες πλανηθέντες νομίζουσιν, ἀλλὰ ἐν τῇ Γαλλίᾳ.

Κεφ. ιβ'. Πλὴν ἐπὶ τὸ προκείμενον ἐλεύσομαι. Ἀνενέγκαντος γὰρ τοῦ Λουκᾶ τὰς γενεαλογίας ἀπὸ τῶν κάτω ἐπὶ τὰ ἄνω, καὶ φθάσαντος τὴν ἔμφασιν ποιήσασθαι τῆς ἄνωθεν τοῦ θεοῦ λόγου παρουσίας, ὁμοῦ τε συναφθέντος τῇ ἐνσάρκῳ αὐτοῦ οἰκονομίᾳ, ἵνα ἀποτρέψηται ἀπὸ τῶν πεπλανημένων τὴν πλάνην, οὐκ ἐνενόησαν. Διὸ ὕστερον ἀναγκάζει τὸ pag. 434. ἅγιον πνεῦμα τὸν Ἰωάννην παραιτούμενον εὐαγγελίσασθαι, δι' εὐλάβειαν καὶ ταπεινοφροσύνην, ἐπὶ τῇ γηραλέᾳ αὐτοῦ ἡλικίᾳ, μετὰ ἔτη

Cap. XI. — 1. *Fortasse corrigendum* ἐπιτραπέντος δὲ αὐτοῦ κηρύξαι τὸ εὐαγγέλιον, κηρύττει πρῶτον *cett., deleta parte* λόγῳ. Διὰ δὲ τοῦ Παύλου — — —

ut alio loco fusius disputamus, adscivisset. Qui igitur nullam cum matre consuetudinem habuerat, qui filii pater esse potuit? Fieri istud omnino non potest.

At enim dices, Cur ergo vir illius appellatus est, nisi eam obtineret? Qui sic dubitat, quid lex vetus ferret ignorat. Nimirum enim ex quo viro femina desponsa fuerat, sive virgo esset, sive paterna adhuc in domo degeret, nomine tenus uxor dicebatur. Quare angelus sic Iosephum alloquitur: *Noli timere accipere coniugem tuam.* Ac ne quis errorem in evangeliis ullum esse suspicetur. Est enim plane stupendum hoc mysterium, ac supra humanum captum tota ista narratio, et quae solis spiritus sancti filiis clara sit et exposita. *Erat igitur,* inquit, *quasi annorum XXX, filius, ut putabatur, Iosephi, qui fuit Eli, qui fuit Matthan.* Tum ad Abrahamum usque generationis seriem retexit, a quo Matthaeus exorsus est. Sed et Noëmum superat, et ad Adamum pervenit; ut eum qui primus omnium formatus erat ab eo qui ex illius massa, beata nimirum virgine, propagatus fuerat, ad salutem monstraret esse quaesitum. Nam et huius ipsius, qui fictus est quondam, et posterorum ipsius caussa descendit, eorum duntaxat qui sempiternae vitae hereditatem assequi student. Demum vero Adamum quoque praetergressus ait, *Qui fuit dei.* Cap. XI. Matth. 1, 20.

Inde porro manifesto constat dei illum extitisse filium, qui ex Adami semine continuata successione carne praeditus advenit. Verum ne sic quidem caeci homines tantam lucem percipere potuerunt, sed ultro a veritate aberrantes et errorem asciscentes catholicae doctrinae contradicebant. Sic enim obiiciebant: Ecce tertium iam evangelium a Luca conscriptum. Ea quippe provincia Lucae commissa uni e LXXII discipulis quos Christi ille sermo dissiparat, quem deinde Paulus apostolus revocavit. Huic igitur praedicandi evangelii munus est creditum: idque ipse primum in Dalmatia, Gallia, Italia et Macedonia praestitit; sed in Gallia prae ceteris: ut de nonnullis comitibus suis Paulus in epistolis testatur: *Crescens,* inquit, *in Gallia.* Non enim, in Galatia, legendum est, ut quibusdam immerito placuit, sed in Gallia.

Sed ut ad institutum redeam. Cum Lucas ab inferioribus ad superiora generationes perduxisset, ac divinum verbum e coelo delapsum esse significasset, simulque susceptae carnis ab eodem mysterium attigisset, uti caecos homines ab errore revocaret, hoc illi tamen assequi nequiverunt. Ob id deinde spiritus sanctus Ioannem, invitum licet ac religione quadam et animi moderatione defugientem, ad scribendum evangelium impulit, affecta iam aetate, utpote qui iam Cap. XII.

ticula καὶ, *ut quae facile ex prima vocis* κηρύττει *syllaba potuit subnasci.*

ἐνενήκοντα τῆς ἑαυτοῦ ζωῆς, μετὰ τὴν αὐτοῦ ἀπὸ τῆς Πάτμου ἐπάνοδον, τὴν ἐπὶ Κλαυδίου γενομένην Καίσαρος. Καὶ μετὰ ἱκανὰ ἔτη τοῦ διατρίψαι αὐτὸν [1] ἀπὸ τῆς Ἀσίας ἀναγκάζεται ἐκθέσθαι τὸ εὐαγγέλιον· καὶ οὐκ ἦν αὐτῷ χρεία περὶ τῆς ἐνσάρκου πραγματείας λεπτολογεῖν, (ἤδη γὰρ ἠσφάλιστο), ἀλλὰ ὡς κατόπιν τινῶν βαίνων καὶ ὁρῶν αὐτοὺς ἐπὶ τὰ ἔμπροσθεν ὄντας καὶ ἐπὶ τὰ τραχύτερα ἑαυτοὺς ἐκδεδωκότας καὶ πλάνας καὶ ἀκανθώδη, ἀνακαλέσασθαι αὐτοὺς εἰς εὐθεῖαν ὁδὸν προνοοῦντος καὶ ἀσφαλιζομένου [2] ἐπικηρυκεύσασθαι αὐτοῖς, κατεῖπε, Τί πλανᾶσθε; ποῖ τρέπεσθε; ποῖ πλανᾶσθε, Κήρινθε, καὶ Ἐβίων, καὶ οἱ ἄλλοι; οὐκ ἔστιν οὕτως ὡς νομίζετε. Ναὶ ἐγεννήθη ὁ Χριστὸς κατὰ σάρκα, δῆλον. Ἰδοὺ γὰρ, αὐτὸς ὁμολογῶ ὅτι ὁ λόγος σὰρξ ἐγένετο· ἀλλὰ μὴ ἐξότε ἐγένετο σὰρξ, νομίσητε τὸν αὐτὸν εἶναι. Οὐκ ἔστι γὰρ ἀπὸ χρόνων Μαρίας μόνον, ὡς ἕκαστος ἡμῶν ἀφ' ὅτου γεννᾶται ὑπάρχει, πρὶν δὲ τοῦ γεννηθῆναι, οὐκ εἶναι· ὁ δὲ ἅγιος θεὸς λόγος, υἱὸς τοῦ θεοῦ Χριστὸς κύριος ἡμῶν Ἰησοῦς, οὐκ ἔστιν ἀπὸ χρόνων Μαρίας μόνον, οὔτε ἀπὸ χρόνων Ἰωσὴφ μόνον, οὔτε Ἠλὶ, οὔτε Λευὶ, οὔτε Ζοροβάβελ, οὔτε Σαλαθιὴλ, οὔτε Νάθαν, οὔτε Δαβὶδ, οὔτε ἀπὸ Ἰακὼβ, οὔτε ἀπὸ Ἰσαὰκ, οὔτε ἀπὸ χρόνων τοῦ Ἀδὰμ, οὔτε Νῶε, οὔτε Ἀβραὰμ, οὔτε ἀπὸ τῆς πέμπτης ἡμέρας, οὔτε ἀπὸ τῆς τετάρτης ἡμέρας, οὔτε ἀπὸ τῆς τρίτης, οὔτε ἀπὸ τῆς δευτέρας, οὔτε ἐξότου οὐρανὸς καὶ ἡ γῆ γεγένηται, οὔτε ἐξότου ὁ κόσμος, ἀλλὰ, Ἐν ἀρχῇ ἦν ὁ λόγος, καὶ ὁ λόγος ἦν πρὸς τὸν θεὸν, καὶ θεὸς ἦν ὁ λόγος. Πάντα δι' αὐτοῦ ἐγένετο, καὶ χωρὶς αὐτοῦ ἐγένετο οὐδὲ ἓν ὃ γέγονε, καὶ τὰ ἑξῆς. Καὶ ὁ λόγος σὰρξ ἐγένετο, καὶ ἐσκήνωσεν ἐν ἡμῖν, καὶ εἴδομεν αὐτόν. Εἶτα, Ἐγένετο ἄνθρωπος ἀπεσταλμένος παρὰ θεοῦ, ὄνομα αὐτῷ Ἰωάννης· οὗτος ἦλθεν εἰς μαρτυρίαν, ἵνα μαρτυρήσῃ περὶ τοῦ φωτὸς, ἵνα πάντες πιστεύσωσι δι' αὐτοῦ. Οὐκ ἦν ἐκεῖνος τὸ φῶς, ἀλλ' ἵνα μαρτυρήσῃ περὶ τοῦ φωτός. Ἦν τὸ φῶς τὸ ἀληθινὸν, ὃ φωτίζει πάντα ἄνθρωπον ἐρχόμενον εἰς τὸν κόσμον. Ἐν τῷ κόσμῳ ἦν, καὶ ὁ κόσμος δι' αὐτοῦ ἐγένετο, καὶ ὁ κόσμος αὐτὸν οὐκ ἔγνω· εἰς τὰ ἴδια ἦλθε, καὶ οἱ ἴδιοι αὐτὸν οὐ παρέλαβον. Ὅσοι δὲ ἔλαβον αὐτὸν,
pag. 435. ἔδωκεν αὐτοῖς ἐξουσίαν τέκνα θεοῦ γενέσθαι· οἳ οὐκ ἐξ αἱμάτων καὶ σαρκὸς, ἀλλ' ἐκ θεοῦ ἐγεννήθησαν. Καὶ ὁ λόγος σὰρξ ἐγένετο, φησὶ, καὶ κατεσκήνωσεν ἐν ἡμῖν. Ἰωάννης μαρτυρεῖ, καὶ κέκραγε λέγων, Οὗτος ἦν ὃν εἶπον ὑμῖν· καὶ ὅτι, Ἐκ τοῦ πληρώματος αὐτοῦ ἡμεῖς πάντες ἐλάβομεν. Καὶ λέγει, Οὐκ εἰμι ἐγὼ ὁ Χριστὸς, ἀλλὰ φωνὴ βοῶντος ἐν τῇ ἐρήμῳ.

Cap. XII. — 1. *Reponendum videtur* ἐπὶ τῆς Ἀσίας.

2. *Cornarius vertit:* revocare ipsos in rectam viam cogitavit, et ipsis praedicare constituit, et dixit *cett. Accuratius ea verba reddideris ita:* cum revocare eos in rectam viam cuperet et, ut tutos redderet, denuntiare eis. *Nam in-*

nonagesimum annum excederet, postquam a Patmo insula reversus est, quod quidem Claudio imperante contigit. Quamobrem cum multos iam annos mansisset in Asia, evangelium scribere coactus est. In quo nihil opus habuit accuratius ea mandare literis quae Christus, quatenus carne erat praeditus, edidisset. Haec enim stabilita iam ac constituta fuerant. Sed perinde egit ac si post alios ambularet, quos et antecedentes cerneret, et per confragosa ac spinis obsita loca et diverticula gradientes in viam revocare cuperet, et in tutum reducere, ita illis denuntians et exclamans: Quid erratis? quo vos convertitis? quos anfractus quaeritis, tu Cerinthe, tu Marcio, vosque ceteri? Non ita se res habet, ut creditis. Christus quidem secundum carnem natus est, neque hoc obscurum est. Ultro id ego fateor, *Verbum*, inquam, *caro factum est.* Verum ne ab eo solum Ioann. 1.
tempore quo caro factum est, eundem fuisse putatote. Neque enim a Mariae tempore duntaxat extitit, quemadmodum quilibet nostrum tum cum natus est, esse coepit; nec antequam nasceretur ullo modo fuit. At sacrosanctus deus ac verbum dei filius, Christus Iesus dominus noster non a Mariae solum tempore esse coepit, neque Ioseph, vel Eli, vel Levi, vel Zorobabel, vel Salathiel, vel Nathan, vel David, neque ab Iacob, aut Isaac, aut ab Adami, ac Noëmi Abraamique temporibus, sed nec a die quinta, vel quarta, vel tertia, vel secunda, imo ne ex eo quidem tempore quo coelum ac terra mundusque fabricatus est, sed, *In principio erat verbum, et verbum erat apud deum, et deus erat verbum. Omnia per ipsum facta sunt, et sine ipso factum est nihil quod factum est, etc. Et verbum caro factum est, et habitavit in nobis, et vidimus illud.* Deinde: *Fuit homo missus a deo, cui nomen erat Ioannes. Hic venit in testimonium, ut testimonium perhiberet de lumine, ut omnes crederent per illum. Non erat lux, sed ut testimonium perhiberet de lumine, ut omnes crederent per illum. Erat lux vera, quae illuminat omnem hominem venientem in hunc mundum. In mundo erat, et mundus per ipsum factus est, et mundus eum non cognovit. In propria venit, et sui eum non receperunt. Quotquot autem receperunt eum, dedit eis potestatem filios dei fieri, qui non ex sanguinibus et carne, sed ex deo nati sunt. Et verbum caro factum est,* ait, *et habitavit in nobis. Ioannes testimonium perhibet, et clamat, dicens: Hic erat quem dixi vobis,* et, *De plenitudine eius nos omnes accepimus.* Et dicit, *Ego non sum Christus, sed vox clamantis in deserto.*

finitivus ἐπικηρυκεύσασθαι *cum genitivo* ἀσφαλιζομένου *pendet a* προνοοῦντος. *Pro* καὶ εἶπε, *quod libri habent, restitui* κατεῖπε, *facili quidem mutatione, quam postulabat structura.*

Κεφ. ιγ'. Καὶ ὅτε διηγεῖται ταῦτα πάντα, λέγει, Ταῦτα ἐν Βηθαβαρᾷ ἐγένετο· ἐν ἄλλοις δὲ ἀντιγράφοις, ἐν Βηθανίᾳ, πέραν τοῦ Ἰορδάνου. Καὶ μετὰ ταῦτα δείκνυσιν, ὅτι εἶπον αὐτῷ οἱ ἀπὸ τοῦ Ἰωάννου μαθηταί, Ῥαββί, ποῦ μένεις; ὁ δὲ εἶπε, δεῦτε καὶ ἴδετε· καὶ ἀπῆλθον, καὶ παρ' αὐτῷ ἔμειναν τὴν ἡμέραν ἐκείνην. Καὶ τῇ αὔριον, Ὥρα ἦν ὡς δεκάτη, ἦν Ἀνδρέας ὁ ἀδελφὸς Σίμωνος Πέτρου, εἷς ἐκ τῶν δύο τῶν ἀκολουθησάντων αὐτῷ· εὑρίσκει οὗτος πρῶτος τὸν ἀδελφὸν τὸν ἴδιον Σίμωνα, καὶ λέγει αὐτῷ, Εὑρήκαμεν Μεσσίαν, τὸν μεθερμηνευόμενον Χριστόν. Οὗτος ἤγαγεν αὐτὸν πρὸς τὸν Ἰησοῦν. Ἐμβλέψας δὲ αὐτῷ ὁ Ἰησοῦς, εἶπε, Σὺ εἶ Σίμων υἱὸς Ἰωνᾶ, σὺ κληθήσῃ Κηφᾶς, ὃ ἑρμηνεύεται Πέτρος. Τῇ ἐπαύριον ἠθέλησεν ἐξελθεῖν εἰς τὴν Γαλιλαίαν, καὶ εὑρίσκει Φίλιππον, καὶ λέγει αὐτῷ ὁ Ἰησοῦς, Ἀκολούθει μοι. Ἦν δὲ Φίλιππος ἀπὸ Βηθσαϊδᾶ, ἐκ τῆς πόλεως Ἀνδρέου καὶ Πέτρου· εὑρίσκει Φίλιππος τὸν Ναθαναήλ, καὶ λέγει αὐτῷ, Ὃν ἔγραψε Μωϋσῆς ἐν τῷ νόμῳ, καὶ οἱ προφῆται, εὑρήκαμεν Ἰησοῦν υἱὸν τοῦ Ἰωσὴφ τὸν ἀπὸ Ναζαρέτ. Καὶ εἶπεν αὐτῷ Ναθαναήλ, Ἐκ Ναζαρὲτ [1] δύναταί τι ἀγαθὸν εἶναι; λέγει αὐτῷ ὁ Φίλιππος, Ἔρχου καὶ ἴδε. Ἰδὼν δὲ ὁ Ἰησοῦς τὸν Ναθαναὴλ ἐρχόμενον πρὸς αὐτόν, λέγει περὶ αὐτοῦ, Ἴδε ἀληθῶς Ἰσραηλίτης, ἐν ᾧ δόλος οὐκ ἔστι. Λέγει αὐτῷ Ναθαναήλ, Πόθεν με γινώσκεις; Ἀπεκρίθη Ἰησοῦς, καὶ εἶπεν αὐτῷ, Πρὸ τοῦ σε Φίλιππον φωνῆσαι ὄντα ὑπὸ τὴν συκῆν, εἶδόν σε. Ἀπεκρίθη αὐτῷ Ναθαναήλ, καὶ εἶπε, Ῥαββί, σὺ εἶ ὁ υἱὸς τοῦ θεοῦ, σὺ βασιλεὺς εἶ τοῦ Ἰσραήλ. Ἀπεκρίθη ὁ Ἰησοῦς, καὶ εἶπεν αὐτῷ, Ὅτι εἶπόν σοι, Εἶδόν σε ὑποκάτω τῆς συκῆς, πιστεύεις; μείζω τούτων ὄψει. Καὶ εἶπεν αὐτῷ, Ἀμὴν, ἀμὴν λέγω ὑμῖν, ὄψεσθε τὸν οὐρανὸν ἀνεῳγότα, καὶ τοὺς ἀγγέλους τοῦ θεοῦ ἀναβαίνοντας καὶ καταβαίνοντας ἐπὶ τὸν υἱὸν τοῦ ἀνθρώπου. Καὶ τῇ ἡμέρᾳ τῇ τρίτῃ γάμος ἐγένετο ἐν Κανᾷ τῆς Γαλιλαίας, καὶ τὰ ἑξῆς· ἵνα δείξῃ μετὰ τὰς τεσσαράκοντα ἡμέρας
pag. 438. τοῦ πειρασμοῦ, καὶ μετὰ τὴν ἀπ' αὐτοῦ τοῦ πειρασμοῦ ἐπάνοδον καὶ ὁρμὴν τὴν ἐπὶ Ναζαρὲτ καὶ Γαλιλαίαν, ὡς οἱ ἄλλοι τρεῖς εὐαγγελισταὶ ἔφησαν, πάλιν ἐπὶ τὸν Ἰορδάνην αὐτὸν ἡκέναι· ὡς καὶ ἀπὸ τοῦ λόγου Ἰωάννου δειχθήσεται, φήσαντος οὕτως· Ὅτε εἶδεν αὐτὸν ἐρχόμενον τῇ ἐπαύριον, εἶπεν, Ἴδε ὁ ἀμνὸς τοῦ θεοῦ, ὁ αἴρων τὴν ἁμαρτίαν τοῦ κόσμου. Καὶ πάλιν τῇ ἄλλῃ ἡμέρᾳ, ὡς εἶδεν αὐτὸν περιπατοῦντα, ἔφη, Οὗτός ἐστι περὶ οὗ εἶπον ὑμῖν, Ὁ ὀπίσω μου [2] ἐρχόμενος ἔμπροσθέν μου γέγονεν, ὅτι πρῶτός μου ἦν. Καὶ ἐμαρτύρησε, φησίν, Ἰωάννης λέγων ὅτι, Τεθέαμαι τὸ πνεῦμα ἐν εἴδει περιστερᾶς καταβαῖνον, καὶ ἐρχόμενον ἐπ' αὐτόν· τὸ δὲ Ἐμαρτύρησε, καὶ ὅτι, Οὗτός ἐστιν ὃν εἶπον ὑμῖν, ὡς ἤδη περὶ ἄλλου καὶ ἄλλου καιροῦ παρῳχημένου λέγων, ἵνα δείξῃ οὐ τὸν αὐτὸν εἶναι καιρὸν τοῦτον ἐκεῖνον, τὸν

Cap. XIII. — 1. δύναταί τι ἀγαθὸν cod. Rhedig.

Quibus expositis ita deinde prosequitur: *Haec in Bethabara facta sunt.* In aliis exemplaribus scriptum est, *Bethania, trans Iordanem.* Post haec narrat Ioannis discipulos interrogasse, *Rabbi, ubi habitas?* Quibus ille respondit, *Venite, et videte. Et abierunt, et apud eum manserunt die illa. Et postera die, hora erat quasi decima: erat Andreas frater Simonis Petri unus ex duobus qui secuti fuerant eum. Invenit hic primus fratrem suum Simonem, et dicit ei, Invenimus Messiam, qui interpretatur Christus. Hic adduxit eum ad Iesum. Intuitus autem eum Iesus dixit, Tu es Simon filius Iona; tu vocaberis Cephas, quod interpretatur Petrus. In crastinum voluit exire in Galilaeam, et invenit Philippum, et dicit ei Iesus, Sequere me. Erat autem Philippus a Bethsaida civitate Andreae et Petri. Invenit Philippus Nathanaël, et dicit ei, Quem scripsit Moyses in lege, et prophetae, invenimus Iesum filium Ioseph a Nazareth. Et dixit ei Nathanaël: A Nazaret potest aliquid boni esse? Dicit ei Philippus, Veni et vide. Videns autem Iesus Nathanaël venientem ad se dixit de ipso, Ecce vere Israelita, in quo dolus non est. Dicit ei Nathanaël, Unde me nosti? Respondit Iesus et dixit ei, Priusquam te Philippus vocaret, cum esses sub ficu, vidi te. Respondit ei Nathanael et dixit, Rabbi, tu es filius dei, tu es rex Israel. Respondit Iesus, et dixit ei, Quia dixi tibi, Vidi te sub ficu, credis? Maius his videbis. Et dixit ei, Amen, Amen dico vobis: Videbitis coelum apertum, et angelos dei ascendentes et descendentes super filium hominis. Et die tertia nuptiae factae sunt in Cana Galilaeae, etc.* Ut hoc evidenter ostenderet, post XL dies, quam tentatus fuerat, et ab ea tentatione Nazaretum et in Galilaeam reversus, quod alii tres evangelistae commemoraverant, iterum ad Iordanem venisse; ut ex Ioannis oratione constabit, cum ita scribit: *Cum vidisset illum venientem sequenti die, dixit, Ecce agnus dei, qui tollit peccata mundi.* Item: *Alia die cum vidisset illum ambulantem, dixit, Hic est, de quo dixi vobis, Qui post me venit, ante me factus est, quia prior me erat. Et testimonium,* inquit, *perhibuit Ioannes, dicens, Quia vidi spiritum descendentem columbae specie, et venientem super eum.* Quae verba, *Testimonium perhibuit,* et, *Hic est quem dixi vobis,* ad aliud et aliud significandum tempus usurpat, ut non idem cum baptismi tempore, sed diversum esse de- Cap. XIII.

2. *ἔρχεται cod. Rhedig.*

τοῦ βαπτίσματος χρόνον, ἀλλὰ ἄλλον παρ' ἐκεῖνον. Οὔτε γὰρ εὐθὺς ἀπὸ τοῦ πειρασμοῦ πρὸς τὸν Ἰωάννην ἀφικνεῖται, ἀλλὰ πρῶτον μὲν εἰς τὴν Γαλιλαίαν, ἔπειτα δὲ ἀπὸ Γαλιλαίας ἐπὶ τὸν Ἰορδάνην, ὅπερ ἦν τοῦτο πρὸς τὸν Ἰωάννην. Διὸ λέγει, Οὗτος ἦν ὃν εἶπον ὑμῖν. Καὶ ὅτι τὸ εὐαγγέλιόν φησι, Καὶ ἐμαρτύρησεν Ἰωάννης, ὅτι τεθέαμαι· ὡς ἤδη τοῦ πράγματος πρὸ καιροῦ τινος γεγονότος.

Κεφ. ιδ΄. Μετὰ ταῦτα ἀρχὴ κλήσεως τῶν περὶ Πέτρον ἀπὸ Ἀνδρέου σημαίνεται. Ἀνῆλθε γὰρ παρ' αὐτῷ Ἀνδρέας εἷς τῶν δύο τῶν ἀκολουθησάντων αὐτῷ, μαθητευομένων μὲν παρ' Ἰωάννου, ἔτι δὲ ἐν τῇ Γαλιλαίᾳ παραμενόντων, καὶ καιροῦ τῷ Ἰωάννῃ σχολαζόντων. Καὶ εὐθὺς μείναντος Ἀνδρέου ἐκείνην τὴν ἡμέραν, ὥρα ἦν ὡς δεκάτη, συμβέβηκεν αὐτῇ τῇ ἡμέρᾳ ἀπαντῆσαι αὐτὸν τῷ ἰδίῳ ἀδελφῷ Σίμωνι καὶ εἰπεῖν τὰ προειρημένα ὅτι, Εὑρήκαμεν Μεσσίαν, καὶ ἀγαγεῖν αὐτὸν πρὸς τὸν κύριον, καὶ τὰ ἑξῆς, καὶ ὡς ἔχει ἡ ἀκολουθία, ὅτι εἶπεν αὐτῷ, Σὺ κληθήσῃ Κήφας, καὶ, Τῇ ἐπαύριον ἠθέλησε, φησὶν, ἐξελθεῖν εἰς τὴν Γαλιλαίαν, καὶ εὑρίσκει Φίλιππον, καὶ λέγει αὐτῷ ὁ Ἰησοῦς, Ἀκολούθει μοι· ἦν δὲ Φίλιππος ἀπὸ Βηθσαϊδᾶ, ἐκ τῆς πόλεως Ἀνδρέου καὶ Πέτρου. Καὶ ὁρᾷς ὅτι τὸ διανοηθῆναι ἡμῖν δίδωσιν, ὅτι τῶν δύο τῶν ἀκολουθησάντων μαθητευομένων μὲν τῷ Ἰωάννῃ, ἐξ ὧν ἑνὸς τὸ ὄνομα εἴρηκεν ὅτι Ἀνδρέας ἦν, τοῦ δὲ ἄλλου οὐκ εἴρηκεν, ὡς διανοεῖσθαι
cent tibi, Quando dividebat altissimus gentes, dispergebat filios Adam. Constituit terminos populorum, iuxta numerum angelorum dei. Et fuit pars domini populus eius Iacob; funiculus hereditatis eius Israel. Igitur cum angelis nationes subiectae sint, merito dixit, Solve quatuor angelos, qui sedent in Euphrate, ibique detinentur, ut gentes bellis inter sese committant, usque ad tempus patientiae domini, donec per illos sanctos suos vindicari iubeat. Etenim angeli isti, quibus hoc spiritus edicit, coercebantur interim, nec invaden ditempus est illis concessum; quos nondum dei iustitia solvebat, ut ceterae gentes ad persequendam sanctorum iniuriam solverentur. Iidem tamen soluti denique terram obeunt, ut Ioannes ac prophetae ceteri vaticinati sunt. Angeli enim dum commoventur, gentes ipsas ad ulciscendum commovent. Iam cur loricas illis igneas et sulphureas et hyacinthinas tribuat, nemini dubium est, propterea quod hisce coloribus gentium illarum vestes infectae sunt. Nam quod ad sulphureas attinet, melinus iste color est, a quo et lanae quaedam appellantur. Igneae porro vestes coccineas indicant, quemadmodum hyacinthiarum vocabulo callaicae lanae, hoc est ferrugineae, significantur.

At illi cum sancti spiritus expertes sint, eiusdem vi spiritus quae eius sunt nescire facillime iudicantur. Qui cum divino verbo consentanea loqui videri volunt, coelestia illa in ecclesiam collata dona, vaticinia scilicet, ignorant, quae vere ac constanter per eos homines, qui ea quae dicerent intelligerent, ac firma et robusta mente praediti erant, spiritus sanctus exposuit. Quales sancti prophetae et apostoli fuerunt. Quorum e numero b. Ioannes per evangelium suum atque epistolas et Apocalypsin idem coeleste munus impertiit. Ceterum in illos quadrat haec Christi sententia: *Qui blasphemaverit in spiritum sanctum, ei neque in praesenti, neque in futuro seculo peccatum remitti.* Nam illi expressissimis spiritus sancti verbis aperte repugnant. Cap. XXXV. Marc. 3, 29.

Atque haec adversus illam haeresin hunc in modum copiose disputata sufficere credimus. Quam velut scolopendram, qui et iulus dicitur (serpentis id genus est multipes imbecillum, cuius virus haud magnum affert dolorem, sed et pedes, ut dictum est, plures habet, et oblongum est) cum divina virtute ac veritate protriverimus, ad reliquas, carissimi, cum eadem dei ope progrediamur.

2. μακροσκελλον *habent editi.*

ΚΑΤΑ ΑΔΑΜΙΑΝΩΝ,
λβ΄ ἢ καὶ νβ΄.

Κεφ. α΄. *Ἀσφάλακα καλοῦσί τι ζῶον ἐν τῇ γῇ κάτω ἐμφωλεῦον, τετράπουν. [1]Ὀρύττει τὴν γῆν, καὶ ἐν τοῖς μυχοτάτοις αὐτῆς ἔχει τὴν οἴκησιν· τὰ δὲ πάντα τοῦ ζώου ὑπάρχει ὡςεὶ μικροῦ σκύλακος κυνός, [2]τὴν περιφέρειαν τῆς ἡλικίας ἔχον, ᾧ οὐδὲ ὅλως ὑπάρχει ὅρασις. Ἐρημωτικὸν δὲ ὂν τὸ ζῶον, κάτωθεν ἐκριζοῦν πάντα τὰ τῶν ἀνθρώπων γεωργήματα, τά τε σικυηρὰ τὰ μάλιστα καὶ τὰ [3]δριμέα φυτεύματα, κρομμύων τε καὶ σκορόδων, βολβῶν καὶ τῶν τοιούτων, κρίνων τε καὶ τῶν ἄλλων· ἐὰν δὲ λαθὸν ἐν τῷ ὀρύττειν φθάσῃ ἐπὶ τῆς γῆς ἔξω εἰς τὸν ἀέρα γενέσθαι, ἢ ἁλοὺς θηρευθείη ὑπὸ τῶν ἀνθρώπων, γέλοιόν τι ἐμποιεῖ πᾶσι τοῖς τοῦτο τὸ ζῶον θηρεύσασιν. Οὕτως καὶ αὐτὸς ἐπιχειρῶ λέγειν περὶ τῆς νυνὶ μετὰ χεῖρας αἱρέσεως, ὡς μὲν κατὰ τὴν καρδίαν τυφλώττει καὶ ἀνοηταίνει, ἐρημίαν δὲ ἑαυτῇ ἐργάζεται, καὶ τὴν σύστασιν ἑαυτῆς κάτωθεν ἐκτέμνει, ῥιζῶν τε πολλῶν, τῶν εἰς αὐτὴν ἐκπεπτωκότων ἀνδρῶν, τὴν λύμην ἀπεργάζεται. Τοῖς δὲ συνετοῖς εἴ ποτε γένοιτο κατοπτευθῆναι αὐτήν, γέλωτα οὐ τὸν τυχόντα παρασκευάζει· ὡς καὶ τὸ προειρημένον ζῶον διὰ τὴν ἑαυτοῦ τύφλωσιν ἐμπαιζόμενον διὰ τὴν [4]ἀορασίαν, καὶ μὴ εὑρίσκον ποῦ τὴν εἰςαγωγὴν ποιήσασθαι· ὡς καὶ [5]αὕτη ἡ αἵρεσις. Ἐπέθεντο γὰρ ἑαυτοῖς τοῦ Ἀδὰμ τὸ ὄνομα. Τοῦτο δὲ ἀπὸ ἀκοῆς ἀνδρῶν πολλῶν ἀκηκοότες φαμέν, οὐ γὰρ ἐν συγγράμμασιν ηὕραμεν, ἢ περιετύχομεν τοιούτοις τισί. Πολλῶν οὖν εἰρηκότων ἄξιον καὶ αὐτῆς μνησθῆναι ἐδικαιώσαμεν. Διὸ καὶ δικαίως ταύτην παρεικάσαμεν τῷ προειρημένῳ τυφλῷ [6]ζώῳ καὶ ἀνδράσιν οὐ τάχιον [7]φαινομένῳ, διὰ τὸ κρύβδην ἐν τῇ γῇ εἶναι, καὶ κάτωθεν τὴν λύμην ἐργάζεσθαι. Περιγέλαστος δέ ἐστι, καὶ ἐσκεπτόμην μηδ' ὅλως εἰς ἀριθμὸν αὐτὴν φέρειν· διὰ δὲ τὸ ὅλως ἦχον αὐτῆς εἶναι ἐν κόσμῳ οὐδὲν λυπήσειε τὸν συνετὸν ἀκροατὴν
pag. 459. περὶ πάντων εἰδέναι τῶν ἐν τῷ κόσμῳ ὑπὸ τοῦ διαβόλου ζιζανιωδῶς ἐσπαρμένων. Εἴτε γάρ ἐστιν ἡ τοιαύτη, εἴτε μὴ ἔστι, πολλῶν λεγόντων ἀκηκοότες ἀσφαλείας χάριν καὶ περὶ αὐτῆς εἰπεῖν εὔλογόν μοι πέφηνε, καὶ μὴ παραλεῖψαι, κἄν τε [8]καταλύεται, καὶ οὐκέτι ὑπάρχῃ. Οὐ γὰρ ἀσφαλῶς ἐπίσταμαι εἰ ἔτι ἔστιν, ἢ μὴ ἔστι. Τί δὲ εἰς μακρὸν*

Cap. I. — 1. ὅπερ ὀρύττει *coniecit Petavius.*

2. *H. e.* τὴν αὐτήν. — *Ceterum adverte anacoluthiam participii* ἔχον.

3. *Vulgo* δρυμέα.

4. *Ita correxerunt Cornarius et Petavius. Libri habent* ἀχρασίαν.

5. *Libri habent* αὐτῇ.

6. ζώῳ, *quod sententia postulat, rescripsi auctoritate etiam cod. Rhedig. Vulgo extat* ζῶον.

7. *Libri habent* φαινόμενοι.

8. *Suspicor* καταλέλυται — ὑπάρχει.

CONTRA ADAMIANOS,
haeresis XXXIII., sive LII.

Talpam genus quoddam animalis nuncupant, quadrupes quod Cap I. sub terra latebras habet, eaque effossa in intimis illius penetralibus domicilium collocat. Est autem canino catulo specie quam simillimum, eodemque staturae ambitu constans, sed visu penitus caret. Idem agris vastitatem adfert, et eorum, quae hominum labore consita sunt, radices evellit, sed cucumerum inprimis, tum quicquid acriorum est seminum, cuiusmodi sunt caepae, allia, bulbi, ceteraque id genus, item lilia, atque alia pleraque. Quod si fodiendo demum ad exteriorem terrae superficiem apertumque aërem pervenerit, aut hominum insidiis captus fuerit, iis a quibus captus est ludicrum de se spectaculum praebet. Idem nobis de ea, quam prae manibus habemus, haeresi dicendum videtur, quae excaecati cordis est ac desipit, sibi vero vastitatem affert; et idipsum, ex quo constat radicitus excidit. Quinetiam radicibus quamplurimis, illis scilicet hominibus, qui ad se confugerint, perniciem consciscit. E contrario vero prudentibus, si in conspectum aliquando venerit, non mediocrem de se risum concitat. Quemadmodum illud, de quo diximus, animal, quod, quia caecum est, nec receptum invenire ullum potest, ab omnibus illuditur. Non absimilis est illius haeresis conditio. Quam qui sequuntur, Adami nomen usurparunt. Hoc autem, quod a multis auditione didicimus, de eo hominum genere proponimus, non ullis scriptorum monumentis compertum, aut cuiusquam ex illo grege usu ac consuetudine perceptum. Quamobrem cum ea quae dicturus sum plerique narraverint, merito huius sectae mentionem aliquam faciendam esse duximus, ac iure eandem cum caeco illo animalculo comparavimus, quod ad hominum aspectum haud ita frequenter erumpit, propterea quod sub terra delitescit, indidemque stirpibus pestem atque exitium molitur. Sed ridicula inprimis haeresis illa est. Ac diu sane dubitavi, num ea ab celerarum numero excludenda prorsus esset. Verum, quod eius in mundo utcumque sonus exauditur, non erit auditori sapienti molestum, si lolii genera omnia cognoverit quae in orbe terrarum a diabolo disseminata sunt. Sive enim eiusmodi est qualem accepimus, sive non est, tamen cum ita plerosque narrantes audierimus, visum est securitatis caussa non absurdum, si de ea nonnihil ageremus, neque praetermitteremus penitus, tametsi iam eversa foret, nec uspiam resideret; utrum enim supersit necne, nondum exploratum habuimus. Quid autem attinet

ἀποτείνομαι χρόνον τῷ προοιμίῳ χρώμενος πρὸς διήγησιν; Ἄρξομαι τὸ γέλοιον διηγεῖσθαι, μᾶλλον δὲ τὸ πένθος· πένθος, ὅτι πως ὁ διάβολος ἐνῴκησεν ἐν τῇ τῶν ἀνθρώπων διανοίᾳ, χλευάσαι τὸ πλάσμα τὸ ἐκ θεοῦ πεπλασμένον, γέλοιον δὲ, περὶ τῶν μήτε ὁρώντων, μήτε τὸ συνετὸν διανενοημένων.

Κεφ. β΄. *Πρῶτον γάρ φασι τοὺς τοιούτους τὰς αὐτῶν ἐκκλησίας, ἤτοι φωλεοὺς καὶ σπήλυγγας (οὕτω γὰρ εἴποιμι τὰς τῶν αἱρέσεων συνελεύσεις) ἐν ὑποκαύστοις οἰκοδομεῖσθαι, ὑποκαίειν δὲ κάτω διὰ τὸ εἶναι [1] ἔθμην εἰς θάλψιν τῶν ἔνδον ἐν τῷ οἰκίστῳ συναγομένων. Ἐν δὲ τῷ εἰςιέναι ἱματιοφύλακές εἰσί τινες πρὸς ταῖς θύραις δίκην [2] καμψαρίων ὑπ' αὐτῶν ἐπιτεταγμένοι, καὶ ἕκαστος εἰςιὼν, ἤτοι ἀνὴρ, ἤτοι γυνὴ, ἐκδυόμενος ἔξω εἴςεισι γυμνὸς, ὡς ἀπὸ μητρὸς, ὅλῳ τῷ σώματι, οἵ τε δοκοῦντες αὐτῶν ἀρχηγοὶ καὶ διδάσκαλοι πάντες ὡς ἐκ μητρὸς καθεζόμενοι, οἱ μὲν ἄνω, οἱ δὲ κάτω, ἀναμὶξ καὶ σποράδην. Εἰσὶ δὲ παρ' αὐτοῖς ἐγκρατεῖς δῆθεν λεγόμενοί τε καὶ κομπάζοντες, καὶ παρθένοι, ὡς ἑαυτοὺς ἀπατῶσι· τάς τε ἀναγνώσεις καὶ τὰ ἄλλα αὐτῶν πάντα γυμνοὶ ὄντες τελοῦσιν. Εἰ δὲ δόξειέ τινα, ὡς καὶ τοῦτο λέγουσιν, ἐν παραπτώματι γενέσθαι, οὐκέτι τοῦτον συνάγουσι. Φάσκουσι γὰρ αὐτὸν τὸν Ἀδὰμ τὸν βεβρωκότα ἀπὸ τοῦ ξύλου, καὶ κρίνουσιν ἐξεῶσθαι, ὡς ἀπὸ τοῦ Παραδείσου, τουτέστι τῆς αὐτῶν ἐκκλησίας. Ἡγοῦνται γὰρ τὴν ἑαυτῶν ἐκκλησίαν εἶναι τὸν Παράδεισον, καὶ αὐτοὺς εἶναι τοὺς περὶ Ἀδὰμ καὶ Εὔαν. Τίνι οὖν τῷ λόγῳ ὑποκαίουσι τὸν οἰκίσκον, ἵνα μὴ τὸ κρύος αὐτῶν ἐφάψηται; Ἀδὰμ γὰρ καὶ Εὔα οὐκ ἐν ὑποκαύστῳ οἴκῳ τὴν δίαιταν εἶχον, οὔτε ἐν φλογμῷ τινι ὑπεπιέζοντο, οὔτε κρύος αὐτοὺς ἐφόρτου. Ἦν δὲ αὐτοῖς ἀὴρ καθαρώτατος καὶ πάσης εὐκρασίας εὐτάκτως ἐκ θεοῦ [3] μεμελημένος, οὔτε ἀπηνότητι ψυχρίας τετονωμένος, οὔτε ἀηδεστάτῃ ἐκπυρώσει καύσωνος ἐπηρτημένος, διαίτῃ δὲ ἀμβροσίᾳ μάλα ἐκ θεοῦ πεποιημένη. Ὁ χῶρος ἐτέτακτο θυμηδίας καὶ εὐζωΐας [4] πεποιημένος, καὶ οὔτε ῥίγει ὑπέπιπτον, οὔτε καύσωνι, ὡς ἔφην. Τούτων δὲ τοιούτων ἐπιδεομένων μάλα παρ' αὐτοῖς ἡ χλεύη γίνεται.*

pag. 480.

Κεφ. γ΄. *Εἶτα δὲ καὶ τὸ ἕτερον σκοπήσωμεν, πῶς ἡ πᾶσα πλάνη διελέγχεται, ὅτι οὐ μίαν ὥραν ἐκεῖνοι γυμνοὶ ἦσαν, ἀλλὰ διηνεκῶς, καὶ οὐκ ᾐσχύνοντο. Τούτοις δὲ οὐ διὰ τὸ μὴ αἰσχύνεσθαι ἡ γύμνωσις, κἄν τε οὕτως αὐτοὶ νομίσωσιν, ἀλλ' ἕνεκα ἀκορέστου ἡδονῆς, κόραις ὀφθαλ-*

CAP. II. — 1. *V. Hesych. s. v., cum interprr.*

2. *Praeter ea quae Petavius de hoc vocabulo offert, v. etiam Suicerum in Thesauro s. v. et Du Cangium in Glossario Med. et Inf. Latinitatis tom. II, p. 154. ed. Hensch. s. v.* Capsarius, *et inprimis p. 71. s. v.* Campsa, *et in Gloss. Med. et Inf. Graecitatis p. 568. s. v.* Καμψάριος.

in illius narrationis exordio diutius immorari? Age ridiculam illam narrationem, vel luctuosam potius, aggrediamur, luctuosam quidem, quod diabolus in hominum mentibus sedem constituerit, dei ut opificio posset illudere, ridiculam vero, quatenus nihil isti neque vident neque prudenter intelligunt.

Inprimis enim haereticos istos ferunt ecclesias suas, sive latibula potius et cavernas (sic enim haereticorum libet appellare conventicula), in hypocaustis extruere. Quippe subter ignem excitant, ad eos vaporandos ac fovendos qui in illud cubiculum conveniunt. In ingressu vestimentorum custodes pro foribus capsariorum instar appositi sunt. Tum intrantium quisque tam vir quam femina foris vestibus exuens sese toto corpore, perinde ut ex utero matris exiit, nudus ingreditur. Sed qui principes inter illos habentur et magistri, peraeque nudi consident, alii in superiore loco, alii in inferiore, promiscue ac passim. Ad haec nonnulli ex eorum numero sunt, qui scilicet continentes appellantur, idque prae se ferunt, ac virgines habentur, seque ipsos hunc in modum decipiunt. Iam vero lectiones ac reliqua id genus obeunt nudi. Quod si quis, ut dicere solent, in culpam lapsus esse videatur, hunc in conventum suum minime amplius recipiunt. Adamum enim illum esse dicunt qui de ligno comederit, atque e Paradiso, hoc est ecclesia sua, exterminandum iudicant. Nam ecclesiam suam Paradisum esse statuunt, seipsos vero Adamum et Evam. Cur igitur subter cubiculum illud ignem excitant, ne frigore infestentur? Etenim Adamus et Eva neque in hypocausto degebant, neque ardore ullo atque aestu premebantur, nec ullum eis frigus erat molestum, sed purissimo aëre fruebantur ac mirifice a deo temperato, qui nec frigoris atrocitate vehementior, nec molestissimo incendii ardore violentus immineret. Victus iisdem ambrosia erat a deo parata. Locus ipse denique ad omnem erat voluptatem iucunditatemque factus. Ita, ut neque algori neque aestui, quemadmodum diximus, essent obnoxii. At illi cum istiusmodi vitae necessitatibus expositi sint, omnino ridiculi sunt.

Cap. II. Gen. 3.

Quin illud una considerandum est, quemadmodum ex eo refelli omnis istorum error possit. Nam primi nostri parentes non una duntaxat hora, sed perpetuo nudi sine ullo pudore perseverabant. At isti non quod pudore careant, propterea nudantur, tametsi ita sibi persuadeant, sed id insatiatae libidini tribuunt, quae eiusmodi

Cap. III. Gen. 3, 7.

3. *Correxi* μεμελημένος. *Nam in libris legitur* μεμερημένος, *quod mendum esse videtur. Cornarius vertit* „et omni temperamento ordinate ex deo refertus."

4. *Vereor ne sit reponendum* πεπλησμένος. *Cornarius:* et diaeta immortalis, et locus ex deo factus ipsis dispositus erat, iucunditate et vitae opulentia redundans *cett.*

μῶν ἐμποιούσης τὴν θέλξιν. Ἀφῄρηται γὰρ ἀπ' αὐτῶν ἡ αἰδὼ, ἡ ἐν πάσαις ἁγίαις γραφαῖς ἐπαινουμένη, καὶ ἀληθῶς πεπλήρωται τὸ παρὰ τῷ προφήτῃ εἰρημένον τὸ, Ὄψις πόρνης ἐγένετό σοι, ἀπηναισχυντήσας πρὸς πάντας. Μετὰ δὲ τὴν ὥραν ἐκείνην ἔξω ἱματίοις ἀμφιέννυνται, καὶ οὐκέτι εἰσὶν [1] ὁ Ἀδάμ. Οὔτε γὰρ εὐθὺς ἐκεῖνος ἱματίοις ηὐπόρησεν, ἀλλὰ πρῶτον μὲν φύλλα συκῆς, ἔπειτα δὲ χιτῶνας δερματίνους, καὶ ὡς μετὰ πολὺν χρόνον τῆς αὐτῶν ζωῆς ἡ παμποικίλος τοῦ θεοῦ σοφία τὴν εἴδησιν αὐτοῖς ἐνέβαλε τῶν ἀμφίων. Καὶ κατὰ πάντα τρόπον αὐτοὶ χλευασθήσονται, λέγοντες ἑαυτοὺς εἶναι τοὺς περὶ Ἀδὰμ, καταψευδόμενοι ἑαυτῶν, καὶ ἅμα ἀληθεύοντες. Ὅτι μὲν γὰρ οὗτοι Ἀδὰμ οὐχ ὑπάρχουσι, τοῦτο δῆλον ἐκ πολλῶν τεκμηρίων, ὡς καὶ ὑπεδείξαμεν, ὅτι δὲ ὑπὸ τοῦ νοητοῦ ὄφεως ἐμπαίζονται, τοῦτο δῆλον παρὰ τῆς πεποιημένης αὐτῶν σχηματουργίας, καὶ γυμνώσεως, καὶ αἰσχύνης, καὶ χλεύης. Οὐκ ἄξιον δὲ ἡμᾶς περὶ πολλοῦ ποιεῖσθαι τούτων τὴν ἀνατροπήν. Οὔτε γὰρ τὸ ὅμοιον αὐτῶν ζῶον σκευῶν πολεμικῶν ἢ μεγάλων ὅπλων ἐπιδέεται πρὸς ἀναίρεσιν. Διὰ γὰρ μικρᾶς ῥάβδου τοῦτο ἀφανίζεται, πολλάκις δὲ μετὰ τὸ ἀνενεχθῆναι ἐκ τοῦ φωλεοῦ καταλιμπάνεται μόνον, καὶ ἑαυτῷ διαφθείρεται, γελώμενον καὶ ἐμπαιζόμενον, καὶ μὴ εὑρισκόμενον, διὰ τῆς παγγελάστου χλεύης καὶ ἀσέμνου διαγωγῆς καὶ ὑποθέσεως τῆς ληρῳδίας. Τὰς δὲ ἑξῆς διασκοπήσαντες πάλιν εὐξώμεθα θεὸν συνεργεῖν ἡμῖν εἰς τὴν τῶν ἄλλων εὕρεσίν τε καὶ ἀνατροπὴν, καὶ ἡμῶν καὶ τῶν ἐντυγχανόντων σωτηρίαν.

pag. 461.

ΚΑΤΑ ΣΑΜΨΑΙΩΝ,

τριακοστὴ τρίτη, ἡ καὶ πεντηκοστὴ τρίτη.

Κεφ. α΄. Σαμψαῖοί τινες ἐν τῇ Περαίᾳ, περὶ ὧν ἤδη ἐν ταῖς ἄλλαις αἱρέσεσιν ἐπεμνήσθημεν, τῶν δὴ καὶ Ἐλκεσαίων καλουμένων, αἵρεσίς τις ὑπάρχει ἐν τῇ Περαίᾳ οὕτω καλουμένῃ χώρᾳ, πέραν τῆς Ἁλυκῆς, ἤτοι Νεκρᾶς καλουμένης θαλάσσης, ἐν τῇ Μωαβίτιδι χώρᾳ, περὶ τὸν χειμάρρουν Ἀρνῶν, καὶ ἐπέκεινα, ἐν τῇ [1] Ἰτουραίᾳ καὶ [2] Ναβαττίδι, ὡς καὶ ἤδη μοι πολλάκις περὶ τούτου δεδήλωται. Οὗτοι γὰρ αὐχοῦσι τὸν Ἠλξαῖον αὐτῶν εἶναι διδάσκαλον, ἔτι δὲ καὶ εἰς δεῦρο τοῦ γένους αὐτοῦ ὑπαρχούσας δύο γυναῖκας προσεκύνουν, ὡς θεὰς δῆθεν, διὰ τὸ εἶναι αὐτὰς ἐκ σπέρματος εὐλογημένου. Κέχρηνται δὲ τῇ βίβλῳ [3] τούτου καὶ Ὀσσαῖοι καὶ Ἐβιωναῖοι καὶ Ναζωραῖοι, ὡς ἤδη πολλάκις εἶπον· φύσει δὲ οὗτοι οἱ Σαμψαῖοι ἐξ αὐτῆς ὁρμῶνται, οὔτε Χριστια-

Cap. III. — 1. *Fortassean* ὃ Ἀδάμ. *scripsit etiam Salmas. in Solin. p.* 433., *quem cf. de hoc loco, si placet.*
Cap. I. — 1. *Libri* Ἰτουρέᾳ.
2. *Corrige* Ναβατίτιδι *vel* Ναβατίδι,

oculis illecebras obiicit. Siquidem omnem illi verecundiam deposuerunt, quae in omnibus sacris scripturis est laudata saepius. Ac verissime in illis prophetae dictum illud impletur: *Fons meretricis facta est tibi, pudorem apud omnes abiecisti.* Hier. 3, 3. Ceterum post illam horam foris rursum vestes induunt et Adami esse desinunt. Neque enim is vestium subinde copiam habuit, sed primum ficus folia, deinde pelliceas tunicas. Ita non nisi longo tempore, quam creati fuerant, vestimentorum usum divina illos sapientia perdocuit. Quamobrem omni explodendi ludibrio sunt homines isti, qui sibi Adami conditionem vindicant; in quo partim mentiuntur, partim vera iactitant. Quod enim Adami non sunt, multis, ut ostendimus, est argumentis perspicuum; quod autem ab intelligibili serpente ludificentur, id vero ex affectato illorum habitu ac nuditate, pudendoque ac ridendo illo instituto constat. Enimvero tanti illorum refutationem facere minime convenit. Neque enim animal illud, cui similes sunt, bellicis machinis aut maioribus armis expugnari conficique debet, sed exigua aliqua virga profligatur. Saepe etiam cum ex foramine emerserit, si ibidem destitutum fuerit, per sese extinguitur, risu omnium ac ludibrio vexatum, nec amplius reperitur, posteaquam sic illusum fuerit ac ludicrae occupationis materiem praebuerit. Iam vero ad ceteras considerandas haereses divinam opem rursus imploremus, quo et illas investigare atque evertere possimus, et hoc ipsum tam ad nostram quam ad lectorum salutem referatur.

ADVERSUS SAMPSAEOS, haeresis XXXIII., sive LIII.

Sampsaeorum in ea regione quae Peraea dicitur haeresis quae- Cap. I.
dam est, qui et Elcesaei vocantur; de quibus in superioribus haeresibus mentionem fecimus. Hi ultra Salsum sive Mortuum mare habitant in Moabitide, ad torrentem Arnon, et in ulteriore tractu, Ituraeae ac Nabattide, de quo saepius iam egisse me memini. Iactant enim illi conditorem sectae suae ac magistrum Elxaeum. E cuius stirpe duas ad hoc tempus mulierculas tanquam deas adorabant, quod ex benedicto semine essent oriundae. Utuntur hoc eorum libro et Ossaei et Ebionaei et Nazaraei, ut non semel antea dixi; sed Sampsaei potissimum illo nituntur. Qui cum nec Christiani sint,

3. *Ita corrigendum esse visum est. Libri habent* ταύτῃ, *quod Cornarium movit ut ante* χέχρηνται *aliquot verba excidisse statueret. Certe in versione eius Latina ante illud vocabulum lacunae signum est conspicuum. — De Elxai propheta eiusque libro v. supra haer.* 19, 1.

νοὶ ὑπάρχοντες, οὔτε Ἰουδαῖοι, οὔτε Ἕλληνες, ἀλλὰ μέσον ἁπλῶς ὑπάρχοντες οὐδέν εἰσι. Φασὶ δὲ καὶ ἄλλο βιβλίον ἔχειν, τὸ λεγόμενον ἀδελφοῦ τοῦ Ἠλξαΐ. Θεὸν δὲ ἕνα λέγουσι, καὶ δῆθεν αὐτὸν σέβουσι βαπτισμοῖς τισι χρώμενοι· πρόσκεινται δὲ Ἰουδαίοις ἐν ἅπασιν. Ἀπέχονται δὲ καὶ ἐμψύχων τινὲς ἐξ αὐτῶν· ὑπεραποθνήσκουσι δὲ τῶν ἐκ γένους τοῦ Ἠλξαΐ. Καὶ ἐν μὲν τῷ χρόνῳ τούτῳ ἀκηκόειν [4] ὅτι τέθνηκεν ἡ μία γυνὴ ἡ Μαρθοῦς καλουμένη, ἔμεινε δὲ καὶ νῦν Μαρθάνα· εἰ μὴ καὶ αὐτὴ τέθνηκεν. Εἴ ποτε δὲ ἔξοδον εἶχον αἱ τοιαῦταί ποι βαδίζουσαι, συνεπόμενοι οἱ ὄχλοι αὐτῶν τὸν χοῦν τῶν ποδῶν λαμβάνοντες, ἰάσεως δῆθεν ἕνεκεν, τὸν σίελον τῶν πτυσμάτων ὡσαύτως, μεγάλως ἐμπαιζόμενοι ἐχρῶντο ἐν φυλακτηρίοις τε καὶ περιάπτοις. Πᾶσα γὰρ πλάνη ἔσχε πρῶτον τὴν τύφλωσιν, ἔπειτα τὴν κενοφωνίαν. Καὶ οὔτε προφήτας δέχονται οἱ τοιοῦτοι, οὔτε ἀποστόλους· τὰ πάντα δὲ παρ' αὐτοῖς ἠπάτηται. Τετίμηται δὲ καὶ τὸ ὕδωρ, καὶ τοῦτο ὡς θεὸν ἡγοῦνται, σχεδὸν φάσκοντες εἶναι τὴν ζωὴν ἐκ τούτου. Χριστὸν δὲ ὀνόματι ὁμολογοῦσι, κτίσμα αὐτὸν ἡγούμενοι, καὶ ἀεί ποτε φαινόμενον, καὶ πρῶτον μὲν πεπλάσθαι [5] αὐτὸν τὸ σῶμα τοῦ Ἀδὰμ,
pag. 462. καὶ πάλιν ἐνδύεσθαι, ὅτε βούλεται· καλεῖσθαι δὲ αὐτὸν Χριστὸν, καὶ εἶναι τὸ ἅγιον πνεῦμα ἀδελφὴν αὐτοῦ, θηλυκῷ σχήματι ὑπάρχουσαν, ἐνενηκονταὲξ μιλίων τὸ ὕψος ἕκαστον αὐτῶν [6] ἔχον, ὅ τε Χριστὸς καὶ τὸ ἅγιον πνεῦμα, καὶ τὸ πλάτος εἰκοσιτεσσάρων καὶ πολλὰ ληρώδη ἕτερα.

Κεφ. β'. Ἤδη δὲ περὶ τούτου πολλάκις ἐν ἄλλαις αἱρέσεσι διηγούμενος τὰς ἀνατροπὰς πεποίημαι, διὸ οὐκ ἀναγκαῖον ἡγησάμην περὶ πολλοῦ ποιήσασθαι τὴν περὶ τούτων ζήτησιν τῆς ἀνατροπῆς, ὡς ἤδη ἡμῶν ἐργασαμένων εἰς αὐτὸν τὸν Ἠλξαῖον, εἴτ' οὖν Ἠλξαΐ, καὶ τοὺς ἀπ' αὐτοῦ, ἐν ταῖς ἄλλαις προδεδηλωμέναις αἱρέσεσι. Πᾶσι γὰρ φωρατὸς ὁ τοιοῦτος καὶ ἡ ἐξ αὐτοῦ αἵρεσις, ὅτι πεπλάνηται. Ὡς οὖν [1] σαύραν ἡλιακὴν πεπαικότες ῥάβδῳ ἐλπίδος Χριστοῦ καὶ τοῦ σταυροῦ ἐπὶ τὰς ἑξῆς ἴωμεν. Ἄξιον γάρ ἐστιν, ᾧ ὀνόματι ἑαυτοὺς καὶ οὗτοι ὠνόμασαν, τῷ αὐτῷ κεχρῆσθαι αἰνίγματι εἰς φράσιν τῆς αὐτῶν παραπεποιημένης ἐπωνυμίας. Σαμψαῖοι γὰρ ἑρμηνεύονται Ἡλιακοί. Διὸ καὶ τοῦ ζώου ἐπεμνήσθημεν. Ταύτην γὰρ [2] σαύραν οὕτω κικλήσκουσιν ἡλιακὴν οἱ ἄνθρωποι. Χείρων δὲ αἵρεσις αὕτη τῆς σαύρας, μηδὲ τὸ ἀκαριαῖον τῆς ὠφελείας ἑαυτῆς ἔχουσα. Ἐκείνη γὰρ ἀμβλυωπήσασα χρόνῳ ἀνα-

4. *Vulgo* ὅτε.
5. *Fortassean* αὐτῷ *vel* αὐτῷ. *Cornarius:* Et primum quidem formatum esse ipsum in corpus Adam, et rursus induere *cett.*

nec Iudaei, nec gentiles, medii cuiusdam generis, sive potius nihil omnino sunt. Quinetiam alium habere se librum praedicant quem fratri Elxaei tribuunt. Unum esse deum asserunt, ac certis usurpatis baptismis eundem venerantur. Iudaeis porro in omnibus adhaerescunt. Sunt inter eos qui ab animatis omnibus abstinent. Pro Elxai vero stirpe morti sese committere non dubitant. Ceterum per id tempus audieram unam e duabus illis feminam obiisse, quae Martho nominabatur, superstite adhuc Marthana; nisi iam et ipsa decesserit. Ambas illas quoties domo progressae aliquo se conferrent, ingens hominum multitudo comitabatur, qui non modo pedum pulverem, sed et sputa, morborum ad remedia colligentes non sine magno ludibrio ad amuleta et phylacteria reservabant. Siquidem error omnis caecitate primum, tum vanitate et arrogantia laborat. Iidem illi prophetas non minus quam apostolos reiiciunt, et, ut summatim dicam, fraudibus ac mendaciis illorum omnia sunt referta. Aquam magnopere venerantur ac propemodum instar numinis habent, quod ab ea propagatam esse vitam asserunt. Christum verbo tenus confitentur, quem creaturam esse putant, et identidem apparere. Ac primum Adami corpus fabricasse, rursumque, cum ei visum est, induere. Ei Christo nomen esse: huius sororem spiritum esse sanctum, muliebri videlicet specie. Utrumque vero, tam Christum quam spiritum sanctum, nonaginta sex millarium altitudine, viginti quatuor latitudine constare. Ad haec innumeras alias nugas adiiciunt.

Sed de istiusmodi dogmate cum in aliis haeresibus crebro mentionem iniecerim, quemadmodum confutandum esset ostendimus. Cap. II.
Quo minus necessarium existimavi in eo refellendo magnopere commorari, cum id iam in antecedentibus haeresibus, tam adversus Elxaeum, sive Elxai, quam eius sectarios sit abunde praestitum. Accedit neminem esse qui non et hunc et huius haeresin a veritate plurimum aberrare cognoscat. Quocirca cum solarem illam lacertam spei in Christo et crucis virga percusserimus, ad ceteras pergamus. Est enim rationi consentaneum ut quo nomine seipsos afficiunt, idem ad illos adumbrandos atque ementitam illam appellationem declarandam adhibeamus. Sampsaei quippe idem ac Solares significant. Unde et illius animalis meminimus. Nam eiusmodi lacertam solarem homines nuncupant. Quamquam longe haec haeresis lacerta deterior est, quae ne minimum quidem utilitati suae consulit. At lacerta, cum oculi caligare coeperint, aliquanto postea vi-

6. *Repono* ἔχοντα, τόν τε Χριστὸν *vel* ἔχειν τόν τε Χριστόν.

Cap. II. — 1. *Libri* σαῦραν. 2. *Libri* σαῦραν.

βλέπει, διὰ ἡλιακῆς στροφάλιγγος ἐν φωλεῷ πρὸς ἀνατολὴν προςέχοντι ἑαυτὴν προςθλίψασα καὶ νηστεύσασα, πρὸς ἀνατολὴν κατανοοῦσα. Αὕτη δὲ, φημὶ ἡ αἵρεσις, ἐν ἅπασιν ἀφροσύνην κέκτηται τοῦ ζώου, οὐ μὴν κἂν τὸ ὀλίγον τοῦ ἐπαίνου. Ὡς οὖν καὶ αὕτη ἡ αἵρεσις, [3] σαύρα ἡμῖν λεχθεῖσα ἡλιακὴ, καὶ καταπατηθεῖσα ὑπὸ τῆς ἀληθείας αὐτοῦ μενέτω, μηδὲν κατισχύουσα [4] περὶ θεοῦ ἀληθείας· ἡμεῖς δὲ ἐπὶ τὰς ἄλλας, ὡς εἴπομεν, ἐξορμήσωμεν.

ΚΑΤΑ ΘΕΟΔΟΤΙΑΝΩΝ,

τριακοστὴ τετάρτη, ἡ καὶ πεντηκοστὴ τετάρτη.

Κεφ. α'. *Ἀνέστη πάλιν Θεόδοτός τις, ἀπόσπασμα ὑπάρχων ἐκ τῆς προειρημένης Ἀλόγου αἱρέσεως, τῆς ἀρνουμένης τὸ κατὰ Ἰωάννην εὐαγγέλιον, καὶ τὸν ἐν αὐτῷ ἐν ἀρχῇ ὄντα θεὸν λόγον, καὶ τὴν αὐτοῦ Ἀποκάλυψιν, ἀλλὰ καὶ ταῖς ἄλλαις αἱρέσεσι ταῖς προειρημέναις συγγενόμενός τε καὶ συνυπάρξας, καὶ κατὰ τὸν χρόνον αὐτὰς διαδεξάμενος, ἐξ οὗπερ οἱ Θεοδοτιανοὶ καλούμενοι. Καὶ εἰ μὲν ὑπάρχει ἡ αἵρεσις ἔτι αὕτη [1] ἀγνοοῦμεν, τὰ δὲ εἰς ἡμᾶς ἀπὸ συγγραμμάτων ἐλθόντα ἐροῦμεν.*

pag. 463.

Οὗτος ὁ Θεόδοτος ἀπὸ Βυζαντίου μὲν ὡρμᾶτο, τῆς νυνὶ καλουμένης Κωνσταντίνου πόλεως, σκυτεὺς τὴν τέχνην, πολυμαθὴς δὲ τῷ λόγῳ. Οὗτος ἅμα τισὶ πλείοσιν ἐν καιρῷ διωγμοῦ ἐνστάντος, οὐκ οἶδα εἰπεῖν [2] ἐν τῷ τοιούτῳ διωγμῷ, ἀπὸ τοῦ τῆς πόλεως ἄρχοντος συλληφθεὶς μετὰ πλειόνων καὶ ἐξετασθεὶς σὺν τοῖς ἄλλοις ὑπὲρ Χριστοῦ, οἱ μὲν ἄλλοι πάντες θεοῦ δοῦλοι τὸ νῖκος ἀπενεγκάμενοι βραβείων ἔτυχον ἐπουρανίων, ὑπὲρ Χριστοῦ μαρτυρήσαντες, οὗτος δὲ Χριστὸν ἀρνησάμενος, καὶ παραπεσὼν τοῦ σκοποῦ τῆς ἀληθείας, ἐν παρεκβάσει γεγένηται, καὶ ἀπὸ αἰσχύνης πολλῆς ὑπὸ πολλῶν ὀνειδιζόμενος ἀπέδρασε τῆς ἑαυτοῦ πατρίδος, καὶ ἀναβὰς εἰς Ῥώμην ἐκεῖσε διέτριβεν. Ὑπό τινος δὲ ἐπιγνωσθεὶς τῶν ἐν Ῥώμῃ καὶ πάλιν καὶ ἐκεῖ τῷ αὐτῷ ὀνείδει ὑποπίπτει, διὰ τὸ [3] ἐγκαλεῖσθαι αὐτὸν ὑπὸ τῶν αὐτὸν εἰδότων ἕνεκεν τῆς πολυμαθείας, ὅτι ἀνὴρ πολυμαθὴς [4] πως ἐξέπεσε τῆς ἀληθείας. Εἰς ἑαυτοῦ δὲ δῆθεν κακὴν ἀπολογίαν ἐπινενόηκε τουτὶ τὸ κενὸν δόγμα, φήσας ὅτι, Θεὸν ἐγὼ οὐκ ἠρνησάμην, ἀλλὰ ἄνθρωπον ἠρνησάμην. Εἶτα ἐρωτώμενος ποῖον ἄνθρωπον, ἀποκρίνεται λέγων, Χριστὸν ἠρνησάμην ἄνθρωπον. Ἐντεῦθεν οὕτως ἑαυτῷ ἐδογμά-

3. *Libri* σαῦρα.
4. τῆς περὶ *volebat Petavius.*
Cap. I. — 1. ἀγνοοῦμεν *rescripsi ex emendatione Petavii. Vulgo* ἀγνοουμένη. *Ita Cornarius vertit:* Et quamvis haeresis haec adhuc sit ignota, tamen cett.

sum solaris circuitus beneficio recipit. Nam in angustum foramen, quod ad orientem obversum est, subiens sese comprimit, pabuli expers, et ad orientem respiciens. Contra haeresis ista stoliditatem quidem in omnibus animalis huius exprimit, quod in eo vero laudabile est, ne minima quidem ex parte obtinet. Igitur quae a nobis haeresis *lacerta solaris* appellatur, a veritate proculcata modo relinquatur, cum nihil adversus divinam veritatem efficere potuerit. Nos interim ad alias, ut dictum est, progrediamur.

CONTRA THEODOTIANOS,
haeresis XXXIV., sive LIV.

Theodotus iterum nescio quis emersit, velut appendix quaedam illius haeresis quam Alogorum nomine comprehendimus, quae Ioannis evangelium et deum illum verbum, quod a principio ibidem fuisse dicitur, nec non et Apocalypsin respuit. Sed et aliarum ante commemoratarum haereseon consuetudine usus est Theodotus, et eodem tempore vixit, atque illis postea successit, a quo Theodotiani nomen acceperunt. Iam vero sitne hodie superstes haec haeresis plane nescimus: quae quidem librorum monumentis ad nostram memoriam commendata pervenerunt, ea narrabimus. Cap. I.

Theodotus igitur iste Byzantio oriundus, quae hodie Constantinopolis dicitur, arte coriarius erat, homo apprime literis eruditus. Qui cum aliis plerisque ineunte persecutione comprehensus (quaenam vero ea persecutio fuerit, nondum comperi), sed tum ab urbis praefecto cum pluribus correptus, cum de omnibus quaestio ob Christi nomen haberetur, ceteri quidem dei famuli reportata victoria coeleste praemium consecuti sunt, martyrio pro Christo perfuncti. At ille Christum negans, et a scopo veritatis excidens, transgressor est factus. Qua ex re cum probro omnium appetitus pudorem sustinere non posset, relicta patria profugus Romam contendit, et illic habitavit. Sed et Romae a quodam agnitus in eandem ignominiam incidit, cum qui illum ob insignem eruditionem noverant, ob id eum incusarent, quod homo excellenti doctrina praeditus a veritate excidisset. Quare ad sui excusationem vanum dogma commentus est, atque ita iactare coepit. Ego, inquit, non deum negavi, sed hominem. Interrogatus quem demum hominem, Christum, inquit, hominem negavi. Hinc praedicandae falsae huius opiuionis occasio-

2. ἐν ὁποίῳ διωγμῷ *rescribendum esse videbatur Petavio, non advertenti, suspicor, illud* τῷ *pro* τίνι *esse positum.*

3. ἐγκαλεῖσθαι *rescripsi cum Petavio pro* ἐκκαλεῖσθαι, *quod vulgo extat.*

4. *Vulgo* πῶς. *Quod ferri potest.*

τισε δόγμα, καὶ οἱ ἀπ' αὐτοῦ συσταθέντες Θεοδοτιανοὶ, ψιλὸν ἄνθρωπον φάσκοντες εἶναι τὸν Χριστὸν, καὶ ἐκ σπέρματος ἀνδρὸς γεγενῆσθαι. Εἶτα εἰς κακὴν ἑαυτοῦ ἀπολογίαν ὅσαπερ χρήσιμα εὗρεν, οὐχ ἁγνῶς οἰόμενος, ἀλλὰ προφάσει τῆς ἑαυτοῦ παρεκτροπῆς, ταῦτα ἑαυτῷ ἐπισωρεύων συνήγαγεν, ὅτι, φησὶν, Ὁ κύριος ἔφη, Νῦν δὲ ζητεῖτέ με ἀποκτεῖναι ἄνθρωπον, ὃς τὴν ἀλήθειαν ὑμῖν λελάληκα. Ὁρᾷς, φησὶν, ὅτι ἄνθρωπός ἐστιν.

Κεφ. β'. Ἀλλὰ οὐκ ἔγνω ὁ τάλας ὅτι ἐν ταὐτῷ ὁ Χριστὸς λέγει, Τὴν ἀλήθειαν, ἣν ἤκουσα παρὰ τοῦ πατρός μου. Πατέρα δὲ ἑαυτοῦ λέγει θεόν· οὐ γὰρ ἄνθρωπον. Εἰ γὰρ παρὰ ἀνθρώπου ἀκήκοεν, οὐκ ἐκαυχᾶτο τῇ μαρτυρίᾳ τῆς ἀληθείας, λέγων παρὰ ἀνθρώπων τὴν ἀλήθειαν ἀκηκοέναι· ἀλλ' ἵνα σημάνῃ θεὸν αὐτὸν ὄντα ἐκ πατρὸς ἄνωθεν γεγεννημένον, ἄνθρωπον δὲ δι' ἡμᾶς γενόμενον, καὶ σαρκὶ ἀποκτανθέντα, θεότητι δὲ ἀεὶ ζῶντα. Εἶτά φησι μηδὲ ἁμαρτίαν πεποιηκέναι ἀρνησάμενον τὸν Χριστὸν, αὐτοῦ, φησὶ, τοῦ Χριστοῦ εἰπόντος, Πᾶσα βλασφημία ἀφεθήσεται τοῖς ἀνθρώποις, καὶ ὁ λέγων λόγον εἰς τὸν υἱὸν τοῦ ἀνθρώπου ἀφεθήσεται αὐτῷ, τῷ δὲ βλασφημοῦντι εἰς τὸ ἅγιον πνεῦμα, οὐκ ἀφεθήσεται αὐτῷ. Καὶ ἀγνοεῖ ὁ ἐλεεινὸς ἄνθρωπος ὅτι βουλόμενος ὁ κύριος ἀσφαλίσασθαι τὴν σωτηρίαν τὴν τῶν ποτε αὐτὸν βλασφημησάντων καὶ ἐπανακαμπτόντων εἰς μετάνοιαν, ἵνα μὴ ὁρίσῃ αὐτοῖς καταδίκην, τὸν λόγον προθεσπίζει δι' ὑπερβολὴν πρᾳότητος καὶ φιλανθρωπίας, καὶ διὰ τὸ εἰδέναι αὐτὸν μέλλοντάς τινας ἐπανίστασθαι καὶ βλασφημεῖν τὸ ἅγιον πνεῦμα, καὶ ἐν τάξει δούλου αὐτὸ ὁρίζεσθαι, καὶ κτιστὸν καὶ ἀλλότριον τῆς τοῦ θεοῦ οὐσίας. Διὸ ἐπασφαλιζόμενός φησιν, Ὁ δὲ βλασφημῶν εἰς τὸ πνεῦμα τὸ ἅγιον, οὐκ ἀφεθήσεται αὐτῷ, οὔτε ἐνταῦθα, οὔτε ἐν τῷ μέλλοντι αἰῶνι, οὐκ ἐπαινῶν τοὺς βλασφημοῦντας αὐτὸν, ἀλλὰ τὴν αὐτοῦ πρόγνωσιν καὶ τὴν αὐτοῦ φιλανθρωπίαν δείκνυσι προασφαλιζομένην τὴν σωτηρίαν ἀπὸ βλασφημίας [1] αὐτοῦ μετανοούντων. Αὐτὸς γὰρ πάλιν φησὶν, Ὁ ἀρνησάμενός με ἔμπροσθεν τῶν ἀνθρώπων, ἀρνηθήσεται ἐνώπιον τοῦ πατρός μου· καὶ πάλιν, Ἀρνήσομαι αὐτόν· καὶ πάλιν, Ὁ ὁμολογῶν ἐν ἐμοὶ, ὁμολογήσω αὐτὸν ἐνώπιον τοῦ πατρός μου.

Pag. 464.

Κεφ. γ'. Καὶ πάλιν δὲ ὁ αὐτὸς Θεόδοτός φησι, Καὶ ὁ νόμος περὶ αὐτοῦ ἔφη, Προφήτην ἐκ τῶν ἀδελφῶν ὑμῶν ἐγερεῖ κύριος, ὡς ἐμέ· αὐτοῦ ἀκούσετε. Μωϋσῆς δὲ ἦν ἄνθρωπος· ὁ δὲ ἐκ θεοῦ ἐγειρόμενος, φησὶ, Χριστὸς οὗτος οὐκ ἦν θεὸς, ἀλλὰ ἄνθρωπος, ἐπειδὴ ἐξ αὐτῶν ἦν,

Cap. II. — 1. αὐτοῦ *ego rescripsi. Petavius conjiciebat* τῶν. *Libri habent*

nem accepit, ut et Theodotiàni, quorum ille auctor extitit. Qui nudum hominem esse Christum afferunt, atque ex humano semine genitum. Deinde quae ad erroris sui patrocinium accommodata reperit, non casto ac sincero mentis iudicio, sed ut impietatis suae speciem aliquam et colorem quaereret, undique arcessita collegit. Veluti quod a domino dictum est: *Nunc autem quaeritis me interficere, hominem, qui veritatem vobis locutus sum.* Vides, inquit, hominem illum esse. Ioann. 8, 40.

Verum quod in eodem loco Christus usurpavit, infelix ignorat: *Veritatem quam audivi a patre meo.* Quibus patrem suum appellat deum, non hominem utique. Nam si ab homine illud audiisset, nequaquam veritatis testimonio gloriaretur, ut ab hominibus veritatem se accipere diceret. Sed ideo ista dixit, ut esse se deum ostenderet a patre initio genitum, hominemque nostra caussa factum, itaque, quod ad carnem attinet, interfectum, ut divinitate perpetuo viveret. Addebat nullum se in eo peccatum admisisse, quod Christum negasset, quandoquidem ita Christus ipse locutus est, *Omnes blasphemia remittetur hominibus, et qui dixerit verbum in filium hominis, remittetur ei. Qui autem blasphemaverit in spiritum sanctum, non remittetur ei.* Sed nimirum miserrimus homo non intelligit Christum dominum, cum eorum qui in se olim contumeliosi fuerant et ad poenitentiam sese traduxerant, confirmare salutem cuperet, ne ullam adversus eos poenam constitueret, pro sua incredibili humanitate ac clementia oraculum illud edidisse. Quod autem nonnullos fore cognosceret qui in spiritum sanctum insurgerent ac blasphemiis appeterent, quique et ad servilem conditionem redigerent, et creatum atque a dei natura alienum esse dicerent, quo hunc errorem excluderet, adiecit: *Qui autem blasphemaverit in spiritum sanctum, non remittetur ei, neque hic, neque in futuro seculo.* In quo non eos qui se blasphemarent laudare voluit, sed praescientiam suam humanitatemque monstravit, quae eorum qui post blasphemiam poenitentiam suscepissent, stabiliendae saluti consuleret. Etenim idem alio loco dixit, *Qui negaverit me coram hominibus, negabitur coram patre meo:* item, *Negabo illum.* Contra, *Qui me confessus fuerit, confitebor ipsum coram patre meo.* Cap. II. Matth. 12, 31. Luc. 12, 9. Matth. 10, 33.

Obiicit praeterea Theodotus: Lex ita de Christo narrat, *Prophetam e fratribus vestris suscitabit dominus tanquam me: ipsum audietis.* Atqui Moses homo erat. Quare qui a deo suscitatus est, Christus iste, non deus erat, sed homo; quandoquidem a Iudaeis ipsis oriundus erat, Cap. III. Deut. 18, 15.

αὐτούς. *Recte Cornarius, vertens:* quae certos facit de salute eos qui a blasphemia eius poenitentiam agunt.

ὡς καὶ Μωϋσῆς ἄνθρωπος ἦν. Καὶ οὐκ οἶδεν ἐν ἑαυτῷ ὁ ἐν παραπτώματι γεγονὸς Θεόδοτος πῶς πάλιν ἑκάστη λέξις ἔχει τὴν ἑαυτῆς ἀσφάλειαν, ὅτι μὲν ἐξ ἀδελφῶν αὐτὸν ἤγειρε κύριος διὰ τὸ ἐκ Μαρίας
pag. 465. αὐτὸν γεγεννῆσθαι, ὡς λέγει, Ἰδού, ἡ παρθένος ἐν γαστρὶ ἕξει, καὶ τέξεται υἱόν· καὶ παρθένος μένουσα ἐν γαστρὶ ἕξει, οὐκ ἐκ σπέρματος ἀνδρός, καὶ τέξεται υἱόν, δῆλον ἐν σαρκὶ τὸ γέννημα ἀπὸ παρθένου γεννώμενον, ἀλλά, Καλέσουσι τὸ ὄνομα αὐτοῦ Ἐμμανουήλ, ὃ ἑρμηνεύεται, Θεὸς μεθ' ἡμῶν· ἔστι γὰρ θεὸς ἄνθρωπος, ἀπὸ πατρὸς μὲν γεννηθεὶς ἀνάρχως καὶ ἀχρόνως, ἄνθρωπος δὲ ἀπὸ Μαρίας, διὰ τὴν ἔνσαρκα παρουσίαν. Εἶτα, φησί, καὶ αὐτὸ τὸ εὐαγγέλιον ἔφη τῇ Μαρίᾳ, Πνεῦμα κυρίου ἐπελεύσεται ἐπὶ σέ, καὶ οὐκ εἶπε, Πνεῦμα κυρίου γενήσεται ἐν σοί. Διὸ ἐκ πανταχόθεν φιλονεικῶν ὁ ἀνόητος ἄνθρωπος ἐκπίπτει τῆς ἀληθείας. Ἀσφαλιζομένη γὰρ ἡ γραφὴ πανταχόθεν τὴν ἡμετέραν ζωήν, ἵνα τὴν τριάδα δείξῃ πάντῃ τε καὶ ἐν παντὶ εἴδει συνοῦσαν ἑαυτῇ καὶ συνεργοῦσαν, ἵνα μή τινες εἴπωσιν, ὡς καὶ πολλοὶ προφασίζονται ἑαυτοῖς κακά, ἀλλοτριοῦντες τὸ ἅγιον πνεῦμα τοῦ Χριστοῦ καὶ πατρός, τούτου ἕνεκεν ὁ ἄγγελος λέγει τῇ Μαριάμ, πνεῦμα ἅγιον ἐπελεύσεται ἐπὶ σέ, καὶ δύναμις ὑψίστου ἐπισκιάσει σοι· διὸ καὶ τὸ γεννώμενον ἐκ σοῦ ἅγιον κληθήσεται υἱὸς θεοῦ. Καὶ οὐκ εἶπε μόνον, Τὸ γεννώμενον, ἀλλά, Διὸ καὶ τὸ γεννώμενον. Ἵνα δείξῃ ἄνωθεν θεὸν λόγον καὶ ἐν μήτρᾳ γεννώμενον κατὰ τὴν ἑαυτοῦ ἐνανθρώπησιν, καὶ κατὰ τὴν ἑαυτοῦ εὐδοκίαν, καὶ δι' ἣν ᾠκονόμησεν ἑαυτοῦ ἐνανθρώπησιν εἰς ἡμῶν σωτηρίαν, προςτίθησι, Διὸ καὶ τὸ γεννώμενον ἅγιον κληθήσεται υἱὸς θεοῦ. Εἰ γὰρ εἶπε, Πνεῦμα ἅγιον εἰςελεύσεται εἰς σέ, οὐκέτι υἱὸν θεοῦ ἦν ἡγεῖσθαι ἐν σαρκὶ παραγεγονότα, ἀλλὰ πνεῦμα ἅγιον ἐν σαρκὶ παραγεγονέναι. Ὅτι δὲ ἄνωθέν ἐστιν ἐλθὼν ὁ λόγος, Ἰωάννης σαφηνίσας τὴν τοῦ ἀγγέλου εὐαγγελικὴν φωνὴν λέγει, Ἐν ἀρχῇ ἦν ὁ λόγος, καὶ ὁ λόγος ἦν πρὸς τὸν θεόν, καὶ θεὸς ἦν ὁ λόγος· πάντα δι' αὐτοῦ ἐγένετο, καὶ χωρὶς αὐτοῦ ἐγένετο οὐδὲ ἕν. Εἶτα μετὰ ταῦτα, Καὶ ὁ λόγος σὰρξ ἐγένετο, καὶ οὐκ εἶπε, Τὸ πνεῦμα σὰρξ ἐγένετο, οὐδὲ εἶπε, Χριστὸς ἄνθρωπος ἐγεννήθη. Πάντῃ γὰρ ἀσφαλιζομένη ἡ θεία γραφὴ θεὸν καὶ ἄνθρωπον αὐτὸν ἐπίσταται, θεὸν ἀπὸ θεοῦ ἄνωθεν ἥκοντα, ἄνθρωπον ἀπὸ
pag. 466. Μαρίας ἄνευ σπέρματος ἀνδρὸς γεγεννημένον. Τῶν δὲ δύο τούτων ἀληθινῶν ὁ ἐκτὸς βαίνων οὐχ ὑπάρχει τῆς ἀληθείας.

Κεφ. δ'. Προφασίζεται πάλιν ὁ τάλας Θεόδοτος, λέγων ὅτι καὶ ὁ Ἱερεμίας περὶ αὐτοῦ ἔφη ὅτι, Ἄνθρωπός ἐστι, καὶ τίς γνώσεται αὐτόν; Καὶ

quemadmodum et Moses homo fuit. Verum nescit impius ille desertor Theodotus quam egregie unaquaeque dictio sua cautione munita sit. Nam quod e fratribus illum dominus excitavit, eo referendum est quod e Maria sit genitus. Quo sensu illud accipiendum est: *Ecce virgo in utero habebit, et pariet filium. Virgo*, inquam, *manens, in utero* Isai. 7, 14.
habebit, non ex viri semine, filiumque pariet, fetum utique carne praeditum, et a virgine genitum. Ad haec, *Nomen eius vocabunt Emmanuel,* quod interpretatur, *Nobiscum deus*. Est enim homo deus a patre nullo neque principio neque tempore genitus, et ex Maria factus homo, quatenus carne praeditus advenit. Sed et illud opponit, quod in evangelio Mariae responsum legitur: *Spiritus domini* Luc. 1, 35.
super veniet in te. Non enim dixit, *Spiritus domini erit in te*. Hunc in modum stolidus homuncio ubique studio contentionis elatus veritate desciscit. Etenim scriptura sacra, quo vitam nostram undequaque firmaret, utque sacrosanctam triadem ubique et in omni actionum genere convenire secum ipsam ac communiter efficere declararet, ac ne qui fortasse iactare aliquid possent, quod a pluribus usurpatum est qui pravorum dogmatum occasiones sibi captarunt, et a Christo simul ac patre spiritum sanctum abalienarunt, propterea sic Mariam angelum allocutum esse scriptura commemorat: *Spiritus sanctus superveniet in te, et virtus altissimi obumbrabit tibi: ideoque et quod nascetur ex te sanctum, vocabitur filius dei*. Nec id solum dixit, *Quod nascetur,* sed, *Ideo et quod nascetur,* deum ut verbum a principio fuisse monstraret, et in matris utero genitum, cum naturam hominis sponte sua ac voluntate suscepit. Ut igitur salutis nostrae gratia totum illud naturae susceptae negotium administratum intelligeres, ista subiecit: *Ideoque et quod nascetur sanctum, vocabitur filius dei*. Quod si ita dixisset, *Spiritus sanctus ingredietur in te,* non iam dei filius carne praeditus, sed spiritus sanctus venisse crederetur. Quod autem e coelo verbum advenerit, Ioannes evangelicam illam usurpatam ab angelo vocem explicans ita testatur: *In* Ioann. 1, 1.
principio erat Verbum, et Verbum erat apud deum, et deus erat Verbum. Omnia per ipsum facta sunt, et sine ipso factum est nihil. Deinde paulo post: *Et Verbum caro factum est*. Non dixit, *Spiritus caro factus est:* ac ne illud quidem: *Christus homo genitus est.* Quippe scriptura, sacra omni ex parte munita stabilitaque eundem deum atque hominem agnoscit, deum quidem a deo coelitus profectum, hominem vero sine virili semine a Maria progenitum. Qui extra haec duo longe verissima graditur, a veritate est alienus.

Aliud insuper Theodotus opponit, quod de ipso Ieremias pro- Cap. IV.
nuntiavit, *Homo est, et quis cognoscet illum?* Nec intelligit, pro Ier. 17, 9.

οὐκ οἶδεν ὁ ἑαυτὸν τῆς ἀληθείας ἀποξενώσας ὅτι, ὡς ἔφην, ἑκάστη λέξις ἔχει τῆς ἑαυτῆς δυνάμεως τὴν ἑρμηνείαν. Ὁ γὰρ ἄνθρωπος ὢν πάντως ὑπὸ πολλῶν γινώσκεται τῶν αὐτὸν γινωσκόντων, φημὶ δὲ πατρὸς καὶ μητρὸς, ἀδελφῶν τε καὶ συγγενῶν, συσκήνων τε καὶ γειτόνων, πολιτῶν τε καὶ οἰκετῶν. Ἐνταῦθα δὲ ἡ γραφὴ τὸ θαυμαστὸν διηγουμένη τῆς ὅλης αὐτοῦ πραγματείας ἄνθρωπον μὲν ἔφη διὰ τὴν ἔνσαρκον παρουσίαν· τὸ, Τίς δὲ γνώσεται αὐτόν; ἐσήμανε περὶ τῆς αὐτοῦ θεότητος τῆς ἀκαταλήπτου. Ἐπειδὴ γὰρ οὐδεὶς οἶδε τὸν υἱὸν, εἰ μὴ ὁ πατὴρ, καὶ τὸν πατέρα οὐδεὶς οἶδεν, εἰ μὴ ὁ υἱὸς, καὶ ᾧ ἐὰν ἀποκαλύψῃ, οὐδεὶς οὖν γνώσεται αὐτὸν, ἐὰν μὴ αὐτῷ ἀποκαλύψῃ. Ἀποκαλύπτει δὲ δι' ἁγίου πνεύματος τοῖς αὐτοῦ δούλοις τὴν αὐτοῦ καὶ τὴν τοῦ αὐτοῦ πατρὸς θεότητα καὶ δόξαν, καὶ τὴν αὐτοῦ ζωὴν αἰώνιον τὴν μέλλουσαν, καὶ τὰ αὐτοῦ μυστήρια καὶ διδασκαλίαν, καὶ τὴν αὐτοῦ δι' ἡμᾶς ἔνσαρκον ἀληθῆ παρουσίαν, ὅτι θεὸς ἄνωθεν, καὶ ἄνθρωπος ἀπὸ Μαρίας.

Κεφ. ε'. Εἶτα ὁ αὐτὸς πάλιν φησὶ Θεόδοτος ὅτι καὶ Ἡσαΐας περὶ αὐτοῦ ἔφη ὅτι ἄνθρωπός ἐστιν, οὕτως εἰπὼν, Ἄνθρωπος εἰδὼς φέρειν μαλακίαν· καὶ εἴδομεν αὐτὸν ἐν πληγῇ, καὶ ἐν κακώσει, καὶ ἠτιμάσθη, καὶ οὐκ ἐλογίσθη. Ἀλλ' οὐκ οἶδε πῶς πάλιν ἐλέγχεται ὁ κτηνώδης. Ἐν αὐταῖς γὰρ ταῖς λέξεσιν Ἡσαΐας οὕτως εἶπεν, Ὡς πρόβατον ἐπὶ σφαγὴν ἤχθη, καὶ ὡς ἀμνὸς ἐναντίον τοῦ κείραντος αὐτὸν ἄφωνος, οὕτως οὐκ ἀνοίγει τὸ στόμα αὐτοῦ· ἐν τῇ ταπεινώσει αὐτοῦ ἡ κρίσις αὐτοῦ ἤρθη. Εἶτά φησι, Τὴν γενεὰν αὐτοῦ τίς διηγήσεται; ὅτι αἴρεται ἀπὸ τῆς γῆς τῶν ἀνθρώπων ἡ ζωὴ αὐτοῦ. Καὶ οὐκ εἶπεν, Αἴρεται ἡ ζωὴ αὐτοῦ, ἀλλὰ, Ἀπὸ ἀνθρώπων. Ἀεὶ γὰρ ὁ λόγος ζῶν ὑπάρχων, καὶ τὸ ζῆν ἐφ' ἑαυτοῦ ἔχων, καὶ ζωὴν τοῖς αὐτὸν ἀγαπῶσι διδούς· ἐξ ἀνθρώπων μὲν ἡ ζωὴ αὐτῷ ἤρθη, ἀφ' ἑαυτοῦ ζωὴ ὤν. Ζωὴ γὰρ ὁ λόγος, καὶ πᾶσι ζωὴν παρέχων τοῖς ἐπ' αὐτὸν ἐλπίσασιν ἐν ἀληθείᾳ. Καὶ τὸ, Τὴν γενεὰν αὐτοῦ τίς διηγήσεται; εἰ ἦν ἄνθρω-
pag. 467. πος ψιλὸς ἀπὸ Μαρίας γεγεννημένος, εὐδιήγητος ἄρα ἦν ἡ αὐτοῦ γέννησις. Ἐπειδὴ δὲ ἔστι πρὸ τοῦ Δαβὶδ, πρὸ τοῦ Ἀβραάμ· Ἀβραὰμ γὰρ ὁ πατὴρ ὑμῶν, φησὶν, ἐπεθύμησεν ἰδεῖν τὴν ἡμέραν μου, καὶ εἶδε, καὶ ἐχάρη, εἶτα αὐτῶν θαυμαζόντων καὶ λεγόντων, Πεντήκοντα ἔτη οὔπω ἔχεις, καὶ τὸν Ἀβραὰμ ἑώρακας; ἐλέγχων Θεόδοτον καὶ τοὺς ἀπίστους καὶ ἐπαρνησιθέους Ἰουδαίους ἔφη, Ἀμὴν, ἀμὴν, λέγω ὑμῖν, ὅτι πρὸ Ἀβραὰμ ἐγώ εἰμι. Ἦν γὰρ πρὸ Ἀβραὰμ ἀληθῶς, καὶ πρὸ Νῶε, καὶ πρὸ Ἀδὰμ, καὶ πρὸ τοῦ κόσμου, καὶ πρὸ τοῦ οὐρανοῦ, καὶ πρὸ τοῦ χρόνου [1] τοῦ κόσμου παντὸς καὶ κτισμάτων. Διὸ ἄχρονος ὢν καὶ ἄφραστος καταγγέλλεται ὑπὸ τοῦ ἁγίου πνεύματος διὰ

Cap. V. — 1. *Libri habent* τοῦ κόσμου, πρὸ παντὸς (προπαντὸς *cod. Rhe-*

eo atque a veritate remotus est, unamquamque dictionem notionis suae ac potestatis interpretationem habere coniunctam. Nam qui homo sit, plane a plerisque cognoscitur quibus haud ignotus esse potest, puta ab utroque parente, fratribus, cognatis, contubernalibus, vicinis, civibus ac servis. At illic scriptura totius ab illo suscepti negotii miraculum explicans hominem quidem propter assumptam carnem nominat: iisce porro verbis: *Quis cognoscet illum?* ad eius divinitatem, quae comprehendi nequit, declarandam uti voluit. Nam cum *Filium nemo norit nisi pater, neque patrem norit ullus, nisi filius, et is cui revelavit,* sequitur, ne ipsum quidem, nisi cui revelaverit, ab ullo posse cognosci. Ceterum patris ille sui ac suam adeo divinitatem et gloriam servis suis per spiritum sanctum revelat, necnon et futuram illam sempiternam vitam, reliquaque mysteria ac doctrinam, atque inter cetera veram illam suam incarnationem, ac quemadmodum deus e coelo, homo ex Maria prodierit. Matth. 11, 27. et Luc. 10, 22.

Pergit idem ille Theodotus, et ab Isaia hominem illum esse affirmari docet, his verbis: *Homo sciens tolerare infirmitatem: et vidimus eum percussum et male habitum: et ignominia affectus est, nec reputatus.* Verum quomodo iterum redargui possit pecus ista non videt. Quippe Isaias eodem in loco ita loquitur: *Tanquam ovis ad occisionem ductus est, et ut agnus coram tondente se mutus, sic non aperit os suum. In humilitate ipsius iudicium eius sublatum est.* Subiicit deinde: *Generationem eius quis enarrabit? quoniam tollitur de terra hominum vita eius.* Non dixit, *Tollitur vita eius,* sed, *Ex hominibus,* adiecit. Cum enim Verbum perpetuo vivat, atque in sese vitam habeat, eamque iis qui sese ament impertiat, ex hominibus est illius quidem vita sublata, ipse tamen nihilominus est vita per sese. Verbum enim vita est, omnibusque qui vere in se sperant vitam largitur. Quod autem scriptum est: *Generationem eius quis enarrabit:* si homo nudus esset a Maria genitus, illius utique generatio enarratu facilis esset. Sed quoniam ante Davidem est et Abrahamum: *Abraham enim pater vester,* inquit, *concupivit videre diem meum. Vidit, et gavisus est:* ad haec mirantibus illis et dicentibus, *Quinquaginta annos nondum habes, et Abraham vidisti?* ad Theodotum una cum incredulis deumque negantibus Iudaeis refellendum, ita respondit: *Amen amen dico vobis, quoniam ante Abraham ego sum.* Vere siquidem ante Abrahamum extitit. Imo ante Noëmum et Adamum, ante mundum ipsum ac coelum, ante mundi tempus, ante universum, ac quicquid est omnino creatum. Quocirca temporis expers Cap. V Isai. 53, 3. Ibid. 7. Ioann. 8, 56.

dig.) καὶ κτισμάτων. *Petavius correxit:* πρὸ κόσμου παντὸς καὶ κτ. *Male. Cornarius vertit:* et ante tempus mundi, et ante universa, et ante creaturas.

Ἡσαΐου ὅτι, Τὴν γενεὰν αὐτοῦ τίς διηγήσεται; ὅτι αἴρεται ἐκ τῆς γῆς ἡ ζωὴ αὐτοῦ. Ἀλλὰ, φησὶν, εἶπον οἱ ἀπόστολοι, Ἄνδρα ἀποδεδειγμένον εἰς ὑμᾶς σημείοις καὶ τέρασι, καὶ οὐκ εἶπον, Θεὸν ἀποδεδειγμένον. Ἐλέγχῃ δὲ πάλιν, Θεόδοτε, ὅτι πάλιν οἱ [2] αὐτοὶ ἀπόστολοι ἐν αὐταῖς Πράξεσιν ἔφησαν, ὡς ὁ μακάριος Στέφανός φησιν, Ἰδοὺ, ὁρῶ τὸν οὐρανὸν ἀνεῳγμένον, καὶ τὸν υἱὸν τοῦ ἀνθρώπου ἑστῶτα ἐν δεξιᾷ τοῦ θεοῦ.

Κεφ. ϛʹ. Πάλιν δὲ προφασίζεται λέγων ὅτι, Ἔφη περὶ αὐτοῦ ὁ ἀπόστολος ὅτι, Μεσίτης θεοῦ καὶ ἀνθρώπων Χριστὸς Ἰησοῦς· καὶ οὐκ οἶδε πάλιν πῶς καθ᾽ ἑαυτοῦ ἐπεγείρει. Ὁ γὰρ εἰπὼν, Μεσίτης θεοῦ καὶ ἀνθρώπων Χριστὸς Ἰησοῦς, αὐτὸς ἐσαφήνισε λέγων, Προορισθέντος υἱοῦ θεοῦ ἐν δυνάμει, κατὰ πνεῦμα ἁγιωσύνης, ἐξ ἀναστάσεως νεκρῶν Ἰησοῦ Χριστοῦ τοῦ κυρίου ἡμῶν· καὶ πάλιν, Γενόμενος ὑπὸ νόμον. Τούτων δὲ ποιούμενος τῶν λέξεων τὴν ἀσφάλειάν φησιν, Εἴπερ εἰσὶ λεγόμενοι θεοὶ πολλοὶ, καὶ κύριοι πολλοὶ, ἡμῖν δὲ εἷς θεὸς, ἐξ οὗ τὰ πάντα, καὶ εἷς κύριος Ἰησοῦς Χριστὸς, δι᾽ οὗ τὰ πάντα. Εἰ δὲ δι᾽ οὗ τὰ πάντα, καὶ ἡμεῖς εἰς αὐτὸν, οὐκ ἄρα ψιλὸς ἄνθρωπος εἴη ὁ μονογενὴς ἀπὸ Μαρίας καὶ δεῦρο, οὔτε ἀπὸ σπέρματος ἀνδρός. Ἐπεὶ πῶς δι᾽ αὐτοῦ τὰ πάντα ἠδύνατο εἶναι, πρὸ αὐτοῦ γενόμενα κατὰ τὸν σου λόγον, εἰ ψιλὸς ἦν ἄνθρωπος; ἢ πῶς εἴη δι᾽ αὐτοῦ τὰ πάντα πρὸ αὐτοῦ ἐπιγνωσθέντα καὶ γενόμενα; Καὶ ἐκ πανταχόθεν ἐξέπεσε τούτου ἡ ληρῳδία.

pag. 468. Ἐν αὐτῷ δὲ τῷ διαλόγῳ ἅμα τήν τε περὶ αὐτοῦ γνῶσιν εἰπόντες καὶ τὴν ἀνατροπὴν καθ᾽ ἑκάστην λέξιν, ὑπερβησόμεθα, κατὰ τὸ ἔθος τῆς ἀκολουθίας, ὥσπερ τι μέρος ἑρπετοῦ ἔτι σκαρίζοντος, τῇ τῆς ἀληθείας ἐλπίδι καὶ πίστει πεπαικότες, καὶ ἀνελόντες τὰς ἑξῆς διασκοπήσωμεν, καὶ περιβλέπεσθαι τὰς θηριωδεστάτας αἱρέσεις σπεύσωμεν.

ΚΑΤΑ ΜΕΛΧΙΣΕΔΕΚΙΑΝΩΝ,

λεʹ, ἡ καὶ νεʹ.

Κεφ. αʹ. Μελχισεδεκιανοὺς πάλιν ἕτεροι ἑαυτοὺς καλοῦσιν, ἀποσπασθέντες τάχα ἀπὸ τῶν Θεοδοτιανῶν καλουμένων. Οὗτοι τὸν Μελχισεδὲκ τὸν ἐν ταῖς γραφαῖς λεγόμενον δοξάζουσι, μεγάλην τινὰ δύναμιν [1] ἡγούμενοι, εἶναι δὲ αὐτὸν ἄνω ἐν ἀκατονομάστοις τόποις, [2] καθὼς εἶναι

2. αὐτοὶ *emendavit Petavius.* αὐτοῦ *habent libri tam scripti quam editi.*

CAP. I. — 1. ἡγούμενοι *omissum est in edit. Petav.*

et inexplicabilis a spiritu sancto per Isaiam praedicatur: *Generationem*, inquit, *eius quis enarrabit? Quoniam tollitur e terra vita eius.* Atenim, inquit, si de illo apostoli locuti sunt: *Virum probatum in* Act. 2, 22. *vos signis et prodigiis,* nec deum probatum dixerunt. Sed hoc ipsum te rursus, Theodote, iugulat, quod in iisdem Actis apostoli dixerunt, ac beatus praecipue Stephanus usurpat: *Ecce video coelum* Act. 7, 55. *apertum, et filium hominis stantem a dextris dei.*

Rursum instat haereticus et obiicit: Apostolus, ait, ita de Cap. VI. Christo loquitur, *Mediator dei et hominum Christus Iesus.* Sed ni- 1. Tim. 2, 5. mirum ignorat quemadmodum istud ipsum contra se producat. Qui enim hoc dixit: *Mediator dei et hominum Christus Iesus,* ille ipse Rom. 1, 4. declaravit his verbis: *Qui praedestinatus est filius dei in virtute, se-* Gal. 4, 4. *cundum spiritum sanctificationis, ex resurrectione mortuorum Iesu Christi domini nostri:* item: *Factus sub lege.* Quae quidem verba uti firmius stabiliusque muniret, ita scripsit: *Si sunt qui dicuntur* 1. Cor. 8, 5. *dii multi, et domini multi, nobis vero unus, ex quo omnia, et unus dominus Iesus Christus, per quem omnia.* Igitur si Christus est per quem omnia, et nos ad ipsum referimur, nudus profecto non est homo censendus unigenitus ille de Maria natus, atque in hac terra editus, neque ex virili semine susceptus. Nam quomodo fieri per illum omnia potuere, quae ipso priora sunt, si, ut asseris, homo ille nudus extiterit? Quinam porro per ipsum omnia esse potuerint, quae ante ipsum cognita ac producta fuissent? Ex his igitur aniles istius nugae penitus evanescunt.

Iam vero cum ea quae ad Theodoti haeresin cognoscendam ac singillatim evertendam pertinere videbantur hac in dissertatione proposuerimus, ad ea quae deinceps sequuntur more nostro transibimus, postquam velut serpentis cuiusdam partem adhuc palpitantem veritatis spe ac fide, velut fuste, percussimus atque extinximus. Proinde ad sequentes haereses belluarum in modum efferatissimas contemplandas tractandasque properemus.

CONTRA MELCHISEDECIANOS, haeresis XXXV., vel LV.

Qui Melchisedecianos appellari sese volunt, ac, nisi fallor, a Cap. I. Theodotianis avulsi sunt, Melchisedecum illum, de quo in scripturis mentio fit, cumprimis celebrant, et praeclaram quandam esse virtutem arbitrantur. Quem etiam in supremis atque inexplicabilibus

2. *καθὼς rescripsi pro καὶ ὡς, quod vulgo legitur.*

τοῦτον οὐ μόνον δύναμίν τινα, ἀλλὰ καὶ μειζότερον τοῦ Χριστοῦ φάσκουσι. Χριστὸν δὲ ἡγοῦνται ἁπλῶς ἐληλυθότα καὶ καταξιωθέντα τῆς ἐκείνου τάξεως, δῆθεν ἐκ τοῦ ῥητοῦ τοῦ εἰρημένου, Σὺ εἶ ἱερεὺς εἰς τὸν αἰῶνα κατὰ τὴν τάξιν Μελχισεδέκ· ὡς εἶναι, φησὶν, αὐτὸν ἔτι ὑποδεέστερον τοῦ Μελχισεδέκ. Εἰ μὴ γὰρ ἦν ἐν δευτέρᾳ τινὶ ἀγωγῇ κείμενος, οὐκ ἂν τῆς ἐκείνου τάξεως ἐπεδέετο. Περὶ αὐτοῦ δὲ τοῦ Μελχισεδὲκ φασιν ὅτι ἀμήτωρ, ἀπάτωρ, ἀγενεαλόγητος, ἐκ τῆς πρὸς Ἑβραίους τοῦ Παύλου ἐπιστολῆς παριστᾶν βουλόμενοι. Πλάττουσι δὲ ἑαυτοῖς καὶ βίβλους ἐπιπλάστους, ἑαυτοὺς ἀπατῶντες. Ἐξ αὐτῶν δὲ τῶν ῥητῶν ἡ αὐτῶν ἀνατροπὴ γίνεται. Ὡς γὰρ λέγει περὶ τοῦ κυρίου ὁ Δαβὶδ προφητεύων κατὰ τὴν τάξιν Μελχισεδὲκ ἱερέα αὐτὸν καθίστασθαι, ἐν ταὐτῷ ἔσεσθαι τὸν Χριστὸν ἱερέα διηγεῖται ἡ θεία γραφή. Εὑρίσκεται δὲ εὐθὺς [3] λέγων, Ἀφομοιούμενος τῷ υἱῷ τοῦ θεοῦ μένει ἱερεὺς εἰς τὸ διηνεκές. Εἰ δὲ ἀφομοιοῦται τῷ υἱῷ τοῦ θεοῦ, οὐκ ἴσος τυγχάνει τῷ υἱῷ τοῦ θεοῦ. Πῶς γὰρ δύναται τὸ δοῦλον εἶναι ἴσον τῷ δεσπότῃ; Ὁ μὲν γὰρ Μελχισεδὲκ ἄνθρωπος ἦν· τὸ δὲ ἀπάτωρ, ἀμήτωρ, οὐ διὰ τὸ μὴ ἔχειν αὐτὸν πατέρα ἢ μητέρα, ἀλλὰ διὰ τὸ μὴ ἐν τῇ θείᾳ γραφῇ κατὰ τὸ φανερώτατον ἐπωνομάσθαι. Πολ-
pag. 469. λοὺς γὰρ ἐφαντασίασε τὰ βαθύτατα τῆς θείας γραφῆς καὶ ἔνδοξα, καὶ ὑπεραίροντα διάνοιαν ἀνθρωπίνης φύσεως. Οἱ μὲν γὰρ ἐν τῇ Ἀραβίᾳ τῇ Πετραίων [4] Ῥωκὼμ τε καὶ Ἐδὼμ καλουμένῃ, τὸν Μωϋσέα διὰ τα θεοσήμεια θεὸν νομίζουσι, προςκυνοῦσί τε τὴν αὐτοῦ εἰκόνα, ἣν ἀνατυπωσάμενοι ἀπεπλανήθησαν, οὐ τοῦ δικαίου αὐτοῖς αἰτίου γενομένου, ἀλλὰ τῆς πλάνης αὐτοῖς διὰ τοῦ δικαίου ἐν τῇ ἀγνοίᾳ φαντασίαν πράγματος αὐτοῖς συναγούσης· ἐν δὲ τῇ Σεβαστῇ τῇ ποτε Σαμαρείᾳ καλουμένῃ τὴν θυγατέρα Ἰεφθάε θεοποιήσαντες ἔτι [5] ταύτην τελετὴν κατ' ἔτος ἄγουσιν. Οὕτως καὶ οὗτοι ἀκούοντες τὰ σοφὰ καὶ ἔνδοξα τῆς γραφῆς ῥήματα εἰς ἀνοησίαν ἐξέτρεψαν, καὶ εἰς ὑπέρογκον διάνοιαν ἀρθέντες τὴν ὁδὸν τῆς ἀληθείας κατέλιπον, καὶ μύθους ἑαυτοῖς πλασάμενοι κατὰ πάντα ἐλεγχθήσονται.

Κεφ. β'. Καὶ γὰρ παρά τισι τοῦ Μελχισεδὲκ ὁ πατήρ τε καὶ ἡ μήτηρ ἐμφέρεται· οὐκ ἔχει δὲ κατὰ τὰς ῥητὰς γραφὰς καὶ ἐνδιαθέτους. Εἶπον δέ τινες Ἡρακλὰν καλεῖσθαι αὐτοῦ πατέρα, μητέρα δὲ Ἀσταρὼθ, τὴν καὶ Ἀστερίαν. Ἦν δὲ οὗτος υἱὸς τῶν ἐπιχωρίων, κατ' ἐκεῖνο καιροῦ ἐν τῇ τῆς Σαβῆς πεδιάδι κατοικούντων. Σαλὴμ δὲ ἡ πόλις ἐκαλεῖτο· περὶ ἧς ἄλλος ἄλλως ἐξέδωκε, καὶ ἄλλος ἄλλως. Οἱ μὲν γὰρ λέγουσιν

3. *Intellige* ὁ ἀπόστολος. *Sed corrigendum, ni fallor,* λέγουσα.

4. *H. e.* Ῥεκέμ.

5. *Fortasse* ταύτῃ.

locis constituunt. Neque solum virtutem illum esse quandam asserunt, sed ipso etiam Christo maiorem esse dictitant. Christum vero simpliciter advenisse, atque illius ordine dignatum esse narrant, ex illo videlicet Davidis dicto: *Tu es sacerdos in aeternum secundum ordinem Melchisedech.* Ps. 109, 4. Qua re Melchisedeco dignitate sit inferior. Nisi enim secundum ab eo existimationis locum haberet, nequaquam ordine illius indigeret. Iam de eodem illo Melchisedeco ferunt, sine matre illum, ac patre, et genealogia fuisse, idque ex Pauli ad Hebraeos epistola affirmare conantur. Hebr. 7, 1. Praeterea commentitios quosdam libros ac confictos habent, quibus sibimetipsis illudunt. Verum ex ipsis scripturae verbis facile est istorum errorem convincere. Quod enim de domino a Davide pronuntiatum est, cum sacerdotem illum secundum ordinem Melchisedech fore praedixit, una et Christi sacerdotium iisdem est illis literis consignatum. Ac statim illud a divo Paulo subiectum legitur: *Assimilatus filio dei manet sacerdos in perpetuum.* Hebr. 7, 3. Iam vero si dei filio Melchisedec assimilatur, aequalis eidem esse non potest. Quomodo enim servus domino esse possit aequalis? Nam Melchisedec homo utique fuit. Patris vero ac matris expers dicitur, non quod ambobus illis caruerit, sed quod nulla sit illorum in divinis literis expressa mentio. Sane quam plurimos scripturarum profunda illustriaque quaeque humanae naturae mentem omnem ac cogitationem superant, in errorem adduxerunt. Siquidem Arabiae Petraeae incolae, quae regio Rochom et Edom appellatur, Moysem propter edita ab illo prodigia pro deo venerantur, et eius imaginem adorant, qua effícta in errorem delapsi sunt. Cuius quidem caussam non vir ille iustus sustinet, sed horum dementia potius, quae illius occasione veri opinionem numinis per ignorantiam excitavit. Sebaste vero, quae olim Samaria dicebatur, Iephtae filiam divinis honoribus consecrarunt, in cuius memoriam solenne quotannis festum celebrant. Sic haeretici isti, cum sapientiae ac dignitatis plenas scripturae voces audiissent, ad vecordiam traducti sunt, ac mente insolentius elati veritatis viam dereliquerunt, adeoque nihil illos sibi praeter fabulas finxisse planissime convincemus.

Cap. II. Enimvero nonnulli utriusque Melchisedecis parentum nomina commemorarunt, sed ea nusquam expressis scripturae verbis et in utroque testamento declarantur. Sunt qui Heraclam patrem illius appellatum, matrem vero Astaroth, sive Asteriam, dicant. Porro filius ille cuiusdam ex indigenis temporis illius fuit, qui tum in Sabae planitie degebant. Urbem ipsam Salem nominabant, de qua aliter est ab aliis traditum. Ac nonnulli eam esse censent, quae

αὐτὴν τὴν νῦν Ἱερουσαλὴμ καλουμένην, ποτὲ δὲ Ἰεβοὺς λεγομένην, ἄλλοι δὲ ἔφασαν ἄλλην τινὰ Σαλὴμ εἶναι ἐν τῷ πεδίῳ Σικίμων, κατ' ἀντικρὺς τῆς νυνὶ Νεαπόλεως καλουμένης. Εἴτε οὖν ἐντεῦθεν, ἢ καὶ ἐκεῖθεν (οὐ μακρὰν ἀλλήλων διεστήκασιν οἱ τόποι), [1] ὅμως ἡ ὑπόθεσις δηλοῖ τὸ ἔργον. Ἐξήνεγκε γάρ, φησί, τῷ Ἀβραὰμ ἄρτους καὶ οἶνον, καὶ ἦν ἱερεὺς τοῦ ὑψίστου κατ' ἐκεῖνον τὸν χρόνον, ὃς ηὐλόγησε τὸν Ἀβραάμ, καὶ δεκάτην ἔλαβε παρ' αὐτοῦ. Ἔδει γὰρ τὸν ἱερέα τοῦ ὑψίστου παρὰ δούλου θεοῦ τιμηθῆναι, καὶ πρῶτον μὲν τὸν Ἀβραὰμ προςενέγκαι τῷ ἐν ἀκροβυστίᾳ ἱερεῖ ἱερουργοῦντι, καὶ ἐπειδὴ ἐξ αὐτοῦ ἤμελλεν ἐκ περιτομῆς γίνεσθαι ἡ ἱερωσύνη, ἵνα πᾶν ὕψωμα ἐπαιρόμενον κατὰ τῆς γνώσεως τοῦ θεοῦ διὰ τῆς γνώσεως καθαιροῖτο, πρὸς τὸ μὴ αὐχοῦσαν τὴν περιτομὴν περὶ ἱερωσύνης δύνασθαι ἀντιλέγειν τῇ τῆς ἁγίας ἐκκλησίας ἱερωσύνῃ. Εἰ γὰρ Ἀβραὰμ τῷ Μελχι-
pag. 470. σεδὲκ προςήνεγκε δεκάτην, οἱ δὲ ἀπὸ Ἀβραὰμ τῷ Λευὶ προςφέρουσι καὶ τῷ Ἀαρών, μετὰ χρόνον δὲ τοῦ πάλιν εἶναι τὴν ἱερωσύνην ἐκ περιτομῆς διὰ Ἀαρών, καὶ τῶν υἱῶν αὐτοῦ καθεξῆς, φάσκει ἡ γραφὴ διὰ τοῦ Δαβίδ, μετὰ γενεὰς δεκαδύο τῆς τοῦ Λευὶ γεννήσεως, ἑβδόμης δὲ ἀπὸ τῆς Ἀαρὼν διαδοχῆς, φύσει ἔδοξεν οὐκ ἐν τῇ παλαιᾷ ἱερωσύνῃ τὸ ἱερατικὸν ἵστασθαι, μετατιθεμένης [2] δὴ εἰς τὴν πρὸ τοῦ Λευὶ καὶ πρὸ Ἀαρὼν κατὰ τὴν τάξιν Μελχισεδὲκ τῆς ἱερωσύνης· ὅπερ νυνὶ ἐν τῇ ἐκκλησίᾳ πολιτεύεται, ἀπὸ Χριστοῦ καὶ δεῦρο μηκέτι τοῦ σπέρματος κατὰ διαδοχὴν ἐκλεγομένου, ἀλλὰ τοῦ κατὰ ἀρετὴν τύπου ζητουμένου.

Κεφ. γ'. Πρώτη γὰρ ἱερωσύνη ἐν ἀκροβυστίᾳ διὰ τοῦ Ἄβελ τελεῖται, ἀλλὰ καὶ καθ' ἑξῆς διὰ τοῦ Νῶε, [1] τρίτη δὲ διὰ τοῦ Μελχισεδέκ, [2] τοῦ οὐκ ἐν περιτομῇ, ἀλλὰ ἐν δικαιοσύνῃ μέν, τελειότητι καὶ ἀρετῇ, ἐν ἀκροβυστίᾳ δὲ σαρκὸς θεῷ ἱερατεύσαντος. Καὶ ὅτι μὲν ὁ Μελχισεδὲκ ἄνθρωπος ἦν, αὐτὸς [3] ὁ ἅγιος θεοῦ ἀπόστολος ἐν τῇ ἐπιστολῇ δηλώσει. Φάσκει δὲ οὕτως· Ὁ δὲ [4] μὴ γενεαλογούμενος ἐξ αὐτῶν δεδεκάτωκε τὸν πατριάρχην. Δῆλον [5] οὖν ὅτι [6] ἐξ αὐτῶν οὐ γενεαλογεῖται, [7] ἐξ ἄλλων δὲ γενεαλογεῖται. Πόσοι δὲ ἄλλοι οὐ γενεαλογοῦνται κατὰ τὸ φανερώτατον; Δανιήλ, Σεδράχ, Μισάκ, Ἀβδεναγώ, Ἠλίας ὁ Θεσβίτης· καὶ ἐν πάσαις ῥηταῖς βίβλοις οὐδαμοῦ ἐμφέρονται τούτων οἱ πατέρες τε καὶ μητέρες. Ἵνα δὲ μὴ κατὰ τοῦτο πλάνη τις γένηται, οὐδὲν λυπήσει ἃ καὶ ἐν παραδόσεσι κατειλήφαμεν λέγειν. Εὑρήκαμεν γὰρ τοῦ Δανιὴλ τὸν πατέρα Σαβαάν τινα καλούμενον· τοῦ δὲ Ἠλία

Cap. II. — 1. *Fortasse* ὁμῶς. 2. *Reposui* δὴ *pro* δὲ, *quod libri tuentur.*

2. *Verba* τοῦ οὐκ - - ἱερατεύσαντος *vulgo non exstant. Adieci ea ex cod. Veneto.*

Cap. III. — 1. τρίτον *cod. Venet.* 3. *Edidi haec verba secundum auctori-*

nunc Ierusalem, olim Iebus vocabatur. Alii Salem alteram in agro Sicimitico esse putant, quae Neapolim ex adverso respicit. Sed sive hinc, sive illinc venisse dicatur, non longe ambo haec loca a se invicem distant. Ac nihilominus quid ab eo gestum sit ipsa historiae expositio declarat. *Protulit* enim, inquit, *Abrahamo panes* Gen. 14, 18.
et vinum: Et erat sacerdos altissimi per illud tempus. Qui Abrahamo benedixit, et ab eo decumam accepit. Ita enim fieri decebat, ut a dei famulo altissimi sacerdos honoraretur, utque primus Abraamus praeputiato sacerdoti sacra celebranti munus offerret, quandoquidem futurum erat aliquando ut circumcisionis proprium sacerdotium originem ab illo ipso duceret, quo sublimitas omnis adversus dei cognitionem elata cognitione deprimeretur, ac ne circumcisio gloriosius sese iactitans de sacerdotio posset cum ecclesiae sanctae sacerdotio contendere. Cum enim Abrahamus Melchisedeco decumam obtulerit, illiusque posteri Levi et Aaroni deinceps offerrent, ac nihilominus postea, cum attributum circumcisioni sacerdotium adhuc penes Aaronem eiusque stirpem maneret, divina per Davidem scri- Ps. 109, 4.
ptura, duodecim ab origine Levi generationibus evolutis, ab Aaronis vero successione septem, oraculum illud ediderit, argumento illud fuit sacerdotii dignitatem in testamento vetere perpetuo non esse mansuram, sed in eum ordinem esse transferendum qui Levi et Aaronem antecessit. Quod ipsum a Christo ad hodiernum usque diem in ecclesia factum et administratum cernimus, ubi sacerdotalis generis non ex ipsa stirpe, sed ex virtutis forma ac ratione delectus instituitur.

Etenim primum in praeputio sacerdotium per Abelem perfectum Cap. III.
est, inde per Noëmum, ac tertio demum per Melchisedecum [, dei sacerdotem, non in circumcisione, sed quamquam in iustitia, in perfectione atque virtute, tamen in praeputio]. Quod autem Melchisedec homo fuerit, sanctus apostolus in eadem epistola declarat his verbis: *Cuius vero genealogia narratur ex illis, decimavit patriar-* Hebr. 7, 6.
cham. Apparet itaque generationem eius non illis adnumerari [, sed aliis]. Verum quam multi sunt quorum origines aperte non produntur, puta Daniel, Sidrac, Misac, Abdenago, Elias Thesbites, quorum qui parentes fuerint, nusquam in scripturis commemoratum legimus. Sed ne cuiquam erroris ex ea re occasio praebeatur, non gravabor ea hoc loco referre, quae nonnullorum traditione didicimus. Igitur Danielis patrem Sabaam fuisse quendam accepimus.

tatem cod. Venet. Vulgo extat ὁ ἅγιος ἀπόστολος ἐν τῇ Ἐπιστολῇ φάσκει οὕτως.

4. μὴ *desideratur in editis.*

5. οὖν ὅτι *desideratur in cod. Veneto.*

6. *Pro* ἐξ αὐτῶν οὐ *Petavius volebat* ἐξ ἑτέρων.

7. *Verba* ἐξ ἄλλων γενεαλογεῖται *vulgo non extant. Restitui ea ex auctoritate cod. Veneti.*

φύσει καὶ τὴν πατριαρχίαν ὡςαύτως εὕρομεν· ἥντινα καθ' εἱρμὸν ὑφηγήσομαι οὕτως. Ἠλίας ὁ Θεσβίτης ἀδελφὸς γέγονεν Ἰωδαὲ τοῦ ἱερέως, ἐξ ἱερέων δῆλον καὶ αὐτὸς ὑπάρχων, υἱὸς δὲ τοῦ Ἀχιμαάμ, Ἀχιμαὰμ δὲ υἱὸς τοῦ [8] *Σαδώκ, Σαδὼκ δὲ τοῦ Ἀχιτὼβ, τοῦ Ἀμωρία, Ἀμωρίας υἱὸς τοῦ* [9] *Μωρία, Μωρίας τοῦ Ζαρᾶ, τοῦ Ἀζία, Ἀζίας τοῦ Φινεὲς, Φινεὲς υἱὸς τοῦ Ἐλεάζαρ, Ἐλεάζαρ υἱὸς τοῦ Ἀαρὼν, τοῦ ἱερέως δηλονότι, Ἀαρὼν υἱὸς τοῦ Ἀμρὰμ, Ἀμρὰμ τοῦ Καὰθ, Καὰθ τοῦ Λευὶ, Λευὶ τρίτος υἱὸς τοῦ Ἰακὼβ, Ἰακὼβ δὲ ἀδελφὸς μὲν Ἡσαῦ, παῖς δὲ τοῦ Ἰσαὰκ, Ἰσαὰκ υἱὸς τοῦ Ἀβραάμ. Ἐν δὲ ταῖς* [10] *ῥηταῖς βίβλοις οὐ πάνυ σαφῶς αἱ τούτων γενεαλογίαι ἐμφέρονται, ἢ μόνον ἐν ταῖς Παραλειπομέναις τῆς κατὰ τὸν Ἠλίαν ὑποθέσεως μέρη. Φύσει δὲ τῶν*
pag. 471. *τριῶν παίδων Σεδρὰχ, Μισὰκ, Ἀβδεναγὼ οὔτε ἐν ἀποκρύφοις, οὔτε ἐν παραδόσεσιν εὕρομέν* [11] *τι. Τί οὖν ἐροῦμεν; Ἆρα κἀκεῖνοι, οἱ περὶ Σεδρὰχ λέγω, φαντασιάσουσιν ἡμᾶς λογίζεσθαι ἃ μὴ χρὴ, καὶ ὑπερόγκως θαυμάζειν ὑπὲρ τὸ μέτρον τὰ ἑκάστης ὑποθέσεως; Ἀλλὰ μὴ γένοιτο. Καὶ ὅροι γὰρ ἐτέθησαν ἡμῖν, καὶ θεμέλιοι, καὶ οἰκοδομὴ τῆς πίστεως, καὶ ἀποστόλων παραδόσεις, καὶ γραφαὶ ἅγιαι, καὶ διαδοχαὶ διδασκαλίας, καὶ ἐκ πανταχόθεν ἡ ἀλήθεια τοῦ θεοῦ ἠσφάλισται, καὶ μηδεὶς ἀπατάσθω καινοῖς μύθοις.*

Κεφ. δ'. *Ἐπανελεύσομαι δὲ πάλιν εἰς τὰ προκείμενα, ὡς οὗτοι φαντάζονται περὶ τοῦ Μελχισεδέκ.* [1] *Ὅτι μὲν γὰρ δίκαιος ὑπῆρχε, καὶ ἱερεὺς τοῦ θεοῦ, καὶ βασιλεὺς τῆς Σαλὴμ, ἀλλ' οὐκ ἐν οὐρανῷ ὑπάρχων καὶ ἀπ' οὐρανοῦ καταβεβηκώς. Οὐδεὶς γὰρ ἀναβέβηκεν εἰς τὸν οὐρανὸν, εἰ μὴ ὁ ἐκ τοῦ οὐρανοῦ καταβὰς, ὁ υἱὸς τοῦ ἀνθρώπου, φησὶν ὁ ἅγιος καὶ ἀψευδὴς θεὸς λόγος. Τὴν δὲ τάξιν τοῦ Μελχισεδὲκ κρατύνουσα ἡ θεία γραφὴ καὶ τὸ πνεῦμα ῥητῶς διδάσκον τὴν μετάθεσιν ἔδειξε τῆς ἱερωσύνης ἀπὸ τῆς παλαιᾶς συναγωγῆς καὶ τοῦ ἔθους εἰς ἔθος κάλλιστον καὶ ὑπέρτατον, καὶ οὐ μέτοχον σαρκικῆς διαδοχῆς* [2] *ἢ ἡνωμένον. Ὁ γὰρ Μελχισεδὲκ ὁ ἅγιος οὗτος οὐκέτι μετ' αὐτὸν διαδοχὴν ἔσχηκεν, ἀλλ' οὔτε ἀφαίρεσιν τῆς ἱερωσύνης. Ἔμεινε γὰρ αὐτὸς ἱερεὺς τὸν πάντα χρόνον τῆς αὐτοῦ ζωῆς, καὶ ἔτι ἐν τῇ γραφῇ ᾄδεται ἱερεὺς, μηδενὸς* [3] *αὐτῶν διαδεξαμένου, ἢ ἀνατρέψαντος τὴν κατὰ τὸν χρόνον αὐτοῦ ὑπηρεσίαν τῆς ἱερωσύνης. Οὕτω καὶ ὁ κύριος ἡμῶν οὐκ ὢν ἄνθρωπος, ἀλλὰ ἐκ θεοῦ ἅγιος θεὸς λόγος, υἱὸς θεοῦ γεννηθεὶς ἀνάρχως καὶ ἀχρόνως, ἀεὶ σὺν πατρὶ ὢν, γενόμενος δι' ἡμᾶς ἐκ Μαρίας ἄνθρωπος, καὶ οὐκ ἀπὸ σπέρματος ἀνδρός. Τὴν δὲ*

8. σαδοὺκ *edit. princ.*
9. Μορία *editi libri.*
10. ῥητοῖς *editi libri.*
11. τι *abest a libris.*
Cap. IV. — 1. „Deest verbum" *Petavius annotavit.*

Quod ad Eliam attinet, eiusmodi illius stemma ac prosapiam reperimus, quam ordine hunc in modum percenseo. Fuit Elias Thesbites Iodaae sacerdotis frater, proindeque ex sacerdotali stirpe, filius Achimaami, Achimaamus Sadoci, Sadocus Achitobi, hic Amoriae, Amorias Moriae, Morias Zazae, iste Aziae, Azias Phineesi, Phineesus Eleazari, hic Aaronis sacerdotis, Aaron Amrami, hic Caathi, Caathus Levi, qui tertius Iacobi filius fuit. At Iacobus Esau frater, Isaaci filius, Isaacus Abrahami. At vero in sacris literis non omnino perspicue istorum origines indicantur; nisi forte quod in libris Paralipomenon nonnulla quae ad Eliam pertinent comprehensa sunt. Quod autem ad tres pueros spectat Sidrach, Misach, et Abdenago, nihil de iis neque in apocryphis, neque in traditionibus invenimus. Quidnam ergo dicemus? An et illi tres pueri nos in eum errorem coniicient, ut quod nefas est de illis cogitemus, et unamquamque rem supra quam par est et impensius admiremur? Absit ut id unquam in animum inducamus. Nam et termini praescripti nobis sunt, et fundamenta posita, et fidei structura, et apostolorum traditiones, et sacrae literae, et coelestis doctrinae propagata successio, ac denique divina veritas ex omni parte munita est, et constituta. Proinde nemo se inanibus fabulis in errorem abduci patiatur.

Redeo iam ad id quod mihi proposueram, ea videlicet, quae de Melchisédeco ineptissime confingunt. Fuit enim iustus ille quidem ac dei sacerdos et rex Salem, sed neque in coelo fuit, nec e coelo descendit. *Nemo enim ascendit in coelum, nisi qui de coelo descendit, filius hominis*, ait sanctissimus verissimusque deus idem et verbum. Illum vero Melchisedecis ordinem cum scriptura sacra confirmat ac sanctus spiritus expressis verbis asserit, sacerdotii translationem ostendit, quod ab vetere synagoga rituque egregium ac praestantissimum in ritum, neque carnali successione devinctum, postea transiit. Etenim sanctus ille Melchisedec nullum neque post se successorem habuit, nec ei sacerdotium est abrogatum, sed sacerdos toto vitae suae tempore mansit. Quare adhuc in sacris literis eadem sacerdotii dignitate celebratur, cum nemo ei successerit, aut illam sacerdotii functionem, quam suo tempore nactus est, everterit. Eodem plane modo dominus noster non nudus homo, sed ex deo deus verbum deique filius, ab eodem nullo initio aut tempore genitus, qui est cum patre perpetuo, sed homo tamen de Maria nostra caussa factus est, nec ex virili semine procreatus. Qui quidem

Cap. IV.

Ioann. 3, 13.

2. ἢ *ut adiceretur sententia postulavit. Desideratur autem in libris omnibus.* 3. *Repono* αὐτόν.

ἱερωσύνην τῷ πατρὶ προςφέρει, ἐξ ἀνθρωπότητος τὸ φύραμα λαβὼν, ἵνα ὑπὲρ ἡμῶν ἱερεὺς καταστῇ κατὰ τὴν τάξιν Μελχισεδὲκ, τὴν μὴ ἔχουσαν διαδοχήν. Μένει γὰρ τὰ ὑπὲρ ἡμῶν εἰς τὸ διηνεκὲς δῶρα προςφέρων, πρῶτον μὲν ἑαυτὸν προςενέγκας, ἵνα λύσῃ θυσίαν παλαιᾶς διαθήκης, τὴν ἐντελεστέραν ζῶσαν ὑπὲρ παντὸς κόσμου ἱερουργήσας, αὐτὸς ἱερεῖον, αὐτὸς θύμα, αὐτὸς ἱερεὺς, αὐτὸς θυσιαστή-
pag. 472. ριον, αὐτὸς θεὸς, αὐτὸς ἄνθρωπος, αὐτὸς βασιλεὺς, αὐτὸς ἀρχιερεὺς, αὐτὸς πρόβατον, αὐτὸς ἀρνίον, τὰ πάντα ἐν πᾶσιν ὑπὲρ ἡμῶν γενόμενος, ἵνα ἡμῖν ζωὴ κατὰ πάντα τρόπον γένηται, καὶ τῆς ἱερωσύνης αὐτοῦ τὸ ἀμετάστατον ἑδραίωμα εἰς τοὺς αἰῶνας ἀπεργάσηται, οὐκέτι κατὰ σπέρμα τὰς διαδοχὰς μερίζων, ἀλλὰ κατὰ τὸ δικαίωμα φυλάττεσθαι ἐν πνεύματι ἁγίῳ δωρούμενος.

Κεφ. ε΄. Φαντάζουσι δὲ [1] ἄλλοι περὶ τούτου τοῦ Μελχισεδὲκ λέγοντες. Σαρκικῶς γὰρ οἱ τοιοῦτοι ἀνεκρίθησαν, πνευματικῶς μὴ νενοηκότες τὰ ὑπὸ τοῦ ἁγίου ἀποστόλου ἐν τῇ ἐπιστολῇ τῇ πρὸς Ἑβραίους εἰρημένα. Καὶ ὁ μὲν Ἱέραξ τοῦτον νομίζει Μελχισεδὲκ εἶναι τὸ πνεῦμα τὸ ἅγιον, διὰ τὸ ἀφομοιούμενον, φησὶ, τῷ υἱῷ τοῦ θεοῦ, μένει γὰρ ἱερεὺς εἰς τὸ διηνεκές· ὡς ἀπὸ τῆς λέξεως ἧς εἶπεν ὁ ἅγιος ἀπόστολος, Τὸ δὲ πνεῦμα ὑπερεντυγχάνει στεναγμοῖς ἀλαλήτοις. Ὁ δὲ ἐπιστάμενος τὸ φρόνημα τοῦ πνεύματος οἶδεν ὅτι ὑπὲρ ἐκλεκτῶν ἐντυγχάνει τῷ θεῷ. Ἐξέπεσε δὲ καὶ οὗτος παντελῶς τοῦ προκειμένου. Οὐ γὰρ σάρκα ἐνεδύσατο τὸ πνεῦμά ποτε, σάρκα δὲ μὴ ἐνδυσάμενον, οὐκ εἶχεν εἶναι βασιλεὺς τῆς Σαλὴμ, καὶ ἱερεὺς τόπου τινός. Καιρῷ δὲ ὅτε περὶ τούτου τοῦ Ἱέρακος καὶ τῆς αὐτοῦ αἱρέσεως τὴν ἀνατροπὴν ποιήσομαι, τότε ἐν πλάτει περὶ τούτων διηγήσομαι, τῆς δὲ ἀκολουθίας τὰ νῦν ἐπιλήψομαι. Πόσα δὲ περὶ τούτου τοῦ Μελχισεδὲκ ἄλλοι φαντάζονται;

Κεφ. ς΄. Σαμαρεῖται μὲν γὰρ τοῦτον νομίζουσιν εἶναι τὸν [1] υἱὸν τοῦ Νῶε Σήμ. Καταγέλαστοι δὲ καὶ αὐτοὶ εὑρεθήσονται. Ἀσφαλιζομένη γὰρ ἡ θεία γραφὴ πάντα μετὰ εὐταξίας κατὰ πάντα ἀλήθειαν ὠχύρωσεν, οὐκ εἰς μάτην τοὺς χρόνους τάξασα καὶ τὰ ἔτη. Ὅτε γὰρ Ἀβραὰμ ὑπῆρχεν ὀγδοηκονταοκτὼ ἐτῶν, ἢ καὶ ἐνενήκοντα, πλείω ἢ ἐλάσσω, ὁ Μελχισεδὲκ αὐτῷ ἀπήντα τότε καὶ [2] ἐξέβαλεν αὐτῷ ἄρτον καὶ οἶνον, προτυπῶν τῶν μυστηρίων τὰ αἰνίγματα ἀντίτυπα τοῦ κυρίου ἡμῶν, λέγοντος ὅτι, Ἐγώ εἰμι ὁ ἄρτος ὁ ζῶν, καὶ ἀντίτυπα τοῦ αἵματος τοῦ ἐκ τῆς πλευρᾶς αὐτοῦ νυχθέντος [3] καταρρεύσαντος εἰς κάθαρσιν τῶν κεκοινωμένων καὶ ῥαντισμὸν καὶ σωτηρίαν τῶν ἡμετέρων ψυχῶν. Ὁ

Cap. V. — 1. *Rescribendum videtur* ἄλλα.

Cap. VI. — 1. υἱὸν τοῦ Νῶε Σὴμ *scripsi Cornarium secutus, qui vertit:* Samaritae equidem hunc putant esse filium Noë ipsum Sem. *Desideratur*

sacerdotale patri suo munus offert, accepta ex natura hominum massa, ut pro nobis sacerdos secundum ordinem Melchisedec successione omni carentem constituatur. Manet enim, et assidue dona pro nobis offert. Inprimis quippe semetipsum obtulit, ut perfectiore vivaque pro totius mundi salute mactata hostia veteris testamenti sacrificium aboleret. In quo idem ipse victima fuit, ipse sacrificium, ipse sacerdos, ipse altare, ipse deus, ipse homo, ipse rex, ipse pontifex, ipse ovis, ipse agnus, adeoque omnia in omnibus propter nos est factus, ut modis omnibus nobis vita suppeteret ac sacerdotii sui constantem et immutabilem firmitatem in sempiternum statueret, ut non iam stirpis habita ratione successiones distribueret, sed ex iustificatione conservari propagarique in spiritu sancto singulari beneficio vellet.

Aliud praeterea nonnulli de eodem Melchisedeco somniant. Cap. V.
Eiusmodi enim homines carnaliter examinati sunt, cum spiritaliter 1.Cor. 2, 14.
ea quae ab apostolo in epistola ad Hebraeos dicta sunt nequaquam intellexerint. Quamobrem Hierax Melchisedecum spiritum esse sanctum existimat; quod ita de eo scriptum sit, *Assimilatus filio dei:* Hebr. 7, 3.
manet enim sacerdos in perpetuum. Quod et aliis apostoli verbis illustratur, cum dicit: *Spiritus vero pro nobis postulat gemitibus in-* Rom. 8, 26.
enarrabilibus. At qui spiritus sancti interiores sensus novit, non ignorat illum deo pro electis supplicare. Sed et iste nihilominus a proposito penitus aberravit. Non enim unquam spiritus sanctus carnem induit. Qua quidem si caruit, rex esse Salem, aut illius loci sacerdos non potuit. Verum opportuniori tempore, cum Hieracis illius haeresin refellam, de iis ipsis uberius disputabo. Nunc ut ordine cetera pertexam, quas de Melchisedeco alii fabulas serant, hoc loco proponam.

Igitur Samaritani Sem esse illum arbitrantur. In quo ridiculi Cap. VI.
plane sunt. Siquidem divina scriptura consentanee cuncta ac congrue stabiliens corroborandae in omnibus veritati studuit, neque frustra temporum annorumque seriem expressit. Cum itaque Abrahamus octuagesimum octavum, vel nonagesimum plus minus, aetatis annum ageret, ei Melchisedecus occurrit, ac panem ipsi vinumque Gen. 14, 18.
protulit. Quo facto mysteriorum significationes adumbravit, quae domini figuram exprimebant, qui dixit, *Ego sum panis vivus.* Sed Ioann. 6, 51.
et sanguinis illius figuram, qui e perforato ipsius latere ad eorum qui inquinati erant expiationem aspersionemque manavit. Iam vero

enim in libris vetustis vocabulum Νῶε. *Aliter placuit Petavio, qui verba* υἱὸν τοῦ *expungenda censebat.*

2. *Reposuerim* ἐξέφερεν *vel* ἐξήνεγκεν. *Sed etiam infra cap.* 9. *reperitur* ἐξέβαλεν.

3. καταρρεύσαντος *ego correxi. Libri habent* καὶ ῥεύσαντος.

δὲ τοῦ Ἀβραὰμ πατὴρ Θάρρα ἑβδομηκοστὸν κατάγων ἔτος τὸν Ἀβραὰμ
pag. 473. ἐγέννησε, καὶ γέγονεν ἔτη ρξ' πλείω ἢ ἐλάσσω. Ναχὼρ δὲ ἐγέννησε τὸν Θάρρα ἑβδομηκονταεννέα ἐτῶν ὑπάρχων, καὶ γέγονε σλθ' ἔτη. Σεροὺχ δὲ ἐγέννησε τὸν Ναχὼρ, ρλ' ἐτῶν ὑπάρχων, καὶ γεγόνασιν ἔτη τξθ'. Ῥαγαὺ δὲ ἐγέννησε τὸν Σεροὺχ, ὑπάρχων ρλβ' ἐτῶν, καὶ γέγονε πεντακοσιοστὸν πρῶτον ἔτος. Φαλὲκ δὲ ἐγέννησε τὸν Ῥαγαὺ, ὢν ἐτῶν ρλ', καὶ γέγονεν χλα' ἔτος. Ἔβερ δὲ γεννᾷ τὸν Φαλὲκ, ἐν ἔτει [4] ρλδ' τῆς αὐτοῦ ζωῆς, καὶ γεγόνασι ψξε' ἔτη. Σάλα δὲ γεννᾷ τὸν Ἔβερ, ρλ' ἔτος κατάγων τῆς αὐτοῦ ἡλικίας, καὶ γέγονεν ωςε' ἔτη. Ἀρφαξὰδ δὲ ρλε' ἐτῶν ὢν ἐγέννησε τὸν [5] Σαλὰ, καὶ γέγονε ͵αλ' ἔτη. Σὴμ δὲ ἑκατοστῷ ἔτει ὁ προειρημένος, ὁ καὶ φαντασιαζόμενος παρὰ τοῖς Σαμαρείταις εἶναι Μελχισεδὲκ, ἐγέννησε τὸν Ἀρφαξὰδ, καὶ ὁμοῦ γέγονεν ἔτη ͵αρλ', ἕως τοῦ χρόνου τοῦ Ἀβραὰμ καθ' ὃν συνήντησε τῷ Μελχισεδὲκ, ἐπανιὼν ἀπὸ τῆς κοπῆς τῶν περὶ Χοδολλογομὸρ καὶ Βάρσα καὶ Συμοβὸρ καὶ Ἀμαρφὰλ τῶν βασιλέων. Οὐκ ἔζησε δὲ Σὴμ τοσαῦτα ἔτη, κατὰ τὴν τούτων ληρώδη φαντασίαν, ἀλλὰ ρε' ἐτῶν ἐγέννησε τὸν Ἀρφαξὰδ, ἐν τῷ δευτέρῳ ἔτει μετὰ τὸν κατακλυσμόν. Καὶ ἔζησε μετὰ ταῦτα φ' ἔτη, ὥς φησιν ἡ θεία γραφὴ, καὶ ἐγέννησεν υἱοὺς καὶ θυγατέρας, καὶ ἀπέθανε. Τοίνυν αὐτοῦ ζήσαντος ἑξακόσια πέντε ἔτη, καὶ τελευτήσαντος, πῶς ἠδύνατο φθάσαι εἰς ͵αρλ' ἔτη, ἵνα ὁ Σὴμ ὁ υἱὸς τοῦ Νῶε πρὸ δέκα γενεῶν καλούμενος Μελχισεδὲκ παρὰ τούτοις μετέπειτα μετὰ δέκα γενεὰς καὶ ͵αρλ' ἔτη νομισθείη; Καὶ ὢ τῆς πολλῆς τῶν ἀνθρώπων πλάνης. Κατὰ δὲ ψῆφον ἄλλων ἀντιγράφων ἀπὸ τῆς τοῦ Σὴμ ἡλικίας, ἐξότε γεγέννηται ὁ αὐτὸς Σὴμ, ἕως τοῦ προδεδηλωμένου χρόνου τῆς τε τοῦ Ἀβραὰμ συναντήσεως [6] τῷ Μελχισεδὲκ, ἥτις ἦν ἐν ὀγδοηκοστῷ ἔτει τῆς ζωῆς αὐτοῦ ἢ ἐνενηκοστῷ, γίνεται χκη' ἔτη πλείω ἢ ἐλάσσω, ὥςτε ἐξάπαντος μὴ δύνασθαι εἰς τὸν προδεδηλωμένον τοῦ Ἀβραὰμ χρόνον τὸν Σὴμ φθάνειν, ἵνα καὶ Μελχισεδὲκ νομισθείη. Καὶ διέπεσε πανταχόθεν ἡ τῶν Σαμαρειτῶν χυδαιολογία.

Κεφ. ζ'. Ἰουδαῖοι πάλιν φάσκουσι τὸν τοιοῦτον δίκαιον μὲν εἶναι καὶ ἀγαθὸν, καὶ ἱερέα τοῦ ὑψίστου, ὡς ἔχει ἡ θεία γραφὴ, διὰ δὲ τὸν υἱὸν
pag. 474. εἶναι πόρνης, φασὶ, τὴν μητέρα αὐτοῦ μὴ γεγράφθαι, μηδὲ τὸν πατέρα αὐτοῦ γινώσκεσθαι. Ἐξέπεσε δὲ καὶ τούτων ὁ ληρώδης λόγος. Καὶ Ῥαὰβ πόρνη ὑπῆρχε καί ἐστι γεγραμμένη, καὶ [1] Ζαμβρὴ πορνεύσας γέγραπται καὶ [2] Χασβιθὴ μετ' αὐτοῦ, καίπερ ἀλλοτρία οὖσα, καὶ οὐκ ἀπὸ γένους Ἰσραὴλ ἀναγομένη. Καὶ πᾶς ὁ μὴ διὰ θύρας εἰςερχόμενος, ὡς ἔφη τὸ ἅγιον εὐαγγέλιον, λῃστὴς, καὶ οὐκ ὢν ποιμὴν ὑπάρχει. Ἐν δὲ τῇ ἐκκλησίᾳ φύσει τινὲς διαφόρως τοῦτον τὸν Μελχισεδὲκ ὁρίζονται. Οἱ μὲν γὰρ [3] αὐτὸν νομίζουσι φύσει τὸν υἱὸν τοῦ

4. *Libri vulgo corrupte* ρδ'.
5. Σαλὰχ *edit. princ.*
6. *Libri habent* τοῦ *pro* τῷ.
Cap. VII. — 1. *H. e.* Ζαμβρί.

Tharre septuagesimo aetatis anno Abrahamum genuit. Colliguntur anni fere centum sexaginta. Nagor vero Tharre genuit annum agens septuagesimum nonum. Ita fiunt anni CCXXXIX. Seruch Nachor genuit anno aetatis CXXX. Colliguntur anni CCCLXIX. Rhagau genuit Seruch anno vitae suae CXXXII. Consurgunt anni DI. Phalec Rhagau genuit anno aetalis CXXX. Fiunt anni DCXXXI. Heber porro genuit Phalec anno vitae suae CXXXIV. Fiunt anni DCCLXV. Sale genuit Heber, cum aetatis annum ageret CXXX. Efficiuntur anni DCCCXCV. Arphaxad anno CXXXV genuit Sale. Fiunt anni MXXX. Porro Sem, quem antea diximus a Samaritanis pro Melchisedeco haberi, genuit Arphaxad, aetatis anno centesimo. Summa annorum MCXXX ad Abrahami tempus quo Melchisedeco obviam venit reversus a caede Chodollogomor et Barsa et Symobor et Hamarphal regum. Verum tot annos, quot illorum somnia ferunt, Sem minime vixit, sed centesimo quinto Arphaxad genuit, altero post diluvium anno. Secundum quod, ut scriptura testatur, quingentos insuper vixit, *Genuitque filios et filias et mortuus est.* Qui igitur post sexcentos et quinque aetatis annos mortuus est, quomodo ad MCXXX usque pervenit, ut qui ante generationes decem Sem Noemi filius vocaretur, iis demum exactis, hoc est MCXXX annorum intervallo, Melchisedecus illorum opinione censeretur? O singularem hominum amentiam! Ceterum ex aliorum exemplarium supputatione ab ortu Sem ad illud tempus quo Abrahamo Melchisedecus occurrit, id quod octuagesimo vel nonagesimo vitae illius anno contigit, consurgunt anni plus minus DCXXVIII. Adeo ut quocumque se demum convertant, ad Abrahami tempus illud, quod diximus, pervenire Sem non potuerit, ut Melchisedecus habeatur. Eoque modo Samaritanorum undique vanitas convincitur.

Gen. 11.

Gen. 11, 11.

Sed Iudaei iustum eundem ac probum fuisse, et sacerdotem altissimi, fatentur, ut est in sacris literis proditum, quod autem meretricis filius esset, neque matris nomen esse scriptum, neque patris ullo modo cognitum. Atqui nec illorum ineptissimus sermo procedit. Nam et Rahab meretrix fuit, et eius nihilominus scriptura meminit. Sed et Zambri et Chasbithae adulterium ibidem expressum, tametsi alienae stirpis haec esset, nec Israelitarum ex genere originem traheret. Enimvero *Omnis qui per ostium non intrat, fur est, non pastor,* ut in evangelio scriptum est. Quod ad catholicos attinet, non uno modo de Melchisedeco statuitur. Quidam enim dei

Cap. VII.

Ios. 2, 1.
Num. 25, 15.

Ioann. 10, 2.

2. *H. e.* Χασβί.

3. *Ita correxerunt Cornarius atque Petavius. Libri habent* αὐτοῦ.

θεοῦ ἐν ἰδέᾳ ἀνθρώπου τότε τῷ Ἀβραὰμ πεφηνέναι· ἐκπίπτουσι δὲ καὶ αὐτοὶ τοῦ προκειμένου. Οὐ γάρ τις ἑαυτῷ ὅμοιος γεννήσεταί ποτε· ὡς ἔχει ἡ θεία γραφὴ ὅτι, Ἀφωμοιωμένος τῷ υἱῷ τοῦ θεοῦ μένει ἱερεὺς εἰς τὸ διηνεκές. Τῷ ὄντι δὲ ὁ μὴ γενεαλογούμενος ἐξ αὐτῶν τὸν Ἀβραὰμ δεδεκάτωκεν, ἐπειδὴ γὰρ οὐκ ἐξ αὐτῶν τῶν Ἰραηλιτῶν γενεαλογεῖται, γενεαλογεῖται δὲ ἐξ ἄλλων ἀνθρώπων. Τούτων [4] ἕνεκα πάντων τὴν ὑπόμνησιν ποιησάμενοι διὰ τὴν αἵρεσιν ταύτην ὑπεμνήσθημεν, καὶ ὡς ἐν παρεκβάσει περὶ τούτων διηγησάμεθα.

Κεφ. η'. Εἰς ὄνομα δὲ τούτου τοῦ Μελχισεδὲκ ἡ προειρημένη αἵρεσις καὶ τὰς προςφορὰς ἀναφέρει, καὶ αὐτὸν εἶναι εἰςαγωγέα πρὸς τὸν θεὸν καὶ δι' αὐτοῦ, φησὶ, δεῖ τῷ θεῷ προςφέρειν, ὅτι ἄρχων ἐστὶ δικαιοσύνης, ἐπ' αὐτῷ τούτῳ κατασταθεὶς ὑπὸ τοῦ θεοῦ ἐν οὐρανῷ, πνευματικός τις ὢν, καὶ υἱὸς θεοῦ τεταγμένος. Καὶ [1] δεῖ ἡμᾶς αὐτῷ προςφέρειν, φασὶν, ἵνα δι' αὐτοῦ προςενεχθῇ ὑπὲρ ἡμῶν, καὶ εὕρωμεν δι' αὐτοῦ ζωήν. Καὶ Χριστὸς μὲν, [2] φασὶν, ἐξελέγη ἵνα ἡμᾶς καλέσῃ ἐκ πολλῶν ὁδῶν εἰς μίαν ταύτην τὴν γνῶσιν, ὑπὸ θεοῦ κεχρισμένος καὶ ἐκλεκτὸς γενόμενος, ἐπειδὴ ἀπέστρεψεν ἡμᾶς ἀπὸ εἰδώλων καὶ ὑπέδειξεν ἡμῖν τὴν ὁδόν. Ἐξ οὗπερ ὁ ἀπόστολος ἀποσταλεὶς ἀπεκάλυψεν ἡμῖν ὅτι μέγας ἐστὶν ὁ Μελχισεδὲκ, καὶ ἱερεὺς μένει εἰς τὸν αἰῶνα, καὶ, Θεωρεῖτε πηλίκος οὗτος· καὶ ὅτι τὸ ἔλασσον ἐκ τοῦ μείζονος εὐλογεῖται, διὰ τοῦτο, φησὶ, Καὶ τὸν Ἀβραὰμ τὸν πατριάρχην εὐλόγησεν, ὡς μείζων ὤν· οὗ ἡμεῖς ἐσμεν μύσται, ὅπως τύχωμεν παρ' αὐτοῦ τῆς εὐλογίας.

Κεφ. θ'. Καὶ ὡς μάταιος πᾶσα αἱρέσεων ἡ διάνοια. Ἰδοὺ γὰρ καὶ αὐτοὶ
pag. 475. ἠρνήσαντο τὸν αὐτῶν δεσπότην, τὸν ἀγοράσαντα αὐτοὺς τῷ ἰδίῳ αὐτοῦ αἵματι, τὸν οὐκ ἀπὸ Μαρίας ἐναρξάμενον, ὡς αὐτοὶ νομίζουσιν, ἀλλ' ἀεὶ ὄντα πρὸς τὸν πατέρα θεὸν λόγον, γεγεννημένον ἐκ τοῦ πατρὸς ἀνάρχως καὶ ἀχρόνως, ὡς πᾶσα γραφὴ διηγεῖται. Φησὶ γὰρ, Ποιήσωμεν ἄνθρωπον κατ' εἰκόνα ἡμετέραν, καὶ καθ' ὁμοίωσιν, καὶ οὐ τῷ Μελχισεδέκ. Ὁ μὲν γὰρ ἱερεὺς τοῦ θεοῦ ἐστιν τοῦ ὑψίστου ἐν τῇ ἰδίᾳ γενεᾷ, καὶ οὐκ ἔσχε διάδοχον μετ' αὐτὸν, ἀλλὰ οὐκ ἔστιν ἄνωθεν ἀπ' οὐρανοῦ καταβάς. Οὐ γὰρ εἶπεν ἡ γραφὴ ὅτι, Κατήνεγκε τῷ Ἀβραὰμ ἄρτον καὶ οἶνον, ἀλλὰ, Ἐξέβαλεν αὐτῷ τε καὶ τοῖς μετ' αὐτοῦ, ὡς ἀπὸ τῶν βασιλέων ὑποδεξάμενος τὸν ἐρχόμενον πατριάρχην, καὶ ηὐλόγησεν αὐτὸν διὰ τὴν προςοῦσαν αὐτῷ δικαιοσύνην, καὶ τὸ πιστὸν καὶ τὸ εὐλαβὲς τοῦ ἀνδρὸς, ὅτι ἐν ἅπασι δοκιμασθεὶς ἐν οὐδενὶ ἐξέπεσε τῆς δικαιοσύνης ὁ πατριάρχης. Ἀλλὰ καὶ ἐν τούτῳ συνεργὸν

4. *Rescribendum arbitror* ἀνέκαθεν *pro* ἕνεκεν. — *Cornarius vertit:* horum sane gratia, omnium aliorum propter hanc haeresin mentionem fecimus, et velut in digressione de his narravimus.

filium hunc existimant Abrahamo tum humana specie sese videndum obtulisse. Verum illi penitus aberrasse videntur. Neque enim sibi ipsi similis appellari quispiam potest, cum de Melchisedeco scriptura hunc in modum loquatur: *Qui assimilatus filio dei manet sacerdos in aeternum.* Hebr. 7, 3. Ceterum verum illud est, eum, cuius ex ipsis origo minime duceretur, decumas ab Abrahamo cepisse, quoniam ex aliis hominibus quam Israelitis genus illius pertexitur. Haec omnia propter haeresin istam a nobis commemorata sunt, ac velut digressione quadam instituta narratio.

Iam vero in eiusdem Melchisedecis nomine etiam oblationes Cap. VIII. suas eadem secta celebrat, quem apud deum internuntium esse praedicat. Quamobrem huius, aiunt, interventu offerre deo par est, eo quod iustitiae sit princeps, et ad id ipsum a deo in coelo constitutus, utpote spiritalis ac dei filius. Itaque primum ei debemus offerre, ut per eundem pro nobis repraesententur, ac vitam per eum consequamur. Etenim Christus, aiunt, ob id electus est, ut nos ad unam hanc scientiam ac multiplici viarum divortio revocaret, et idcirco a deo unctus et selectus est, quoniam nos a cultu simulacrorum avertit et iter ostendit. Unde et apostolus a deo missus istud ipsum nobis aperuit: *Magnum esse Melchisedecum, et sacerdotem in* Hebr. 7, 4. *aeternum manere. Intuemini*, inquit, *quantum est ille.* Tum, quoniam quod minus est a maiore benedicitur. Ob id, inquiunt, Abrahamo patriarchae benedixit, utpote eo maior. Cuius nos mystae sumus, ut ab illo benedictionem impetremus.

Sed quam inanis est haereseon omnium sensus! Nam et isti Cap. IX. dominum suum abnegarunt, qui illos suo sanguine redemit, quique non a Maria, ut illi putant, initium traxit, sed apud patrem semper extitit, deus verbum, a patre sine ullo initio aut tempore genitum, ut universa scriptura declarat. Sic enim loquitur: *Faciamus hominem ad imaginem, et similitudinem nostram.* Gen. 1, 26. Non Melchisedeco dixit; qui tametsi dei altissimi sacerdos aetate sua fuerit, nec ullum post se successorem habuerit, minime tamen e supremis est, neque e coelo descendit. Proinde scriptura non dixit, *Demisit Abrahamo* Gen. 14, 18. *panem et vinum*, sed *Protulit*, tam ipsi quam iis qui cum eo erant, ut a regum profligatione venientem patriarcham exciperet. Huic igitur pro ea qua praeditus erat iustitia ac fide et religione benedixit. Quoniam in omnibus probatus nulla officii sui parte ab iustitia patriarcha deciderat. Quinetiam deum in illa expeditione opitulatorem

Cap. VIII. — 1. δεῖ *restituerunt Cornarius et Petavius. Libri habent* δι' ἡμᾶς. 2. *Libri habent* φησίν.

ἔσχε τὸν θεὸν, κατὰ τῶν ἀληθῶς ἐπελθόντων τῇ τῶν Σοδομιτῶν χώρᾳ, καὶ ἀφελομένων καὶ τὸν ἀδελφιδοῦν αὐτοῦ τὸν ἅγιον Λὼτ, ὃν καὶ ἀπέστρεψε μὲν μετὰ πάσης τῆς σκυλεύσεως καὶ λαφυραγωγίας. Καὶ πόθεν γὰρ οὐ δείξωμεν ὅτι ἦν ἀεὶ υἱὸς σὺν πατρί; Ἐν ἀρχῇ γὰρ ἦν ὁ λόγος, καὶ ὁ λόγος ἦν πρὸς τὸν θεὸν, καὶ θεὸς ἦν ὁ λόγος· καὶ οὐκ εἶπεν, Ὁ Μελχισεδὲκ ἐν ἀρχῇ ἦν. Καὶ πάλιν, Ἦλθεν οὖν κύριος πρὸς Ἀβραὰμ, καὶ ἔβρεξε κύριος παρὰ κυρίου πῦρ καὶ θεῖον ἐπὶ Σόδομα καὶ Γόμορρα. Καὶ ἅγιος ἀπόστολός φησιν, Εἷς θεὸς, ἐξ οὗ τὰ πάντα, καὶ εἷς κύριος Ἰησοῦς Χριστὸς, δι' οὗ τὰ πάντα. Καὶ ἵνα μή τις εἴπῃ, Οὐκοῦν ποῦ ἐστι τὸ πνεῦμα, ἐπειδὴ περὶ ἑνὸς καὶ ἑνὸς διηγεῖται; οὐκ ἔδει τὸ πνεῦμα αὐτοσύστατον αὐτὸ γενέσθαι ἑαυτοῦ. Ἀεὶ γὰρ φυλάττεται ἡ θεία γραφὴ ὑπογραμμὸς ἡμῖν γίνεσθαι. Ἐφθέγγετο οὖν ἐν πνεύματι ἁγίῳ ὁ ἀπόστολος καὶ ἔλεγεν, Εἷς θεὸς, ἐξ οὗ τὰ πάντα, καὶ εἷς κύριος Ἰησοῦς Χριστὸς, δι' οὗ τὰ πάντα. Ἦν δὲ σὺν πνεύματι ἁγίῳ λέγων τοῦτο· οὐ γὰρ ἵνα λείψῃ ἡ τριάς. Αὐτὸς δὲ ὁ κύριος σαφῶς λέγει ὅτι, Ἀπελθόντες βαπτίσατε πάντα τὰ ἔθνη εἰς ὄνομα πατρὸς καὶ υἱοῦ, καὶ ἁγίου πνεύματος. Καὶ πάλιν ὁ ἀπόστο-
pag. 478. *λος λέγει, Ἓν δέ ἐστιν τὸ πνεῦμα τὸ διαιροῦν ἑκάστῳ ὡς βούλεται πρὸς τὸ συμφέρον. Ἰδοὺ τοίνυν πατὴρ, ἰδοὺ υἱὸς, ἰδοὺ πνεῦμα ἅγιον, καὶ οὐδαμοῦ Μελχισεδέκ. Οὔτε ἐν τοῖς χαρίσμασιν εἶπεν ὅτι δωρεῖται, οὔτε ἐν τοῖς ὑψώμασι. Καὶ μάτην παρὰ τούτοις ᾄδεται τὰ ψευδῆ καὶ ἐπινενοημένα τῶν προσκομμάτων, οὐκ ἀπὸ τῆς ἀληθείας, ἀλλ' ἐξ αὐτοῦ τοῦ συρίγματος τοῦ δράκοντος, ὡς ἑκάστην ἠδυνήθη ἀπατῆσαί τε καὶ πλανῆσαι.*

Καὶ περὶ τούτων δὲ ἱκανῶς διαλεχθέντες καταλείψωμεν, ὥσπερ μυογαλλίδιον λίθῳ πεπαικότες διὰ τῆς στερεᾶς πίστεως καὶ ἑδραιώματος, καὶ φυγόντες τὸ ἰοβόλον δηλητήριον. Τὸ γὰρ [1] μυογαλλίδιόν φασι πρὸς μὲν τὴν ὥραν μηδὲν ἀδικεῖν τὸν δακνόμενον, χρόνῳ δέ τινι τὸ σῶμα ἀφανίζειν, καὶ εἰς λώβησιν [2] κελεφίας ἕως ὅλων τῶν μελῶν ἄγειν τὸν ἐπιβουλευθέντα. Οὕτω καὶ αὕτη ἡ διάνοια τοῖς εὐθὺς περὶ τού-

Cap. IX. — 1. *De muris aranei veneno v. Schneid. ad Colum. de Re Rust. VI, 17, 1.*

2. *Non piget huc ea transcribere quae Cl. Salmasius sub nomine Francisci Franci in Confutatione Animadversorum Antonii Cercoetii adversus Petavii ad h v. dictata disputavit p. 80:* „Fatetur se diu ignorasse quid esset λώβησις κελεφίας, tandem tamen a Graecis ipsis edoctum esse vulgari Graecorum idiotismo κελεφὸν appellari τὸν λεπρὸν, et κελεφίαν λέπραν, qua in significatione vocis acquiescendum arbitratur. Narro tibi, Cercoeti, quod male ab illis Graecis didicisti, tibi nunc esse dediscendum. Apud Achmetis Onirocritica cap. CVII. titulus ita concipitur in manuscripto codice quem vidi: Περὶ λωβώσεως καὶ κελεφίας. Nam vulgo legitur: Περὶ λωβῶν καὶ κελυφῶν. At caput CX. est Περὶ λέπρας. Quo uno argumento satis revincitur aliud esse κελεφίαν, aliud λέπραν. Κελεφία est quum to-

**adversus hostes habuit, qui in Sodomitarum agrum eruperant, indeque fratris filium sanctum Lot abduxerant, quem cum omni praeda ac spoliis incolumem reduxit. At illud quam copiose demonstrari potest, filium cum patre perpetuo fuisse? *In principio,* inquit, *erat* Ioann. 1, 1.
verbum, et verbum erat apud deum, et deus erat verbum. Non dixit, *In principio erat Melchisedec.* Item: *Venit igitur dominus ad Abraham, et pluit dominus a domino ignem et sulphur super Sodoma et Gomorrha.* Praeterea, *Unus deus,* ait apostolus, *ex quo omnia, et* 1. Cor. 8, 6.
unus dominus Iesus Christus, per quem omnia. Ac ne quis obiiceret, Ubi est igitur spiritus sanctus, cum unius atque unius duntaxat mentionem faciat? Sed spiritum sanctum suimet ipsius commendatorem ac praedicatorem esse minime congruebat. Illud enim scriptura sacra perpetuo servat, ut se nobis exemplaris instar proponat. Quocirca haec in spiritu sancto loquebatur apostolus: *Unus deus ex quo omnia, et unus dominus Iesus Christus, per quem omnia.* Atqui cum spiritu sancto ista dicebat, neque mancam esse triadem volebat. Ad haec dominus ipse perspicue dicit: *Euntes baptizate omnes gentes* Matth. 28, 19.
in nomine patris et filii et spiritus sancti. Apostolus quoque: *Unus* 1.Cor.12, 11.
vero est spiritus, inquit, *dividens unicuique prout vult, ad eius utilitatem.* En igitur pater, en filius, en spiritus sanctus. Nusquam Melchisedec. Neque cum de coelestibus donis mentio fit, impertiri haec ab illo dixit, neque cum de sublimibus disseruit. Proindeque frustra eiusmodi ab illis mendacia ad animorum offensionem conficta praedicantur. Quae quidem non ex veritate, sed draconis sibilo profecta sunt, pro eo ac quamlibet sectam decipere atque in errorem abducere potuit.**

Cum autem abunde iam de illis disputatum sit, missos demum faciamus, quos muris aranei instar solida ac stabili fide velut lapide percussimus, ac letiferum virus evasimus. Hanc enim muris aranei naturam esse ferunt, ut e vestigio quidem nullam ei qui morsus est perniciem inferat, verum paulatim corpus extinguat, ac membra eius omnia labe illa quam *κελεφίαν* vocant inficiat. Sic haeresis illius dogma primo statim auditu levissimi esse momenti videtur, sed ubi

tum corpus in bullas sive pustulas surgit sanguinolentas et saniosas, in modum siliquae folliculorum extumidas. Φλυκτίδας vocat Aëtius in eodem morbo describendo. Κελεφίαν vocarunt recentiores quasi κελυφίαν. Nam κέλυφος est folliculus, pro quo κέλεφος infima dicit Graecia. Λόβωσιν etiam dixerunt, ἀπὸ τῶν λοβῶν, a folliculis. Λόβωσις autem scribendum, non λώβωσις aut λώβησις. Nam aliud λωβᾶσθαι, aliud λοβοῦσθαι. Hinc σὰρξ λοβουμένη Pisidae quae hoc πάθει infecta est: Καὶ σὰρξ ἐχιδνῶν ἀντιφάρμακος δόσις, Καὶ σφίγμα σαρκὸς γίνεται λοβουμένης. Τὸν ῥοῦν γὰρ ἱστᾷ, καὶ τὸν ἰχῶρα ξέει, Καὶ σωματουργεῖ τὰς ῥεούσας εἰκόνας, Μορφοῦσα τὰ πρόσωπα τῆς ἀμορφίας. Hic verbis τὴν κελεφίαν, sive λόβωσιν, plane expressit. Sed de his alibi plura." — *V. infra haer.* 66, 9. *et quae ibi adnotata.*

των ἀκούσασι φαίνεται ὡς οὐδὲν, προσεντριβομένη δὲ ἡ τῶν λόγων παρολκὴ ζήτημα ἐμποιεῖ, καὶ ὥςπερ ἀφανισμὸν τοῖς μὴ τυχοῦσι τοῦ βοηθήματος τῆς ἀντιδότου ταύτης. Οὐ τάχιον δὲ φαίνεται τὸ ζῶον. Ἐν νυκτὶ γάρ ἐστι πορευόμενον, καὶ οὕτω τὴν βλάβην ἐργάζεται, μάλιστα δὲ ἐν τῇ τῶν Αἰγυπτίων χώρᾳ· ὡς ἰστέον ἐστὶ τοῖς τὴν γνῶσιν τοῦ ζώου ἐπισταμένοις, ὅτι οὐ παρέργως, οὔτε σεσυκοφαντημένως τῆς τοῦ ζώου ὑποθέσεως πεποιήμεθα τὴν μνήμην. Τοῦτο γὰρ αὐτοῦ τὸ δικαίωμα ὑπάρχει. Ἐφεξῆς δὲ βαδιοῦμαι ἐπὶ τὰς ἄλλας, ὅπως τὸ ἐπάγγελμα ἐν θεῷ πληρῶσαι καταξιωθέντες τῷ θεῷ εὐχαριστήσωμεν.

ΚΑΤΑ ΒΑΡΔΗΣΙΑΝΙΣΤΩΝ,

τριακοστὴ ἕκτη, ἡ καὶ πεντηκοστὴ ἕκτη.

Κεφ. α΄. Τούτοις καθεξῆς συνέπεται Βαρδησιάνης τις οὕτω καλούμενος. Ὁ δὲ Βαρδησιάνης οὗτος, ἐξ οὗπερ ἡ αἵρεσις τῶν Βαρδησιανιστῶν γεγένηται, ἐκ Μεσοποταμίας μὲν τὸ γένος ἦν, τῶν κατὰ τὴν Ἐδεσσηνῶν πόλιν κατοικούντων. Ὃς τὰ μὲν πρῶτα ἄριστός τις ἀνὴρ ἐτύγχανε, λόγους δὲ οὐκ ὀλίγους συνεγράψατο, ὁπηνίκα ἐρρωμένην εἶχε τὴν διάνοιαν. Ἐκ γὰρ τῆς ἁγίας τοῦ θεοῦ ἐκκλησίας ὡρμᾶτο, λόγιός τις ὢν
pag. 477. ἐν ταῖς δυσὶ γλώσσαις, Ἑλληνικῇ τε διαλέκτῳ καὶ τῇ τῶν Σύρων φωνῇ. Αὐγάρῳ δὲ τῷ τῶν Ἐδεσσηνῶν δυνάστῃ ἀνδρὶ ὁσιωτάτῳ [1] καὶ λογιωτάτῳ ἐξοικειούμενος τὰ πρῶτα, καὶ συμπράττων τε ἅμα καὶ τῆς αὐτοῦ μετασχὼν παιδείας, διήρκεσε μὲν μετὰ τὴν ἐκείνου τελευτὴν ἄχρι τῶν χρόνων [2] Ἀντωνίνου Καίσαρος, οὐ τοῦ Εὐσεβοῦς καλουμένου, ἀλλὰ τοῦ [3] Οὐήρου, ὃς πολλὰ Ἀβειδὰν τὸν ἀστρονόμον κατὰ εἱμαρμένης [4] ψέγων συνελογίσατο. Καὶ ἄλλα δὲ κατὰ τὴν εὐσεβῆ πίστιν ἐμφέρεται αὐτοῦ [5] συγγράμματα. Ἀπολλωνίῳ δὲ τῷ τοῦ [6] Ἀντωνίνου ἑταίρῳ [7] ἀντῇρε παραινούμενος ἀρνήσασθαι τὸ Χριστιανὸν ἑαυτὸν λέγειν. Ὁ δὲ σχεδὸν ἐν τάξει ὁμολογίας κατέστη, λόγους τε συνετοὺς ἀπεκρίνατο, ὑπὲρ εὐσεβείας ἀνδρείως ἀπολογούμενος, θάνατον μὴ δεδιέναι φήσας, ὃν ἀνάγκη ἔσεσθαι, κἂν τε τῷ βασιλεῖ μὴ ἀντείποι. Καὶ οὕτως ὁ ἀνὴρ τὰ πάντα μεγάλως ἦν κεκοσμημένος, ἕως ὅτε τῷ ἀστοχήματι τῆς ἑαυτοῦ αἱρέσεως περιέπεσε, δίκην νηὸς γεγονὼς καλλίστης, φόρτον δὲ ἀσυνείκαστον ἐμβαλλομένης, καὶ παρὰ τὰς ὄχθας τοῦ λιμένος λακισθείσης καὶ ἀπολεσάσης τε τὴν πᾶσαν πραγματείαν, καὶ ἑτέροις τοῖς ἐπιβάταις θάνατον ἐμποιησάσης.

Cap. I. — 1. *Verba* καὶ λογιωτάτῳ *adieci ex cod. Veneto.*

2. Ἀντωνίνου *cod. Ven.* Ἀντωνίου *habent reliqui libri. — Grabe Spicil. SS. PP. I, p.* 317. *Antoninum Eliogabalum, cognomine* Varium *significari est suspicatus.*

3. βήρου. ὃς πολλὰ αὐειδὰν *cod. Ven.*

4. *Scripsi* ψέγων *pro* λέγων, *quae*

paulatim progressi illorum sermones irrepserint, quaestiones primum ac dubitationes, deinde exitium afferunt iis qui hoc praesidio ac velut antidoto minime sunt instructi. Ceterum non temere se animal illud ostendit, sed nocte grassatur, et illam quam dixi perniciem consciscit, atque in Aegypto potissimum: ut qui naturam eius noverint, non dubitent haud abs re, neque per calumniam huius a nobis mentionem esse factam, cum istiusmodi sit natura praeditum. Deinceps vero ad reliquas progredior, ut, posteaquam id quod suscepimus divina ope perfecerimus, eidem gratiam vicissim habeamus.

CONTRA BARDESIANISTAS, haeresis XXXVI., sive LVI.

Proxime ab illis Bardesianes quidam numerandus est, a quo Cap. I. Bardesianistarum haeresis initium accepit. Hic e Mesopotamia oriundus, ex urbe Edessa, principio longe optimus vir fuit, ac libros quamplurimos conscripsit, cum adhuc sana atque integra mente esset. Quippe in ecclesia catholica versabatur, utriusque linguae, Graecae videlicet, ac Syriacae peritus. Cumque Abgaro Edessenorum regulo viro sanctissimo familiaritate coniunctus esset, ac cum eo concorditer se in omnibus gereret, et eiusdem disciplinae esset particeps, post eius obitum ad Antonii Caesaris usque tempora perseveravit, non Pii, sed Veri. Idem adversus Abidam astrologum contra fatum pluribus disputavit. Nec alia pauca illius monumenta feruntur rectae fidei consentanea. Quinetiam Apollonio Antonini familiari, ut se Christianum negaret, suadenti acquiescere noluit, ac propemodum inter fidei confessores relatus est. Etenim pietatis patrocinio fortissime suscepto sapienter inprimis respondit, negavitque mortem se timere, cuius, etsi imperatori non resisteret, sibi nihilominus necessitas immineret. Ita vir ille praeclarissimis ornamentis praeditus hactenus fuit, donec infelici fato suum illum in errorem incidit; similiter atque egregia navis, quae infinitis onusta mercibus ad portum illisa non modo iacturam rerum omnium facit, sed et vectoribus exitium adfert.

verba non semel in vetustis membranis confusa deprehendi. Petavius, Cornarium secutus qui vertit „Et multa in Abidan astronomum contra fatum disserens“ *cett., huic loco mederi sibi visus est scribendo* πολλὰ πρὸς Ἀβειδὰν — λέγων. — *Ceterum de Bardesanis contra fatum libro cf. Euseb. Praep. Evang. VI,* 8.

5. συντάγματα *cod. Ven.*

6. Ἀντωνίνου *cod. Ven. Vulgo* Ἀντωνίου.

7. *Ita cod. Venet. Vulgo* ἀντήρει. — *De Apollonio hoc cf. Casaub. ad Iul. Capitolin. p.* 53.

Κεφ. β'. Προςφθείρεται γὰρ οὗτος [1] Οὐαλεντίνοις, καὶ ἐκ τῆς αὐτῶν μοχθηρίας ἀνιμᾶται τὸ δηλητήριον τούτων, καὶ ζιζανιῶδες. Πολλάς τε καὶ ἄλλας καὶ αὐτὸς ἀρχὰς καὶ [2] προβολὰς διηγήσατο, καὶ τὴν τῶν νεκρῶν ἀνάστασιν ἀρνησάμενος ἐδογμάτισε ταύτην τὴν αἵρεσιν. Χρῆται δὲ νόμῳ καὶ προφήταις, παλαιᾷ τε καὶ καινῇ διαθήκῃ, καὶ ἀποκρύφοις τισὶν ὡςαύτως. Ἀνατραπήσεται δὲ καὶ αὐτὸς μετὰ πάντων τῶν πρὸ αὐτοῦ τε καὶ τῶν μετ' αὐτὸν, ἀπαλλοτριώσας ἑαυτὸν τῆς ἀληθείας, καὶ ὡς ἀπὸ λαμπάδος πυρὸς φωτεινῆς εἰς ἀσβόλην μεταβεβλημένος. Περὶ μὲν γὰρ νεκρῶν ἀναστάσεως ἤδη ἡμῖν ἐν πολλαῖς αἱρέσεσιν εἴρηται· οὐ λυπήσει δὲ καὶ αὖθις ἐν τῇ πρὸς τοῦτον ἀνατροπῇ χρήσασθαι ὀλίγοις λόγοις. Εἰ μὲν γὰρ τὴν παλαιὰν διαθήκην δέχῃ, ὦ οὗτος, καὶ τὴν καινὴν ὡςαύτως, πόθεν οὐκ ἐλεγχθήσῃ παραφθείρων τὴν τῆς ἀληθείας ὁδὸν, καὶ ἑαυτὸν ἀποξενῶν τῆς τοῦ κυρίου ἐν ἀληθείᾳ ζωῆς; Ὅτι μὲν γὰρ αὐτὸς ὁ κύριος πρῶτος, ἵνα γένηται ἡμῖν ἀρραβὼν τῆς ἀναστάσεως καὶ πρωτότοκος ἐκ τῶν νεκρῶν, καὶ ἀπέθανεν ὑπὲρ ἡμῶν καὶ ἀνέστη. Καὶ οὐχ ἁπλῶς ἐν δοκήσει πέπονθεν.
pag. 478. Ἐτάφη γὰρ, καὶ τὸ σῶμα αὐτοῦ βεβαστάχασι. Καὶ μαρτυρεῖ μὲν Ἰωσὴφ ὁ ἀπὸ Ἀριμαθαίας, μαρτυροῦσι καὶ αἱ φέρουσαι μῦρα εἰς τὸ μνῆμα, καὶ ἡ τῶν ἑκατὸν λιτρῶν ἀλόης ὁλκὴ, ὅτι οὐκ ἦν δόκησις, οὐδὲ φαντασία, μαρτυροῦσι δὲ καὶ οἱ ἄγγελοι ταῖς γυναιξὶ πεφηνότες ὅτι, Ἀνέστη, οὐκ ἔστιν ὧδε· τί ζητεῖτε τὸν ζῶντα μετὰ τῶν νεκρῶν; καὶ οὐκ εἶπον ὅτι, Οὐκ ἀπέθανεν, ἀλλὰ, Ἀνέστη, ὁ πεπονθὼς ἐν σαρκὶ, ζῶν δὲ ἀεὶ ἐν πνεύματι, καὶ ἀπαθὴς ὢν ἐν τῇ ἰδίᾳ θεότητι, ὁ ἄνωθεν ἀεὶ ἐκ πατρὸς γεγεννημένος ὑπάρχων, ὁ ἐπ' ἐσχάτων τῶν ἡμερῶν εὐδοκήσας ἀπὸ Μαρίας τῆς παρθένου γενέσθαι ἄνθρωπος, ὡς μαρτυρεῖ Παῦλος ὁ ἁγιώτατος λέγων, Γενόμενος ἐκ γυναικὸς, γενόμενος ὑπὸ νόμον. Ἄρα γε οὔπω ἤκουσας τοῦ ῥητοῦ τοῦ λέγοντος ὅτι, Δεῖ τὸ φθαρτὸν τοῦτο ἐνδύσασθαι ἀφθαρσίαν, καὶ τὸ θνητὸν τοῦτο ἐνδύσασθαι ἀθανασίαν; ἢ οὐκ ἔπεισέ σε Ἡσαΐας ὁ προφήτης λέγων, Καὶ ἀναστήσονται οἱ νεκροὶ, καὶ ἐγερθήσονται οἱ ἐν τοῖς μνημείοις; αὐτὸς δὲ ὁ κύριος λέγων ὅτι, Ἐγερθήσονται οὗτοι εἰς ζωὴν αἰώνιον, καὶ οὗτοι εἰς κόλασιν; ἢ οὐ μέμνησαι τοῦ Ἄβελ μετὰ θάνατον τῆς πρὸς θεὸν ὁμιλίας, ὡς οὐ τὴν ψυχὴν λέγει ἐντυγχάνειν καὶ βοᾶν πρὸς τὸν θεὸν, ἀλλὰ τὸ αἷμα; Αἷμα δὲ οὐ ψυχὴ ὑπάρχει, ἀλλ' ἐν τῷ αἵματι ἡ ψυχή ἐστι. Σῶμα γάρ ἐστι τὸ αἷμα ὁρατὸν, ἡ δὲ ψυχὴ ἀόρατός τις ὑπάρχουσα ἐν τῷ αἵματι ἔχει τὸν χῶρον. Καὶ πανταχόθεν ἐλήλεγκταί σου, ὦ Βαρδησιάνη, ἡ κακοπιστία, ἀνατρεπομένη ἐξ αὐτῆς τῆς ἀληθείας.

Κεφ. γ'. Περὶ δὲ πολλῶν ἀρχῶν ἐπειδήπερ πολλάκις κατὰ τῶν οὕτως λε-

CAP. II. — 1. Repone Οὐαλεντινιανοῖς.

Nam cum ad Valentinos miserrime sese applicasset, ex eorum improbitate pestiferum illud virus ac lolium contraxit. Multa hic perinde et alia principia et productiones invexit. Mortuorum resurrectionem sustulit, itaque privatam haeresin condidit. Porro legis ac prophetarum libros, adeoque vetus ac novum testamentum, necnon apocryphos quosdam adhibet. Verum iste cum iis omnibus, qui eum antecesserunt aut postea secuti sunt, facile confutabitur, ut qui a veritate seipsum abalienaverit, ac velut ex ignea splendentique face in fuliginem conversus sit. Quod enim ad mortuorum excitationem attinet, licet de ea saepius in aliis haeresibus disputatum sit, non gravabor iterum paucis ad eum refellendum eadem de re disserere. Nam si vetus testamentum ac novum admittis, nonne et corrupisse veritatis viam, et a verissima domini vita abhorrere manifeste convinceris? Siquidem princeps ipse dominus, uti nobis resurrectionis arrhabo quidem esset ac primogenitus e mortuis, nostra causa mortuus est, ac resurrexit: neque specie tenus est passus, utpote qui sit sepultus, eiusque corpus nonnulli gestaverint, testis est Iosephus Arimathaeensis, testes illae mulieres quae ad monumentum unguenta detulerunt, testes centum illae aloës librae, non eam inanem opinionem atque imaginem fuisse. Testes denique angeli, qui id mulieribus declararint. *Surrexit,* inquiunt, *non est hic.* Quid quaeritis viventem cum mortuis? Neque vero dixit, *Non est mortuus,* sed *Surrexit,* qui in carne passus spiritu perpetuo vivit, ac secundum divinitatem suam perpessionis omnis est expers. Qui e supremis ortus et a patre genitus perpetuo existit. Idem tamen novissimis temporibus ex Maria virgine homo fieri voluit; ut Paulus testatur his verbis: *Factus ex muliere, factus sub lege.* Nunquamne illam scripturae sententiam exaudisti: *Oportet corruptibile induere incorruptionem, et mortale hoc induere immortalitatem?* An non tibi Isaias propheta persuasit, cum ita loquitur: *Et mortui resurgent, et excitabuntur qui in monumentis sunt?* Ad haec dominus ipse, *Resurgent,* inquit, *hi in vitam aeternam, et isti in supplicium?* Non illud denique Abelis post mortem cum deo colloquium recordaris, utque non illius animam, sed sanguinem supplicare dicat, ac deum clamoribus interpellare? Sanguis porro nequaquam anima est, sed in sanguine anima potius inest. Quippe sanguis aspectabile corpus est, anima vero, cum visum omnem effugiat, in sanguine residet. Ita dogmatis tui, o Bardesiane, pravitas ipsius vi veritatis eversa penitus concidit.

[Cap. II. · Col. 1, 18. · Matth. 27, 57. · Matth. 28. · Marc. 16, 6. · Gal. 4, 4. · 1. Cor. 15, 53. · Isai. 26, 19 · Matth. 25, 46. · Gen. 4, 10.]

De pluribus vero principiis, quoniam adversus alios, qui in eo- Cap. III.

2. *Libri habent* προςβολάς.

γόντων πολλὰ [1] εἶπον, ἐνταῦθα οὐ πολλὴν ποιοῦμαι τὴν περὶ τούτου διαλογὴν, ἀλλ' ὡς ἐν ὑπομνήσει τοῦ ἁγίου ἀποστόλου φάσκοντος ὅτι, Ἡμῖν εἷς Θεὸς ὁ πατὴρ, ἐξ οὗ τὰ πάντα, καὶ ἡμεῖς εἰς αὐτόν· καὶ εἷς κύριος Ἰησοῦς Χριστὸς, δι' οὗ τὰ πάντα, καὶ ἡμεῖς δι' αὐτοῦ. Πῶς οὖν πολυθεΐα ἔσται, καὶ πολλαὶ ἀρχαὶ, καὶ εἷς κύριος Ἰησοῦς Χριστὸς, δι' ὃν τὰ πάντα, καὶ δι' οὗ τὰ πάντα, καὶ ἡμεῖς δι' αὐτοῦ; Ἆρα οὖν εἷς ἐστιν ὁ ποιητὴς, καὶ οὔτε πολλοὶ θεοὶ, οὔτε πολλοὶ Αἰῶνες. Ἔφη γὰρ ὅτι, Εἴπερ εἰσὶ πολλοὶ θεοὶ λεγόμενοι, τὸ δὲ Λεγόμενοι ὡς οὐχ ὑπαρχόντων ἀπεφήνατο, διὰ δὲ τοὺς τῶν Ἑλλήνων λεγο-
pag. 479. μένους οὓς ἐθεοποίησαν, ἥλιον καὶ σελήνην, ἄστρα τε καὶ τὰ τούτοις ὅμοια, ἀποφηνάμενος ἀπέκλεισε πάντων τῶν πεπλανημένων τὴν διάνοιαν.

Τῆς δὲ ὑγιοῦς πίστεως πανταχόθεν σωζομένης ἑδραίωμα οὔσης καὶ σωτηρίας τῶν πιστῶν, ῥᾳδίως ἡ πασῶν τῶν αἱρέσεων ἐπινενοημένη κενολογία προσανετράπη· ὡς καὶ οὗτος ἀνατραπεὶς, καὶ ἐλεεινὸν ἑαυτὸν καταστήσας, καὶ ἑαυτὸν ἀποξενώσας τῆς ζωῆς. Φησὶ γὰρ ὁ προφήτης πρὸς τὴν ἁγίαν τοῦ θεοῦ ἐκκλησίαν ὅτι, Θήσομαι ἄνθρακα τὸν λίθον σου, καὶ τοὺς θεμελίους σου σάπφειρον, καὶ τὰ τείχη σου λίθους ἐκλεκτοὺς, καὶ τὰς ἐπάλξεις σου ἴασπιν. Εἶτα ὕστερόν φησι, Πᾶσα φωνὴ ἣ ἐπαναστήσεται ἐπὶ σὲ, πάντας αὐτοὺς ἡττήσεις, ἐπὶ δὲ σὲ οὐ κατευοδωθήσεται. Οὐδὲν γὰρ κατισχύσει πρὸς τὴν τῆς ἀληθείας πίστιν, ἐπειδήπερ ἐπὶ τὴν πέτραν ᾠκοδόμηται, καὶ πύλαι ᾅδου οὐ κατισχύσουσιν αὐτῆς, ὡς ἐπηγγείλατο αὐτῇ ὁ ἅγιος θεὸς λόγος, ὁ βασιλεὺς αὐτῆς καὶ νυμφίος, καὶ κύριος αὐτῆς καὶ δεσπότης, ᾧ ἡ δόξα, τιμὴ, κράτος, πατρὶ ἐν υἱῷ, σὺν ἁγίῳ πνεύματι, εἰς τοὺς αἰῶνας τῶν αἰώνων, ἀμήν. Ταύτης δὲ καὶ αὐτῆς καταπατηθείσης τῆς αἱρέσεως (ὡς ἀπὸ τομῆς ὄφεως οὖσα κεφαλὴ, καὶ ἔτι σκαρίζουσα, τῷ ξύλῳ τῆς ζωῆς [2] πιασθεῖσα) αὐτοὶ θεῷ εὐχαριστοῦντες ἐπὶ τὰς ἄλλας πάλιν διασκοποῦντες ἴωμεν, ὦ ἀγαπητοί.

ΚΑΤΑ ΝΟΗΤΙΑΝΩΝ,

τριακοστὴ ἑβδόμη, ἡ καὶ πεντηκοστὴ ἑβδόμη.

Κεφ. α'. Ἕτερος πάλιν μετὰ τοῦτον Νοητὸς ὀνόματι ἀνέστη, οὐ πρὸ ἐτῶν πλειόνων, ἀλλ' ὡς πρὸ χρόνου τῶν τούτων ἑκατὸν τριάκοντα, πλείω ἢ ἐλάσσω, Ἀσιανὸς, τῆς Ἐφέσου πόλεως ὑπάρχων, ὃς ἀλλοτρίῳ πνεύματι φερόμενος ἠθέλησεν ἀφ' ἑαυτοῦ ἃ μήτε προφῆται, μήτε ἀπόστολοι, μήτε ἐξ ὑπαρχῆς κατέσχεν ἡ ἐκκλησία, μήτε ἐνενοήθη, λέγειν τε

Cap. III. — 1. Vulgo εἰπόντες. 2. Ed. Petav. πιεσθεῖσα.

dem errore versantur, iampridem multa diximus, longam hoc loco disputationem non instituam. Sed illud ex apostolo duntaxat in memoriam revocabo: *Nobis unus est deus pater, ex quo omnia, et nos in ipsum, et unus dominus Iesus Christus, propter quem omnia, et per quem omnia, et nos per ipsum.* Quomodo igitur deorum illa multitudo principiorumque constabit? *Et unus*, inquit, *dominus Iesus Christus, propter quem omnia, et per quem omnia, et nos per ipsum.* Quamobrem unus est tantummodo conditor, neque plures dii sunt, Aeonesve plures. Sic enim dixit: *Si sunt multi qui dicuntur dii.* Quam particulam, *Qui dicuntur*, adiecit ideo, ut non esse revera significaret. Sed cum propter eos qui ab ethnicis esse dicuntur, quosque illi deos constituunt, puta solem, lunam, sidera, reliquaque id genus istud protulerit, nullum aberrantium hominum opinioni locum reliquit.

1. Cor. 8, 6.
1. Cor. 8, 5.

Ceterum cum sincera fides undique sarta tecta custodiatur, in eaque fidelium salus ac firmamentum sit positum, facile universarum haereseon conficta mendacia dissolvuntur. Quemadmodum et haereticus iste disiectus est, qui se miserrimum in statum redegit, et a vita penitus alienavit. Etenim propheta ita sanctam dei ecclesiam alloquitur: *Ponam carbunculum lapidem tuum, et fundamenta tua sapphirum, et muros tuos lapides electos, et propugnacula tua iaspidem.* Deinde subiicit, *Omnis vox, quae adversus te consurget, omnes illos vinces; contra te vero non prosperabitur.* Nihil enim est quod veram fidem expugnare possit, quia *super petram aedificata est, et portae inferi non praevalebunt adversus illam.* Quod eidem deus verbum, rex inquam ipsius ac sponsus ac dominus promisit: cui gloria, honor, imperium, patri videlicet in filio, cum spiritu sancto, in secula seculorum, Amen. Postremo cum haec a nobis proculcata sit haeresis, ac velut avulsum a trunco serpentis caput adhuc palpitans quodam quasi vitae fuste comminutum sit, superest ut actis rite deo gratiis, ad reliquas contemplandas haereses transeamus.

Isai. 54, 11.
vers. 17.
Matth. 16, 18.

CONTRA NOETIANOS,
haeresis XXXVII., sive LVII.

Cap. I.

Post hunc alius quidam haereticus Noëtus nomine prodiit; neque multis abhinc annis, sed ante hos fere centum ac triginta, in Asia oriundus, urbe Epheso. Qui alieno spiritu afflatus ea dicere ac docere ausus est quae nec prophetae nec apostoli nec ecclesia ab initio tenuit, ac ne cogitavit quidem. Igitur velut quadam elatus

καὶ διδάσκειν. Οὗτος ἀφ' ἑαυτοῦ [1] ἐπάρμασι μανίας ἐπαρθεὶς ἐτόλμησε λέγειν τὸν πατέρα πεπονθέναι. Ἔτι δὲ μείζονί τινι τύφῳ καὶ παραφροσύνῃ ἐνεχθεὶς ἑαυτὸν ἔλεγε Μωϋσέα, καὶ τὸν ἀδελφὸν αὐτοῦ pag. 480. Ἀαρών. Ἀλλὰ μεταξὺ τούτων ἀπὸ τῆς περὶ αὐτὸν ἐνηχήσεως οἱ μακάριοι πρεσβύτεροι τῆς ἐκκλησίας προςκαλεσάμενοι αὐτὸν ἐξήταζον περὶ τούτων ἁπάντων, καὶ εἰ ταύτην τὴν βλασφημίαν περὶ πατρὸς προηγάγετο. Ὁ δὲ τὰ πρῶτα μὲν ἠρνεῖτο ἐπὶ τοῦ πρεσβυτερίου ἀγόμενος, διὰ τὸ μηδένα πρὸ αὐτοῦ ἐξεμέσαι ταυτηνὶ τὴν δεινὴν καὶ ὀλετήριον πικρίαν, ὕστερον δὲ ἀφ' ἧς εἶχε λύσσης εἴς τινας ἄλλους ἐμβαλὼν, ὡς εἰπεῖν, καὶ σὺν αὐτῷ ὥςπερ δέκα ἄνδρας ἐπαγόμενος, εἰς τύφον μείζονα καὶ θράσος ἐπαρθεὶς, τολμηρὸς γεγονὼς, παρρησίᾳ λοιπὸν τὴν αἵρεσιν ἐδογμάτιζε. Πάλιν δ' αὖ οἱ αὐτοὶ πρεσβύτεροι προςκαλεσάμενοι αὐτόν τε καὶ τοὺς προςφθαρέντας αὐτῷ ἀνθρώπους περὶ τῶν αὐτῶν πάλιν ἠρώτων. Ὁ δὲ ἅμα τοῖς ὑπ' αὐτοῦ πεπλανημένοις ὑποτρίψας τὸ μέτωπον, λοιπὸν παρρησίᾳ ἀντέλεγε, φάσκων, Τί γὰρ κακὸν πεποίηκα; Ἕνα θεὸν δοξάζω, ἕνα ἐπίσταμαι, καὶ οὐκ ἄλλον πλὴν αὐτοῦ, γεννηθέντα, πεπονθότα, ἀποθανόντα. Ὡς οὖν ἐν τούτοις ἔμενεν, ἐξέωσαν αὐτὸν τῆς ἐκκλησίας, ἅμα τοῖς ὑπ' αὐτοῦ δόγμα μεμαθητευμένοις. Τελευτᾷ δὲ ὁ αὐτὸς ἔναγχος ἅμα τῷ ἰδίῳ ἀδελφῷ, οὐχ ὡς ὁ Μωϋσῆς ἐν δόξῃ, οὐδὲ ὁ αὐτοῦ ἀδελφὸς ὁ Ἀαρὼν ἐτάφη ἐν τιμῇ. Ἐρρίφησαν γὰρ ὡς παραβάται, καὶ οὐδεὶς αὐτοὺς τῶν θεοσεβῶν περιέστειλε. Μετὰ τοῦτο οἱ ὑπ' αὐτοῦ τὸν νοῦν φθαρέντες ἐκράτυναν τουτὶ τὸ δόγμα, τούτοις τοῖς ῥητοῖς ὑπαχθέντες οἷς καὶ ὁ αὐτῶν διδάσκαλος ἐξ ἀρχῆς. Ὅτε γὰρ ἐρωτώμενος ἀπὸ τοῦ πρεσβυτερίου ἔφη ἕνα θεὸν δοξάζειν, ἤκουε παρ' αὐτῶν φιλαλήθως ὅτι, Ἕνα θεὸν δοξάζομεν καὶ αὐτοὶ, ἀλλ' ὡς οἴδαμεν δικαίως δοξάζειν· καὶ ἕνα Χριστὸν ἔχομεν, ἀλλ' ὡς οἴδαμεν ἕνα Χριστὸν υἱὸν θεοῦ, παθόντα καθὼς ἔπαθεν, ἀποθανόντα καθὼς ἀπέθανεν, ἀναστάντα, ἀνελθόντα εἰς τὸν οὐρανὸν, ὄντα ἐν δεξιᾷ τοῦ πατρὸς, ἐρχόμενον κρῖναι ζῶντας καὶ νεκρούς. Ταῦτα λέγομεν μεμαθηκότες ἀπὸ τῶν θείων γραφῶν, ἃ καὶ ἐπιστάμεθα.

Κεφ. β'. Ἐκ τούτου οἱ Νοητιανοὶ ἀπόσπασμα ὄντες αὐτοῦ, καὶ οἱ ἐξ αὐτοῦ, τουτὶ τὸ δόγμα δοξάζουσιν, ἐκ τῶν ῥητῶν τούτων πειρώμενοι συνιστᾶν τὴν κατ' αὐτοὺς ἐμμανῆ διδασκαλίαν [1] ἀφ' ὧν εἶπεν ὁ θεὸς pag. 481. πρὸς Μωϋσῆν, Ἐγώ εἰμι ὁ θεὸς τῶν πατέρων ὑμῶν· ἐγὼ πρῶτος, καὶ ἐγὼ μετὰ ταῦτα· οὐκ ἔσονταί σοι θεοὶ ἕτεροι, καὶ τὰ ἑξῆς. Ἔλεγον οὖν, Ἡμεῖς τοίνυν αὐτὸν οἴδαμεν μόνον. Εἰ τοίνυν ἐλθὼν Χριστὸς ἐγεννήθη, αὐτός ἐστι πατὴρ, αὐτὸς υἱὸς, ἄρα αὐτός ἐστι θεὸς ὁ ἀεὶ καὶ νῦν ἐλθὼν, ὡς λέγει ἡ γραφὴ, Οὗτος ὁ θεός σου, οὐ λογι-

Cap. I. — 1. Ita cod. Rhedig. Editi libri ἐπ' ἅρμασι.

insania passum esse patrem non dubitavit asserere. Sed et maiori quadam arrogantia ac vecordia elatus sese Moysem, fratrem vero suum Aaronem esse dixit. Inter haec beatae memoriae presbyteri eius rei fama permoti hominem advocant, deque his omnibus interrogant, utrumnam tam contumeliosum in patrem dogma proposuisset. At ille coram presbyterorum consessu productus inficiari primo, quod ante ipsum nemo atrox illud atque exitiale virus evomuisset. Postea vero, cum rabiem suam nonnullis, ut ita dicam, aspersisset, ac decem fere homines sibi adiunxisset, maiorem in superbiam atque insolentiam elatus atque audacior factus palam haeresin suam disseminavit. Proinde rursum idem illi presbyteri tam ipsum quam qui se ad eum infeliciter aggregarent arcessunt, atque iisdem de rebus sciscitantur. Ille cum grege suo frontem perfricans audacter contradicere coepit. Ac quid, inquit, mali feci? Unum deum veneror, unum novi, nec praeter ipsum alterum natum, passum, mortuum. Ad quam opinionem cum constanter adhaeresceret, eum pariter atque eius discipulos ab ecclesia pellunt. Moritur deinde paulo post cum fratre suo; neque tamen aut ille pari ac Moyses olim, aut eius frater, eadem qua Aaron honorificentia sepulti sunt; tanquam enim desertores abiecti sunt, nec ab ullo catholicorum sepulturae mandati. Post haec qui corruptam ab eo doctrinam hauserant istud ipsum dogma corroborarunt, iisdem quibus ipsorum magister initio verbis adducti. Nam cum presbyterorum concilio percontanti dixisset unum se deum colere, vere hoc ab illis responsum audiit: Et nos unum quoque deum colimus, sed quemadmodum legitime illum colere novimus. Itidemque Christum habemus unum, sed quemadmodum novimus, unum Christum dei filium, passum, quomodo passus est, mortuum, quomodo mortuus est. Qui et resurrexit, et in coelum ascendit, et ad patris dexteram manet, et venturus est iudicare vivos et mortuos. Haec nos ac scripturis sacris accepta profitemur, quae et novimus.

Hinc Noëtiani velut ab eo avulsi ac propagati atque universi eius asseclae idem dogma profitentur, ac fanaticam illam doctrinam eiusmodi verbis affirmare conantur quibus Moysem deus affatus est: *Ego sum deus patrum vestrorum. Ego primus, et ego posterior. Non erunt tibi dii alteri etc.* Ex quibus ita colligebant: Nos ipsum novimus solum. Quare si veniens Christus natus est, idem ipse pater est et filius, idem denique deus est qui et semper fuit et in praesentia venit, ut scriptura declarat: *Hic est deus tuus. Non reputa-* Cap. II. Baruch. 3, 35—37.

Cap. II. — 1. *Correxi ἀφ' ὧν, quod postulat sententia. Libri habent ἀφ' ἧς.*

σθήσεται ἕτερος πρὸς αὐτόν· ἐξεῦρε πᾶσαν ὁδὸν ἐπιστήμης, καὶ ἔδωκεν αὐτὴν Ἰακὼβ τῷ παιδὶ αὐτοῦ, καὶ Ἰσραὴλ τῷ ἠγαπημένῳ αὐτοῦ· μετὰ ταῦτα ἐπὶ τῆς γῆς ὤφθη, καὶ τοῖς ἀνθρώποις συνανεστράφη. Ὁρᾷς, [2] φασὶ, πάλιν πῶς ἡ θεία γραφὴ ἡμᾶς συνετίζει, τοῦ μὴ ἄλλον καὶ ἄλλον θεὸν ἡγεῖσθαι, φάσκουσα ὅτι αὐτὸς θεός ἐστι μόνος ἐλθὼν, καὶ αὐτὸς πάλιν ὕστερον ὀφθείς; Πάλιν δὲ ἄλλῳ ῥητῷ κέχρηνται τούτῳ, ὡς λέγει, Ἐκοπίασεν Αἴγυπτος καὶ ἐμπόρια Αἰθιόπων, καὶ οἱ Σαβαεὶμ ἄνδρες ὑψηλοὶ ἐπὶ σὲ διαβήσονται, καὶ σοὶ δοῦλοι ἔσονται, καὶ πορεύσονται ὀπίσω σου δεδεμένοι χειροπέδαις, καὶ ἐν σοὶ προςκυνήσουσι, καὶ ἐν σοὶ προςεύξονται, ὅτι ἐν σοὶ θεός ἐστι, καὶ οὐκ ἔστι θεὸς πλὴν σοῦ· σὺ γὰρ εἶ θεὸς, καὶ οὐκ ᾔδειμεν, ὁ θεὸς τοῦ Ἰσραὴλ σωτήρ. Ὁρᾷς, φησὶ, πῶς αἱ θεῖαι γραφαὶ ἕνα θεὸν σημαίνουσι καὶ καταγγέλλουσιν αὐτὸν ἐμφανῆ; καὶ ὁμολογουμένως εἷς ἐστιν ὁ αὐτὸς, ἀεὶ ὤν. Καὶ τούτου ἕνεκα οὐ πολλοὺς θεοὺς λέγομεν, ἀλλ' ἕνα θεὸν τὸν αὐτὸν ἀπαθῆ, αὐτὸν πατέρα τοῦ υἱοῦ, αὐτὸν υἱὸν, καὶ πεπονθότα, ἵνα σώσῃ ἡμᾶς ἐν τῷ ἰδίῳ πάθει, καὶ οὐ δυνάμεθα ἄλλον λέγειν· δῆθεν ἀπὸ τοῦ ἐπιστάτου αὐτῶν μεμαθηκότες ταύτην τὴν ὁμολογίαν καὶ τὴν πονηρὰν ταύτην ὑπόνοιαν καὶ λυμαντικὴν μανίαν Εἶτα ἄλλα ῥητά φασιν εἰς σύστασιν ἑαυτῶν, ὡς ὁ αὐτῶν διδάσκαλος ἔλεγεν, ὅτι καὶ ὁ ἀπόστολος τούτοις μαρτυρεῖ τοῖς λόγοις. Ὧν οἱ πατέρες, ἐξ ὧν ὁ Χριστὸς τὸ κατὰ σάρκα, ὁ ὢν ἐπὶ πάντων θεὸς εὐλογητὸς εἰς τοὺς αἰῶνας, ἀμήν. Βούλονται δὲ διηγεῖσθαι μονοκώλως τοῦτον τὸν τρόπον, ὡς Θεόδοτος. Ἐκεῖνος μὲν φύσει ἀκροτάτως ἄνθρωπον ψιλὸν διηγησάμενος, οὗτος δὲ πάλιν ἄλλην ἀκρότητα μονοτύπως τὸν αὐτὸν πατέρα καὶ υἱὸν καὶ ἅγιον πνεῦμα ἐν σαρκὶ πεπονθότα καὶ γεννηθέντα ἡγησάμενος. Οὔτε οὖν ἐκεῖνοι οἱ ἀπὸ Θεοδότου τι ἐν ἀληθείᾳ ἔφασαν, οὔτε οὗτος ὁ Νοητὸς καὶ οἱ ἀπ' αὐτοῦ, ἀνόητος δὲ μᾶλλον τῇ δυνάμει, καθάπερ αἱ θεῖαι γραφαὶ ἀμφοτέρους καὶ πάντας τοὺς πεπλανημένους διελέγχουσι.

cf. Semler, Hist. Einl. zu S. J. Baumgarten's Unters. theol. Streitigkeiten (Halle, pag. 482. 1762), i. 217, i. 206, also p. 236, n. 235; Hippol. Noët. cc. 2, 3, 6, and cf. Westcott and Hort's note on Rom. ix. 5.

Κεφ. γ. Πάντη δὲ τῷ τὸν νοῦν εἰς θεὸν κεκτημένῳ, καὶ ἐν θείᾳ γραφῇ καὶ ἐν πνεύματι ἁγίῳ κατηυγασμένῳ εὐθυέλεγκτος ὁ αὐτῶν λόγος, καὶ πάσης ἀνοίας ἔμπλεως φαίνεται. Τόλμης γὰρ τὸ ἔργον, καὶ τυφλώσεως ἡ διάνοια, φάσκουσα τὸν αὐτὸν πατέρα ὄντα καὶ τὸν αὐτὸν υἱὸν, καὶ τὸν αὐτὸν πεπονθότα· ὡς καὶ ἀπὸ ὀρθοῦ λογισμοῦ κριθήσονται οἱ τὰ τοιαῦτα φάσκοντες. Πῶς γὰρ εἴη πατὴρ ὁ αὐτὸς καὶ υἱὸς ὑπάρχων; Εἰ γὰρ υἱὸς ὑπάρχει, πάντως τοῦ τινος υἱὸς εἴη ἀφ' οὗ γεγέννηται· εἰ δὲ πατήρ ἐστιν, ἑαυτὸν γεννᾷν ἀδύνατον. Πάλιν γὰρ τὸ

2. Libri habent φησί.

bitur alius ad ipsum. Invenit omnem viam scientiae, et dedit illam Iacob puero suo, et Israel dilecto suo. Post haec in terra visus est, et cum hominibus conversatus est. Ex his, inquiunt, animadvertere potes quemadmodum scriptura nos sapienter informet, ne alium atque alium deum arbitremur, cum illum deum esse solum asserit qui venerit quique postea sit visus. Alia praeterea ex sacris literis auctoritate contendunt. *Laboravit,* inquit, *Aegyptus et negotiatio Ae-* Isai. 45, 14.
thiopum, et Sabain viri sublimes ad te transibunt, et servi tui erunt. Et ambulabunt post te vincti manicis, et in te adorabunt, et in te deprecabuntur. Quoniam in te deus est, et non est deus praeter te. Tu enim es deus, et nesciebamus, deus Israel salvator. Vides, opinor, inquiunt, in scripturis unum indicari deum ac manifeste praedicari. Adeoque in confesso est unum illum esse ac semper existere. Ob idque non plures deos affirmamus, sed unum duntaxat deum, qui et pati nihil possit et idem filii pater sit ac filius, qui ideo passus sit, ut nos sua perpessione servaret, nec alium ab eo pronuntiare possumus. Quam quidem fidei professionem ac depravatam opinionem, vel pestiferam potius insaniam, a magistro didicerunt. Quinetiam alia scripturae verba ad errorem stabiliendum adferunt, quibus et eorumdem praeceptor utebatur. Nimirum his verbis apostolum suae opinioni suffragari: *Quorum sunt patres, ex quibus Christus secun-* Rom. 9, 5.
dum carnem, qui est super omnia deus benedictus in secula, Amen. Sic igitur simplex quiddam deo uniusque formae tribuunt, ac Theodotum imitantur. Nam ut iste ad unum extremum declinans, nudum hominem Christum esse disseruit, sic ille aliud ad extremum desciscens eundem esse patrem, filium et spiritum sanctum, uniusque personae statuit, et hunc ipsum passum ac natum existimavit. Sed neque Theodoti sectatores veri aliquid elocuti sunt, neque Noëtus aut Noëti discipuli, qui Anoëtus, hoc est insipiens, quod ad vim ingenii ac facultatem pertinent, potius est dicendus, cum utrosque ac ceteros omnes a veritate aberrantes sacrae literae redarguant.

Quocirca qui mentem in deo defixam habeat, quique sacrarum Cap. III.
literarum ac spiritus sancti splendore illuminatus fuerit, ei tota illorum doctrina cum facilis ad refellendum, tum amentia omni plena videatur. Est enim insignis cuiusdam hoc audaciae facinus, ac magnopere excaecatam mentem illam oportet esse quae eundem patrem esse dicat et eundem filium, atque eundem denique esse passum. Quae qui garriunt, satis eos recta ipsa ratio discernet. Etenim qui fieri potest ut idem pater sit ac filius? Nam si filius est, necesse est alicuius sit filius, a quo sit genitus. Sin pater est, se ipsum generare nihil potest. Neque enim id ipsum, quod filius di-

καλούμενον υἱὸς ἑαυτὸν οὐκ ἐγέννησεν, ἀλλὰ ἐκ πατρὸς γεγέννηται. Καὶ ὢ τῆς τῶν ἀνθρώπων πολλῆς φρενοβλαβείας καὶ ἀκατορθώτου λογισμοῦ. Ἔστι γὰρ τὸ εὔλογον οὐχ ὡς οὗτοι δοξάζουσιν, ἀλλ' ὡς ἡ ἀλήθεια διὰ τῆς θείας γραφῆς ἡμῖν ὑποδείκνυσιν. Εὐθὺς γὰρ φάσκει ὁ κύριος, λέγων, Ἰδοὺ, συνήσει ὁ υἱός μου ὁ ἀγαπητὸς, ὃν ἠρέτισα, ὃν ἠγάπησεν ἡ ψυχή μου· θήσομαι τὸ πνεῦμά μου ἐπ' αὐτῷ. Καὶ ὁρᾷς πῶς μὲν φωνὴ πατρὸς δεικνύουσα φύσει υἱὸν, ἐφ' ᾧ καὶ τὸ πνεῦμα αὐτοῦ τίθησιν; Εἶτα δὲ αὐτὸς ὁ μονογενὴς φησι, Δόξασόν με, πάτερ, ἐν ῇ δόξῃ εἶχον παρὰ σοὶ πρὸ τοῦ τὸν κόσμον γενέσθαι. Ὁ δὲ λέγων, Πάτερ, δόξασόν με, οὐχ ἑαυτὸν πατέρα καλεῖ, πατέρα δὲ τὸν αὐτοῦ γινώσκει. Πάλιν δὲ ἐν ἄλλῳ τόπῳ, Ἦλθε φωνὴ ἀπ' οὐρανοῦ, ὅτι, Οὗτός ἐστιν ὁ υἱός μου, αὐτοῦ ἀκούετε. Καὶ οὐκ εἶπεν, Ἐγώ εἰμι ὁ υἱός μου, ἐμοῦ ἀκούσατε, οὐδὲ πάλιν, Γέγονα υἱὸς, ἀλλὰ, Οὗτος ὁ υἱός μου, αὐτοῦ ἀκούσατε. Καὶ τὸ εἰπεῖν, Ἐγὼ καὶ ὁ πατήρ μου ἕν ἐσμεν, οὐκ εἶπεν ὅτι, Ἐγὼ καὶ ὁ πατήρ μου εἷς εἰμι, ἀλλὰ, Ἐγὼ καὶ ὁ πατήρ μου ἕν ἐσμεν. Τὸ δὲ, Ἐγὼ καὶ ὁ πατὴρ, ὄντος τοῦ ἄρθρου τοῦ Ὁ καὶ τοῦ Καὶ ἀναμέσον, σημαίνει πατέρα φύσει πατέρα, καὶ υἱὸν φύσει υἱόν.

Κεφ. δ'. Καὶ πάλιν περὶ τοῦ ἁγίου πνεύματος, Ἐὰν ἀπέλθω, ἐκεῖνος ἔρχεται, τὸ πνεῦμα τῆς ἀληθείας. Πολὺ δὲ σαφέστατόν ἐστι τοῦτο τὸ, Ἐγὼ ὑπάγω, καὶ ἐκεῖνος ἔρχεται. Οὐκ εἶπεν, Ἐγὼ ὑπάγω, καὶ, Ἐγὼ ἔρχομαι, ἀλλὰ ἀπὸ τοῦ Ἐγὼ καὶ Ἐκεῖνος ἐσήμανεν ἐνυπόστατον τὸν υἱὸν, ἐνυπόστατον τὸ ἅγιον πνεῦμα. Καὶ πάλιν, Τὸ πνεῦμα τῆς ἀλη-
pag. 483. θείας τὸ ἐκ τοῦ πατρὸς ἐκπορευόμενον ἐκ τοῦ ἐμοῦ λήψεται· ἵνα δείξῃ ἐνυπόστατον τὸν πατέρα, ἐνυπόστατον τὸν υἱὸν, ἐνυπόστατον τὸ ἅγιον πνεῦμα. Πάλιν δὲ ἐπὶ τοῦ Ἰορδάνου ἄνωθεν ὁ πατὴρ ἐλάλει, υἱὸς δὲ ἐν Ἰορδάνῃ κατήρχετο, τὸ δὲ πνεῦμα μεσαίτατον ἐν εἴδει περιστερᾶς ἐφαίνετο καὶ ἦλθεν ἐπ' αὐτὸν, καιτοί γε τοῦ πνεύματος μὴ φορέσαντος σάρκα, μὴ ἐνδυσαμένου σῶμα. Διὰ δὲ τὸ μὴ νομίζεσθαι συναλιφὴν εἶναι πρὸς τὸν υἱὸν τὸ ἅγιον πνεῦμα, σχηματίζεται ἐν εἴδει περιστερᾶς, διὰ τὸ ὀπτάνεσθαι φύσει ἐνυπόστατον τὸ πνεῦμα. Πόθεν δὲ ἀλλαχόθεν οὐκ ἔχομεν δεῖξαι κατὰ τούτων τῶν τὴν φρενοβλάβειαν ἑαυτοῖς ἐγκισσησάντων; Εἰ μὲν γὰρ ἀληθεύει ἡ αὐτῶν διάνοια καὶ ὁ λόγος ὁ ἕωλος καὶ μὴ ἔχων σύστασιν, μήτε δύναμιν, μήτε συνέσεως λογισμὸν ἢ ἔμφασιν, ἄρα οὖν ἐκβλητέαι εἰσὶν αἱ γραφαὶ, αἱ γραφαὶ αἱ πάντη μὲν πατέρα πατέρα γινώσκουσαι, καὶ υἱὸν υἱὸν, καὶ ἅγιον πνεῦμα ἅγιον πνεῦμα.

Ἀλλὰ τί φάσκεις, ὦ οὗτος; Μὴ πολυθεΐαν ἡγήσοιντο οἱ τὸ σέβας ἀληθινῶς τῇ τριάδι προσφέροντες, οἵτινές εἰσιν υἱοὶ τῆς ἀληθείας

citur, se ipsum genuit, sed est a patre genitus. O incredibilem hominum amentiam et absurdum abhorrensque iudicium! Est enim profecto rationi consentaneum, non quod opinantur isti, sed quod per sacras literas veritas ipsa demonstrat. Sic enim dominus loquitur: *Ecce intelliget filius meus dilectus, quem elegi, quem dilexit* Isai. 42, 1.
anima mea: ponam spiritum meum in ipso. Ubi vox illa, *Patris,* eum qui proprie sit filius manifeste declarat, in quo etiam spiritum suum collocat. Deinde unigenitus ipse filius, *Glorifica me, pater,* inquit, Ioann 17, 5.
ea gloria quam habuit apud te priusquam mundus fieret. Iam vero qui sic loquitur, *Pater, glorifica me,* non sese patrem appellat, sed suum patrem agnoscit. Item alio in loco: *Venit vox de coelo: Hic* Matth. 17, 5.
est filius meus, ipsum audite. Non dixit, *Ego sum filius meus, audite me,* neque, *Natus sum filius,* sed, *Hic est filius meus, ipsum audite.* Praeterea cum dixit, *Ego et pater unum sumus,* non ita locutus est, *Ego et pater meus unus sum,* sed, *Ego et pater unum* Ioann. 10, 30.
sumus. Haec enim vocabula, *Ego et pater,* addito articulo ὁ, et interiecta copula *et,* non obscure declarant patrem proprie esse patrem, filiumque proprie filium.

Cap. IV.

De spiritu vero sancto sic loquitur, *Si ego abiero, ille veniet,* Ioann. 16, 7.
spiritus veritatis. Sed multo illud apertius, *Ego vado, et ille venit.* Neque vero dixit, *Ego vado, et ego venio.* Sed hisce vocibus, *Ego,* et *Ille,* tam filium hypostasi sua constare quam spiritum sanctum itidem sua demonstrat. Item: *Spiritus veritatis qui a patre procedit, de meo accipiet.* Quibus verbis ostendit et hypostasin patri propriam et filio et spiritui sancto esse tribuendam. Ad haec pater ad Iorda- Matth. 3.
nem de coelo locutus est, filius vero ad Iordanem descendit, spiritus sanctus inter utrumque sub columbae specie apparuit, et in hunc illapsus est. Quamquam spiritus sanctus minime carnem suscepit, neque corpus induit. Sed ne filius cum spiritu sancto coalescere confundique crederetur, sub imagine columbae videndum se praebuit, uti nimirum spiritus cum singulari ac propria persona cerneretur. Denique quam multis illud argumentis adversus istos demonstrare possumus, qui insanam hanc opinionum amentiam in animo suo conceperunt! Etenim si verus est illorum sensus et oratio, absurda ea quidem minimeque cohaerens, ac nulla vi neque prudenti ratiocinatione, ac ne minima quidem huius significatione praedita, consequens est ut omnes scripturae repudientur, quae ubique et patrem esse patrem, et filium filium, spiritum sanctum spiritum sanctum agnoscunt.

Tu vero, mi homo, quid tandem adfers? An illud vereris, ne deorum illi multitudinem invehant, qui sacrosanctae triadi verum

καὶ τῆς μόνης καθολικῆς ἐκκλησίας; Καὶ οὐχ οὕτως. Τίς γὰρ [1] *οὐχ αἱρεῖ ἕνα θεὸν εἶναι τῆς ἀληθείας πατέρα παντοκράτορα, ἐξ οὗπερ ὁ μονογενὴς υἱὸς ἐν ἀληθείᾳ θεὸς λόγος, ἐνυπόστατος λόγος γεγεννημένος ἀληθινὸς ἐξ αὐτοῦ ἀνάρχως καὶ ἀχρόνως; Διὸ ἕνα θεὸν ἀσφαλῶς κηρύττει ἡ ἐκκλησία, πατέρα καὶ υἱόν· διότι, Ἐγὼ ἐν τῷ πατρὶ, καὶ ὁ πατὴρ ἐν ἐμοὶ, καὶ οἱ δύο ἕν ἐσμεν, τουτέστι μία θεότης, καὶ ἓν θέλημα, καὶ μία κυριότης. Ἐξ αὐτοῦ δὲ τοῦ πατρὸς καὶ τὸ πνεῦμα ἐκπορεύεται ἐνυπόστατον ὂν, καὶ ἐν ἀληθείᾳ τέλειον πνεῦμα τὸ τῆς ἀληθείας, τὸ φωτίζον τὰ πάντα, τὸ ἐκ τοῦ υἱοῦ λαμβάνον, τὸ πνεῦμα τῆς ἀληθείας, τὸ πνεῦμα τοῦ πατρὸς, τὸ πνεῦμα τοῦ Χριστοῦ. Διὸ μίαν θεότητα οἶδεν ἡ ἐκκλησία, εἷς θεὸς ὁ τῆς ἀληθείας πατὴρ, πατὴρ τέλειος ἐνυπόστατος, υἱὸς τέλειος ἐνυπόστατος, καὶ ἅγιον πνεῦμα τέλειον ἐνυπόστατον, μία θεότης, μία δεσποτεία, μία κυριότης. Διὸ πάντη σαφῶς κεκηρύχασιν αἱ θεῖαι γραφαὶ ἕνα θεὸν, τουτέστι τριάδα ὁμοούσιον, ἀεὶ οὖσαν τῆς αὐτῆς ταυτότητος, τῆς αὐτῆς κυριότητος.*
pag. 484. *Καὶ διέπεσεν ἐκ πανταχόθεν ὁ τῆς ἀνοησίας σου λόγος, ὦ ἀνόητε. Τοίνυν τούτων εἰρημένων καὶ ἀντιθέτως πρὸς τὰς τοῦ προειρημένου Νοητοῦ φωνὰς σκοπεῖν ἐξ ὑπαρχῆς χρὴ, καὶ οὕτως τὰ αὐτὰ κεφάλαια ἀνατρέπειν.*

Κεφ. ε΄. *Πρῶτον μὲν οὖν ἐπειδὴ παρήγαγε τὸ κεφάλαιον ὅτι, Εἷς θεὸς, ἐξ οὗ τὰ πάντα, καὶ ἡμεῖς εἰς αὐτὸν, καὶ εἷς κύριος Ἰησοῦς Χριστὸς, καὶ ἡμεῖς δι' αὐτοῦ, δι' ὃν τὰ πάντα, καὶ ἡμεῖς δι' αὐτοῦ, οὐχ ὁρᾷς ὅτι, Εἷς θεὸς, ἐξ οὗ τὰ πάντα, καὶ ἡμεῖς εἰς αὐτὸν, πῶς τὴν μίαν ἀρχὴν σημαίνει, ἵνα μὴ εἰς πολλὰς ἀρχὰς τρέψῃ τὴν διάνοιαν καὶ εἰς πολυθεΐαν ἀγάγῃ πάλιν τὸν πλανηθέντα νοῦν τῶν ἀνθρώπων ἐπὶ τῇ κενοφωνίᾳ τῆς πολυθεΐας; Ὁρᾷς γὰρ πῶς ἑνὶ ὀνόματι κέχρηται, καὶ μιᾷ ὀνομασίᾳ, οὐκ ἀρνούμενος τὸν μονογενῆ θεόν. Οἶδε γὰρ αὐτὸν κύριον, καὶ οἶδεν αὐτὸν θεὸν, διὸ ἀσφαλιζόμενος λέγει, Καὶ εἷς κύριος Ἰησοῦς Χριστὸς, δι' οὗ τὰ πάντα. Καὶ ἐπὶ μὲν τοῦ κύριος τοῦτο λέγων οὐ τὸν αὐτὸν ἐσήμανε πατέρα εἶναι καὶ τὸν αὐτὸν υἱὸν, ἀλλὰ ἔδειξε τὸν μὲν πατέρα πατέρα ὄντα, τὸν δὲ υἱὸν υἱὸν ἀληθῶς, ἐπειδὴ τὸ εἰπεῖν, Εἷς θεὸς, ἐπὶ τῷ πατρὶ οὐχ ὡς ἀρνούμενος ἐπὶ τῷ υἱῷ τὸ εἶναι θεὸς (εἰ γὰρ μὴ θεὸς, οὔτε κύριος· ἐπειδὴ δὲ κύριος, καὶ θεὸς), ἀλλ' εἰς μίαν ὀνομασίαν ἀνάγειν ἀναγκαζόμενος ὑπὸ τοῦ ἁγίου πνεύματος ὁ ἅγιος ἀπόστολος ἔφραζεν ἡμῖν τὴν πίστιν, ἐναργῶς ἕνα κύριον σημαίνων, ἄρα γε καὶ θεόν. Ἀλλὰ μηδεὶς νομιζέτω, ἐπειδὴ λέγει ἕνα*

Cap. IV. — 1. οὐχ αἱρεῖ *ego (quam magis placeat* οὐ χωρεῖ*).* οὐ χαίρει *libri.* Οὐκ ἐρεῖ *suspicio Petavii fuit.*

sincerumque cultum adhibent, quique veritatis et unius catholicae ecclesiae sunt filii? Vehementer erras. Quis enim non asserat unum deum esse veritatis patrem omnipotentem, a quo unigenitus filius vere progressus est, deus verbum, verbum, inquam, in propria persona consistens, et a patre revera sine ullo initio ac tempore genitum? Unum itaque deum caute ac prudenter ecclesia praedicat, patrem videlicet et filium. *Quoniam*, inquit, *ego in patre, et pater* Ioann.14,10.
in me est, et, *Ambo unum sumus,* hoc est una divinitas, et voluntas Id. 10, 30.
una, et una dominatio. Ceterum ex patre spiritus quoque procedit, suapte constans hypostasi, ac re ipsa perfectus veritatis spiritus, qui *illuminat omnia, qui a filio accipit, veritatis,* inquam, *spiritus, spi-* Ioann.16,14.
ritus patris, spiritus Christi. Itaque unam ecclesia divinitatem agnoscit, estque deus unus veritatis pater, perfectus pater, hypostasi sua praeditus, perfectus filius, suam peraeque habens hypostasin, perfectus denique spiritus sanctus, et suam sibi hypostasin vindicans, una divinitas, unaque dominatio. Quibus de caussis deum unum sacrae ubique literae pronuntiant, nimirum consubstantialem triadem ac semper existentem, cui eadem identitas idemque dominatus attribuitur. Ex quo tua illa, stolidissime mortalium, inepta ratio concidit. His animadversis adversus illas Noëti voces opponendum modo aliquid et ab ipso principio repetendum est, atque eo modo singula capita refellenda.

Quod igitur inprimis illud obiicit: *Unus est deus ex quo omnia,* Cap. V.
et nos in ipsum, et unus dominus Iesus Christus, et nos per ipsum, 1. Cor. 8, 6.
propter quem omnia, et nos per ipsum, nonne iis ipsis verbis, *Unus deus ex quo omnia, et nos in ipsum,* unum significari principium vides? Ne animum nostrum ad plura cogitanda principia converteret, ac mortalium ingenia vanissima illa deorum multitudine decepta rursus ad eandem asserendam copiam adduceret. Vides enim quemadmodum uno nomine sit usus et appellatione una, non ut unigenitum deum abnegaret. Dominum quippe esse illum intelligit, eundemque deum. Ideo singulari quadam cautione illud adiecit, *Et unus dominus Iesus Christus, per quem omnia.* Quod cum voci illi, *Dominus,* praecipue affinxit, non eundem indicavit esse patrem, eundemque filium, sed eum qui pater est esse patrem, qui filius, vere filium esse declaravit. Nam et cum de patre loquens unum deum esse dixit, nequaquam filio divinitatem detraxit. Nam si deus non est, neque dominus est, cum autem dominus sit, deus quoque sit oportet. Verum apostolus, ut ad unam appellationem reduceret, a spiritu sancto compulsus ita fidei mysterium nobis aperuit, ut unum dominum, proindeque et deum, aperte monstraret. Nec est tamen, quod

καὶ ἕνα, μὴ ἄρα παρέλιπε τὸν ἀριθμὸν τῆς τριάδος, ἐπειδὴ οὐκ ὠνόμασε τὸ ἅγιον πνεῦμα. Ὀνομάσας γὰρ πατέρα καὶ υἱὸν Θεὸν καὶ κύριον, ἐν πνεύματι ἁγίῳ ὠνόμασεν. Οὐ γὰρ ἐπειδὴ εἶπεν, Εἷς Θεὸς, περὶ πατρὸς, ἐξ οὗ τὰ πάντα, ἠρνήσατο αὐτὸν τὸ εἶναι κύριον, οὐδὲ πάλιν ἐπειδὴ εἶπε, Καὶ εἷς κύριος Ἰησοῦς Χριστὸς, ἠρνήσατο αὐτὸν τὸ εἶναι Θεόν· ἀλλὰ καθάπερ ἐπὶ τῷ πατρὶ ἠρκέσθη ἐπὶ τῇ μόνῃ ὀνομασίᾳ, λέγων, Εἷς Θεὸς, σὺν δὲ τῷ Θεὸς δηλονότι ἐστὶ καὶ Κύριος, οὕτω καὶ ἐπὶ τῷ υἱῷ ἠρκέσθη [1] τὸ, Εἷς κύριος, σὺν δὲ [2] τῷ, Εἷς κύριος, σύνεστι καὶ τὸ Θεός. Λέγων οὖν περὶ πατρὸς καὶ υἱοῦ οὐ [3] κοῦφος ἦν ἀπὸ πνεύματος ἁγίου, ἀλλὰ ἐν πνεύματι ἁγίῳ, ὡς ἔφην, pag. 486. ἐφθέγγετο. Εἴωθε δὲ ἀεὶ τὸ ἅγιον πνεῦμα οὐ σύστασιν ἑαυτοῦ [4] ποιούμενον, ἵνα μὴ ἡμῖν ὑπογραμμὸν δώσει τοῦ περὶ ἑαυτῶν καὶ ἡμᾶς τὴν σύστασιν ποιήσασθαι. Ἄρα οὖν εἷς Θεὸς ὁ πατὴρ, ἐξ οὗ τὰ πάντα, καὶ εἷς κύριος Ἰησοῦς Χριστὸς, δι' οὗ τὰ πάντα, ἢ δι' ὃν τὰ πάντα, καὶ ἓν τὸ ἅγιον πνεῦμα, οὐκ ἀλλότριον Θεοῦ, ἐνυπόστατον δὲ ὂν, διότι πνεῦμα Θεοῦ, καὶ πνεῦμα ἀληθείας, καὶ πνεῦμα πατρὸς, καὶ πνεῦμα Χριστοῦ.

Κεφ. ϛʹ. Εἰ δὲ περὶ τοῦ, Ἐκοπίασεν Αἴγυπτος καὶ ἐμπορία Αἰθιόπων, [1] καὶ οἱ Σαβαεὶμ ἄνδρες ὑψηλοὶ ἐπὶ σὲ διαβήσονται, καὶ [2] τοῦ, Σὺ εἶ ὁ Θεὸς, καὶ οὐκ ᾔδειμεν, καί σοι δοῦλοι ἔσονται, καὶ πορεύσονται ὀπίσω σου δεδεμένοι χειροπέδαις, καὶ ἐν σοὶ προσεύξονται, ὅτι ἐν σοὶ Θεός ἐστι, καὶ οὐκ ἔστι Θεὸς πλήν σου· σὺ γὰρ εἶ ὁ Θεὸς, καὶ οὐκ ᾔδειμεν, ὁ Θεὸς τοῦ Ἰσραὴλ σωτήρ, Οὐχ ὁρᾷς, φησὶν, ὅτι εἷς Θεός ἐστιν; Ἐκ τῶν τοιούτων γὰρ ῥητῶν, ὡς ὑπεδείξαμεν, οὐ νοῶν τὰ εἰρημένα, ἀλλὰ πανούργως περικόπτων τὰς γραφὰς, λοξὰ μὲν διηγούμενος, ἀνθυπερβάτως δὲ εἰσάγων τοὺς λόγους, οὐκ ἀκολούθως καὶ περὶ πόδα φθέγγεται, οὔτε καθ' εἱρμὸν διηγεῖται ὁ Νοητὸς ἢ οἱ ἐξ αὐτοῦ Νοητιανοὶ νοοῦσιν. Ὥςπερ γε κακῷ κυνὶ ὄνομα Λέων, καὶ τοὺς μηδὲ ὄντως ὁρῶντας καλοῦσι πολλὰ βλέποντας, καὶ τὰς χολὰς γλυκείας φάσκουσι, καὶ τὸ ὄξος μέλι τινὲς ἐπωνόμασαν, καὶ τὰς Ἐριννύας Εὐμενίδας τινὲς ἐπωνόμασαν, οὕτω καὶ οὗτος καὶ οἱ ἀπ' αὐτοῦ Νοητοῦ ἔχων ὄνομα ἀνόητος ὑπάρχει καὶ οἱ ἐξ αὐτοῦ ἀνοητοῦντες, μηδὲ ὅλως τὴν ἀκολουθίαν ὧν [3] φάσκουσι καὶ ὧν προβάλλονται νοοῦντες, ὡς καὶ πληροῦσθαι ἐπ' αὐτοὺς τὸ εἰρημένον ὑπὸ τοῦ ἁγίου ἀποστόλου, Μήτε ἃ λέγουσι νοοῦντες, μήτε περὶ τίνων διαβεβαιοῦνται.

Cap. V. — 1. *Pelavius suspicatus est* τῷ.
2. *Vulgo* τό.
3. *An* κωφός?
4. *Pelavius suspicatus est* ποιεῖν.

Cap. VI. — 1. καὶ *om. libri vulgo. Adieci vero cum etiam supra cap. 2. extare viderem.*

quisquam existimet, pro eo quod *unum* atque *unum* solummodo dixerit, aliquid de triadis numero esse detractum; quasi spiritus sancti mentionem nullam fecerit. Etenim cum patrem et filium deum nominavit, ac dominum, in spiritu sancto utique nominavit. Nam neque cum de patre agens, *Unus deus*, inquit, *ex quo omnia*, esse illum dominum negavit. Neque contra subiiciens, *Et unus dominus Iesus Christus*, hunc esse deum inficiari voluit. Sed quemadmodum in patre una appellatione contentus hoc tantum dixit, *Unus deus*, qua voce etiam altera, *Dominus*, continetur, ita in filio, *Unus dominus*, duntaxat expressit, qua cum voce dei quoque est appellatio coniuncta. Quare cum de patre ac filio disserebat apostolus, non spiritu sancto vacuus erat, sed in eodem loquebatur, ut diximus. Solet autem spiritus sanctus sui minime commendationem facere, ne exemplum nobis commendandi nostri praebuisse videatur. Est igitur unus deus pater ex quo omnia, et unus dominus Iesus Christus, per quem omnia, sive propter quem omnia, et unus spiritus sanctus, a deo nequaquam alienus, qui propriam habet personam; quoniam *Dei spiritus est et veritatis spiritus, spiritus*, inquam, *patris ac Christi*.

Quod autem nobis istud obiicit, *Laboravit Aegyptus et negotiatio Aethiopum, et Sabaim viri sublimes ad te transibunt*, item illud, *Tu es deus, et nesciebamus, et tibi servierunt, et ibunt post te vincti manicis, et in te orabunt, quoniam in te deus est, et non est deus praeter te, tu enim es deus, et nesciebamus, deus Israel salvator*, vides, inquit, ex iis, quemadmodum unus duntaxat sit deus? His enim scripturae locis potissimum fretus, ut ante diximus, nec illorum sensum intelligens, sed sacras literas fraudulenter amputans, atque et obliquas narrationes instituens, et sacras auctoritates perverso ordine ac nonnullis praeteritis in medium afferens, nihil consequenter ac seriatim eloquitur, nihil denique penitus intelligit tam Noëtus, quam qui ab eo Noëtiani dicuntur. Atque ut pessimo cuidam cani nonnunquam leonis nomen imponitur, ac caecos multa videntes appellant, et fel dulce nominatur, et acetum mel a quibusdam vocatum est, ac denique Furias nonnulli Eumenidas nuncuparunt, ita in illis accidisse videmus, ut et Noëtus, hoc est intelligens, appellaretur ineptus et insipiens homo, et hoc ipsum nomen perinde inepti illius discipuli consequerentur. Qui quidem eorum quae dicunt ac palam proponunt rationem consequentiamque non intelligunt, ut in his apostoli dictum illud impleatur: *Nec quae dicunt intelligentes, nec de quibus asserunt*.

Cap. VI. Isai. 45, 14.

1. Tim. 1, 7.

2. *Vulgo* τό.

3. φάσκουσι *emendarunt Cornarius et Petavius. Libri vulgo habent.* φάσκει.

Κεφ. ζ. Ὁρᾶτε γὰρ, ὦ ἄνδρες ἀδελφοὶ, πῶς ἀνώτερον εἶπεν ἡ θεία γραφὴ, μᾶλλον δὲ αὐτὸς ὁ κύριος, ὡς ἔχει ἡ ἀρχὴ τοῦ κεφαλαίου (ὅθεν καὶ δεικτέον ἐπὶ πάσης ἐν αὐτῷ τῷ κεφαλαίῳ ἀληθείας τε καὶ ὑποθέσεως) ὅτι, Ἐρωτήσατέ με περὶ τῶν υἱῶν μου, καὶ τῶν θυγατέρων, καὶ τῶν ἔργων τῶν χειρῶν μου ἐντείλασθέ μοι. Ἐγὼ ἐποίησα, φησὶ, τὴν γῆν, καὶ ἄνθρωπον ἐπ' αὐτῆς, ἐγὼ τῇ χειρί μου ἐστερέωσα τὸν οὐρανὸν, ἐγὼ πᾶσι τοῖς ἄστροις ἐνετειλάμην, ἐγὼ ἤγειρα μετὰ δικαιο-
pag. 486. σύνης βασιλέα, καὶ πᾶσαι αἱ ὁδοὶ αὐτοῦ εὐθεῖαι· οὗτος οἰκοδομήσει τὴν πόλιν μου, καὶ τὴν αἰχμαλωσίαν ἐπιστρέψει, οὐ μετὰ λύτρων, οὐ μετὰ δώρων, εἶπε κύριος Σαβαώθ. Εἶτα λοιπὸν, Ἐκοπίασεν Αἴγυπτος καὶ αἱ ἐμπορίαι Αἰθιόπων, καὶ τὰ ἑξῆς, ὅτι ἐν σοὶ θεός ἐστιν. Ἐν τίνι δὲ φαίημεν, ἀλλ' ἢ ἐν τῷ πατρῴῳ λόγῳ; Καὶ γὰρ ἀληθῶς θεὸς λόγος ὁ υἱὸς, καὶ ἐν αὐτῷ ὁ πατὴρ γινώσκεται· ὡς λέγει, Ὁ ἑωρακὼς ἐμὲ ἑώρακεν τὸν πατέρα, καὶ, Ἐγὼ ἐδόξασά σου τὸ ὄνομα ἐπὶ τῆς γῆς. Εἶτα πάλιν ὅτι, Ἐγὼ ἤγειρα βασιλέα. Οὐχ ὁρᾷς ὅτι φωνή ἐστι πατρὸς ἡ ἰδιάζουσα, ἡ ἐγείρουσα ἐξ αὐτῆς τὸν ἀληθινὸν λόγον βασιλέα ἐπὶ πάντας, τὸν ἐξ αὐτοῦ ἀληθινῶς γεννηθέντα ἀνάρχως καὶ ἀχρόνως; ὃς καὶ ἤγειρε πάλιν αὐτὸν τὸν βασιλέα, ὡς λέγει ὁ ἅγιος ἀπόστολος, φάσκων, Εἰ δὲ τὸ πνεῦμα τοῦ ἐγείραντος Χριστὸν ἐκ νεκρῶν οἰκεῖ ἐν ὑμῖν, ὁ ἐγείρας Χριστὸν ἐκ νεκρῶν ζωοποιήσει καὶ τὰ θνητὰ σώματα ὑμῶν, διὰ τοῦ ἐνοικοῦντος πνεύματος αὐτοῦ ἐν ὑμῖν· ὅπως συνᾴδῃ τὰ προφητικὰ τοῖς ἀποστολικοῖς, καὶ τὰ ἀποστολικὰ τοῖς εὐαγγελικοῖς, καὶ τὰ εὐαγγελικὰ τοῖς ἀποστολικοῖς, καὶ τὰ ἀποστολικὰ τοῖς προφητικοῖς. Εἶτα, Ἤγειρα βασιλέα· καὶ ὧδε ὁ ἐγείρων Χριστὸν ἐκ νεκρῶν. [1] Τὸ δὲ, Ἐν σοὶ θεός ἐστιν, ὡς μυστηριωδῶς τὰ πάντα καὶ θαυμασίως διηγεῖται ἡ θεία γραφή. Ὥςπερ γὰρ ἐν ναῷ [2] ἐν σαρκὶ προεωρᾶτο, καὶ προκατηγγέλλετο τῇ τῶν ἀνθρώπων ἐλπίδι, διὰ τῆς πρὸς τὸν θεὸν ἐπιστροφῆς ἡ θεότης. Ὁ γὰρ υἱὸς τοῦ θεοῦ θεὸς λόγος ὡς ἐν πόλει ἁγίᾳ καὶ ἐν ναῷ ἁγίῳ, τουτέστιν ἐν τῇ ἁγίᾳ ἐνανθρωπήσει καὶ ἐνσάρκῳ παρουσίᾳ, θεὸς ὢν κατοικῶν ἐν ναῷ ἁγίῳ λέγει, Λύσατε τὸν ναὸν τοῦτον, καὶ ἐν τρισὶν ἡμέραις ἐγερῶ αὐτόν. Διότι μυστικῶς τὰ πάντα οἰκονομεῖ [3] θεός. Λόγος ἀποσταλεὶς ἀπὸ πνεύματος ἐν σαρκὶ, καὶ σύνδεσμον ἀγάπης δεικνὺς, ἐφέλκεται, καὶ σμικρύνας ἑαυτὸν μέγας ὢν θεὸς, αὐτὸς ὁ λόγος, ἐκ παρθένου διὰ πνεύματος ἁγίου γεννηθεὶς υἱὸς θεοῦ, εἷς ὢν, ἑαυτὸν σαρκὶ καὶ πνεύματι ἕνα τελέσας, ὡς λέγει, Ὁ καταβὰς αὐτός ἐστι καὶ ὁ ἀναβὰς, ὁ υἱὸς τοῦ ἀνθρώπου, ὁ ὢν ἐν τῷ οὐρανῷ.

Note this strangely mixed quotation

Cap. VII. — 1. *Vulgo* ὁ δὲ. *in libris, adiciendam esse viderunt iam*
2. ἐν *praepositionem, quae desideratur Cornarius atque Petavius.*

Animadvertite enim, fratres carissimi, quid ante scriptura dixerit, seu potius dominus ipse, ut initio capitis scriptum est. Unde ex verissima illa, quae in toto capite est, narratione argumentoque, Christiana fides est commonstranda. Sic enim ait: *Interrogate me de filiis meis et filiabus, et de operibus manuum mearum mandate mihi. Ego feci*, inquit, *terram, et hominem in ipsa. Ego manu mea fundavi coelum, ego omnibus stellis praecepi, ego suscitavi cum iustitia regem, et omnes viae eius rectae. Iste aedificabit civitatem meam, et captivitatem convertet: non cum pretio, non cum muneribus, ait dominus exercituum.* Deinde subdit, *Laboravit Aegyptus et negotiationes Aethiopum*, et cetera. *Quoniam in te deus est.* In quo vero alio quam in paterno verbo deum inesse dicemus? Vere quippe deus verbum filius est, in eoque cognoscitur pater, quemadmodum ipse testatur: *Qui vidit me, vidit et patrem.* Item: *Ego glorificavi nomen tuum in terra.* Deinde: *Ego suscitavi regem.* In quo nonne propriam patris vocem agnoscis, quae verum ex sese verbum excitans regem omnium constituit, eum scilicet quem vere ex se sine ullo initio ac tempore genuit? Qui quidem eundem rursus regem excitavit, ut apostolus his verbis expressit: *Quodsi spiritus eius qui suscitavit Christum a mortuis habitat in vobis; qui suscitavit Christum a mortuis, vivificabit et mortalia corpora vestra per inhabitantem spiritum suum in vobis.* Ut et prophetarum oracula cum apostolicis, et apostolica cum evangelicis, et evangelica cum apostolicis, apostolica denique cum propheticis consentiant. Sequitur: *Suscitavi regem.* Et hic declaratur ille qui Christum a mortuis excitavit. At cum dicit, *In te deus est*, quanto cum mysterio, quamque admirabiliter omnia scriptura sacra proponit? Etenim in carne velut in templo quodam praevidebatur atque hominum spei per conversionem ad deum ostendebatur divinitas. Siquidem dei filius ac deus ipse verbum, quasi in sancta quadam urbe religiosoque templo, nimirum in assumpta hominis natura et incarnatione deus existens, in sanctissimo inquam templo habitans ita loquitur: *Solvite templum hoc, et in tribus diebus excitabo illud.* Quoniam per mysterium administrat omnia cum carne missus a spiritu deus verbum, atque arctissimum caritatis nexum ostendens allicit, cum se praesertim extenuavit magnus ipse deus, verbumque de virgine interventu spiritus sancti genitus dei filius, qui unus atque idem sese carne spirituque perfecit. Quo illud pertinet: *Qui descendit, ipse est et qui ascendit filius hominis, qui est in coelo.*

Cap. VII. Isai. 45, 11 sqq. Ioann. 14, 9. Ioann. 17, 4. Isai. 45, 13. Rom. 8, 11. Isai. 45, 13. Isai. 45, 14. Ioann. 2, 19. Ioann. 3, 13.

3. *Vulgo sine distinctione* θεὸς λόγος ἀποσταλεὶς *cett.*

Κεφ. η'. Τί οὖν ἐρεῖ Νοητὸς ἐν τῇ αὐτοῦ ἀνοησίᾳ; Μὴ ἐν τῷ οὐρανῷ σὰρξ ἦν; Δηλονότι οὐκ ἦν. Πῶς οὖν ὁ καταβὰς ἐξ οὐρανοῦ αὐτός pag. 487. ἐστιν ὁ ἀναβάς; ἀλλ' ἵνα τὸν κατελθόντα λόγον σημάνῃ οὐ κάτωθεν ὄντα, ἀλλὰ ἄνωθεν κατελθόντα. Ἐπεὶ δὲ ἐνηνθρώπησεν ἐν σαρκὶ, οὐκ ἀπὸ σπέρματος ἀνδρὸς, ἐκ πνεύματος δὲ καὶ σαρκὸς, ἐτελείωσε τὴν αὐτοῦ οἰκονομίαν. Διὰ τοῦτο μίαν ἑνότητα σημαίνων τῆς τοῦ λόγου συνενώσεως καὶ τῆς ἀνθρωπήσεως φάσκει τὸν ἄνωθεν ἥκοντα ἄνω ἀνιέναι ἐν τελειώσει θεότητος. Καὶ γὰρ νῦν ὁ μὴ ὢν ποτε σάρξ ἐστιν ἐκ πνεύματος καὶ παρθένου, ὁ προσενεχθεὶς πατρὶ τέλειος λόγος, ὃς πρὸ τούτου ἐν οὐρανῷ οὐκ ἦν σάρξ. Τί οὖν ἦν ὁ ἐν οὐρανῷ; ἀλλὰ λόγος ὁ ἀπὸ οὐρανοῦ ἀποσταλεὶς, ἔχων τὴν εἰς μίαν θεότητα ἕνωσιν, κατὰ δύναμιν πατρὸς συνηνωμένην, ἵνα δείξῃ ὅτι ἐπὶ γῆς καὶ οὐρανοῦ ὁ αὐτὸς θεὸς λόγος ὑπῆρχεν, ἄτρεπτος ὢν καὶ ἀναλλοίωτος. Λόγος γὰρ ἦν θεὸς, ἦν ἀεὶ, πνεῦμα ἦν, δύναμις ἦν, [1] ὃς τὸ κοινὸν ὄνομα καὶ παρὰ ἀνθρώποις χωρητὸν ἀνελάμβανεν εἰς ἑαυτὸν, οὕτω καλούμενος υἱὸς ἀνθρώπου, υἱὸς ὢν θεοῦ, καὶ ἐν προφήταις [2] προὼν ὀνομάζετο ὅπερ οὔπω ἐν σαρκὶ ἦν, διὰ τὸ μέλλον ἐν αὐτῷ τελειοῦσθαι. Ὡς καὶ Δανιὴλ ἔφη, Εἶδον ὡς υἱὸν ἀνθρώπου ἐρχόμενον ἐπὶ τῶν νεφελῶν. Διὸ δικαίως ἐν οὐρανῷ τῷ ὀνόματι [3] τούτῳ τὸν λόγον [4] εἶδε πνεύματι ἁγίῳ ὁ προφήτης υἱὸν ὑψίστου ἀποκαλῶν. Διὸ τὰ πρῶτα ὕστερα σημαίνων ὁ μονογενὴς φάσκει, Οὐδεὶς ἀναβέβηκεν εἰς τὸν οὐρανὸν, εἰ μὴ ὁ ἐκ τοῦ οὐρανοῦ καταβὰς, ὁ υἱὸς τοῦ ἀνθρώπου· οὐχ ὅτι δὲ ἄνω ἦν ἡ σὰρξ, ἀλλὰ ἄνωθεν κατήρχετο, τούτῳ τῷ λόγῳ μέλλων καλεῖσθαι.

Κεφ. θ'. Ἀλλὰ τί ἐστιν ὃ ἐρεῖς, ὦ οὗτος, ὅτι Οὗτος φησὶν, ὁ θεὸς ἡμῶν, καὶ οὐ λογισθήσεται ἄλλος; Καλῶς πάνυ ἔφη, ὡς καὶ ὁ ἀπόστολος διαβεβαιοῦται, λέγων, Ὧν οἱ πατέρες, ἐξ ὧν ὁ Χριστὸς τὸ κατὰ σάρκα, ὁ ὢν ἐπὶ πάντων θεός. Θαυμαστῶς διηγεῖται. Οὗτος γὰρ ὁ ὢν ἐστιν ἐπὶ πάντων θεός. Ἐπειδὴ γὰρ αὐτὸς διδάσκει ἡμᾶς λέγων, Πάντα μοι παρεδόθη ὑπὸ τοῦ πατρός μου, διὰ τοῦτο ἐπὶ πάντων ἐστὶ θεός. pag. 488. Οὕτω καὶ Ἰωάννης μαρτυρεῖ λέγων, Ὃ ἦν ἀπ' ἀρχῆς, ὃ ἀκηκόαμεν καὶ τοῖς ὀφθαλμοῖς ἑωράκαμεν, καὶ αἱ χεῖρες ἡμῶν ἐψηλάφησαν. Καὶ Misquot. πάλιν φησὶν ἐν τῇ Ἀποκαλύψει, Ὁ ὢν ἀπ' ἀρχῆς, καὶ ὁ ἐρχόμενος

Cap. VIII. — 1. ὃς cod. Rhedig. Vulgo ὡς. 2. Libri πρὸ ὤν. 3. Libri τοῦτον.

Quid ad haec Noëtus cum sua stoliditate atque amentia potest obiicere? Num in coelo caro ante versabatur? Minime profecto. Quomodo igitur qui descendit de coelo, ipse est qui ascendit; nisi illud significare voluit, verbum ipsum, quod descenderat, non ex inferiori esse loco, sed e coelo esse delapsum? Posteaquam vero carnem hominis assumpsit, non illam quidem e viri semine susceptam, e spiritu pariter ac carne totum administrationis suae negotium perfecit. Quamobrem ut divini verbi humanaeque naturae coniunctionem et in unam eandemque rem consociationem monstraret, illum ipsum dixit qui e coelo venerat eodem cum absoluta divinitate rediisse. Nunc enim, id quod ante non erat, caro est, de spiritu susceptus ac virgine, perfectum nempe verbum oblatum patri deo, quod antea caro in coelo non fuerat. Quid igitur in coelo fuit aliud praeter verbum e coelo demissum? Cui in unam divinitatem coniunctio conveniebat, secundum paternam vim copulata atque conflata. Quo et illud una declararet, in terra coeloque eundem esse deum verbum, conversionis omnis ac mutationis expertem. Erat quippe verbum, deus erat semper, erat spiritus, vis erat denique. Qui commune illud nomen, quodque homines capere possent, in seipsum suscepit, cum hominis filius appellatus est, quamvis dei filius esset. Qui insuper a prophetis id ipsum quod in carne nondum erat esse ante pronuntiabatur, propter id quod erat in eo perficiendum. Quare ita Daniel loquitur: *Vidi quasi filium hominis venientem in nubibus.* Dan. 7, 13. Unde merito in coelo hoc affectum nomine verbum sancti spiritus afflatu propheta perspexit qui *Filium altissimi* vocavit. Quocirca quae prima sunt posteriori ordine declarans unigenitus dei filius, *Nemo*, inquit, *ascendit in coelum nisi qui de coelo descendit, filius* Ioann. 3, 13. *hominis.* Non quod caro esset in coelo, sed quod e coelo descenderet, qui eiusmodi esset vocabulo nominandus.

Cap. VIII.

Verum quid tandem, mi homo! proferes? Scriptum est, inquit, *Iste deus est noster, et non aestimabitur alius.* Praeclare vero, quemadmodum et apostolus affirmat: *Quorum*, inquit, *patres, ex quibus Christus secundum carnem, qui est super omnia, deus.* Quae quidem admirabiliter ab eo dicta sunt. Hic enim qui est super omnia deus est. Nam cum iis ipse nos verbis doceat: *Omnia mihi tradita sunt a patre meo*, propterea *super omnia deus est.* Atque ita quoque Ioannes testatur: *Quod fuit*, inquit, *ab initio, quod audivimus, et oculis vidimus, et manus nostrae contrectaverunt.* Ac rursus in Apocalypsi: *Qui est ab initio, et qui venturus est omnipotens.* Egregie

Cap. IX. Baruch. 3, 36. Rom. 9, 5. Matth. 11, 27. et Luc. 10, 22. 1. Ioann. 1, 1. Apoc. 1, 8.

4. εἶπε coniecit Petavius. Verba τῷ ὀνόματι iungenda sunt cum ἀποχαλῶν.

παντοκράτωρ. Καλῶς κατὰ πάντα εἶπε. Καλῶς γὰρ εἶπε, Πάντα μοι παρεδόθη ὑπὸ τοῦ πατρός μου, καὶ ἀκριβῶς ὑπετίθετο. Ἐπὶ πάντας μὲν οὖν ὢν Θεὸς, ἔχων δὲ ἴδιον αὐτοῦ πατέρα, ἐν τῷ λέγειν, Ἀπέρχομαι πρὸς τὸν πατέρα. Εἰ δὲ ἦν αὐτὸς πατὴρ, πρὸς ποῖον πατέρα ἄρα ἀπῄει, ὦ ἀνόητε; Πάλιν γὰρ λέγει, Ἵνα ὦσιν ἓν, ὡς ἐγὼ καὶ σὺ ἕν ἐσμεν.

Κεφ. ί. Ἀεὶ γὰρ ἡ γραφὴ ἀσφαλιζομένη τὰς κατὰ τὸ ἄκρον πτώσεις τῶν ἀνθρώπων ἐκ πανταχόθεν τὸν νοῦν συνάγει ἐπὶ τὴν μέσην τῆς ἀληθείας ὁδόν. Καὶ πρὸς τούτους μὲν τοὺς νομίζοντας ἀλλότριον εἶναι τὸν υἱὸν τοῦ πατρὸς, φημὶ δὲ ὡς Ἄρειος νομίζει καὶ ἄλλαι αἱρέσεις, λέγει, Ἐγὼ καὶ ὁ πατὴρ ἕν ἐσμεν, πρὸς δὲ τοὺς νομίζοντας αὐτὸν εἶναι τὸν πατέρα καὶ τὸν αὐτὸν εἶναι υἱὸν, διὰ τὸ εἰρηκέναι, Ἐγὼ καὶ ὁ πατὴρ ἕν ἐσμεν, λέγει, Ποίησον αὐτοὺς ἵνα ὦσιν ἓν, καθὼς ἐγὼ καὶ σὺ ἕν ἐσμεν· ἵνα καταισχύνῃ Νοητὸν καὶ τὴν αὐτοῦ σχολὴν, παραγαγὼν εἰς τὸ μέσον τὴν τῶν μαθητῶν ἕνωσιν. Πῶς γὰρ ἠδύνατο Πέτρος καὶ Ἰωάννης, καὶ οἱ καθεξῆς, εἶναι ἓν ὡς κατὰ [1] συναλοιφήν; ἀλλὰ διὰ τὸ εἶναι ἐν μιᾷ ἑνότητι θεότητος, καὶ ἐν μιᾷ γνώμῃ, καὶ δυνάμει, εἰς τὸ ἀποκρούσασθαι πᾶσαν ὑπόνοιαν κατὰ θάτερον τῆς ἀληθείας ἐπανισταμένην. Φίλιππος δὲ ὁ ἅγιος ἀπόστολος φάσκει, Δεῖξον ἡμῖν τὸν πατέρα σου. Ὁ δὲ εἶπεν, Ὁ ἑωρακὼς ἐμὲ ἑώρακε τὸν πατέρα· καὶ οὐκ εἶπεν, Ἐγώ εἰμι ὁ πατὴρ, ἀλλὰ τὸ Ἐμέ σημαῖνον [2] τὸ Ἑαυτόν λέγων, τὸ δὲ Ἑώρακε τὸν πατέρα, οὐχ Ἑαυτόν λέγων. Ἄλλο γὰρ τὸ Τόν καὶ ἄλλο τὸ Ἐμέ, καὶ ἄλλο Ἐγώ, καὶ ἕτερον τὸ Ἐμέ. Εἰ γὰρ ἦν ὁ αὐτὸς πατὴρ, ἔλεγεν, Ἐγώ εἰμι· ἐπειδὴ δὲ οὐκ αὐτός ἐστιν ὁ πατὴρ, ἀλλὰ ὁ υἱὸς, ἀληθῶς λέγει, Ὁ ἑωρακὼς ἐμὲ ἑώρακε τὸν πατέρα· ἵνα ἀποκρούσηται τὴν τοῦ Ἀρείου βλασφημίαν, τὴν τὸν υἱὸν ἀπὸ τοῦ πατρὸς ἀλλοτριοῦσαν.

Διὸ τῆς πάσης γραφῆς σαφῶς περὶ ἀληθείας ἡμῖν τὴν ὁδὸν ὑποτιθεμένης, καὶ τοῦτον τὸν Νοητὸν καὶ τὴν αὐτοῦ αἵρεσιν, Νοητιανῶν pag. 489. φημι, σὺν ταῖς ἄλλαις αἱρέσεσι παρωσάμενοι, ὥςπερ [3] ὀστρακίτην τὸν καλούμενον δράκοντα, τὸν μὴ δυνάμενον κάμπτεσθαι ἐν τῷ καταδιώκειν ἄνθρωπον μήτε δεξιὰ, μήτε εὐώνυμα, ἐκκλίναντες ἀπὸ αὐτοῦ τε καὶ τῆς ἑαυτοῦ σχολῆς καὶ μοχθηρίας ἐπὶ τὰς ἑξῆς δυνάμει Θεοῦ τὸν νοῦν ἀκοντίσωμεν, πρὸς διήγησιν καὶ ἔλεγχον τῶν ἐν αὐταῖς ἐπινενοημένων κατὰ τῆς ἀληθείας ξενολεξιῶν.

Cap. X. — 1. συναλιφήν *libri omnes.* Nec hoc tantum loco. 2. *Libri vulgo* τὰ ἑαυτόν. 3. *Cf. supra haer.* 40, 8.

plane haec ab illo pronuntiata sunt. Recte, inquam, dixit, *Omnia mihi tradita sunt a patre meo*, accurateque nos docuit. Ille itaque supra omnes deus existit, cum nihilominus patrem habeat suum. Quod iis verbis expressit: *Vado ad patrem*. At si pater esset ipse, Ioann.16,10.
quem tandem ad patrem, o stulte, discederet? Ita quippe rursus loquitur: *Ut sint unum, sicut ego et tu unum sumus*. Ioann.17,22.

Cap. X. Etenim scriptura hoc potissimum cavens, ne homines ad extrema quaeque deflectant, medium in veritatis iter ubique sensum intelligentiamque compellit. Quamobrem ut illis occurrat, qui alienum a patre filium esse praedicant, quae est Arii et aliarum sectarum opinio, sic loquitur: *Ego et pater unum sumus*. Contra vero, Ioann.10,30.
ut eos refellat qui eundem esse patrem et filium asserunt, pro eo quod dixit, *Ego et pater unum sumus*, ita alio loco precatur: *Fac* Ioann.17,21.
ipsos ut sint unum, sicut ego et tu unum sumus. Quo Noëto eiusque scholae pudorem incutiat, dum illam discipulorum coniunctionem in medium adducit. Qua enim ratione Petrus et Ioannes et ceteri unum esse, velut in unum coalescentes confusique potuerunt? Sed eo nimirum illa dicta sunt quod in unius divinitatis coniunctione eademque sententia ac virtute consistant, ut error omnis excludatur ac falsitas, quae utravis ex parte contra veritatem insurgat. Philippus vero apostolus hunc in modum Christum alloquitur: *Ostende nobis* Ioann. 14, 8.
patrem tuum. Cui ita respondit: *Qui videt me, videt et patrem meum*. Non dixit, *Ego sum pater*, sed *Me*, quod idem est ac seipsum, adiecit. Item, *Videt*, inquit, *patrem*, non utique seipsum commemorat. Aliud enim est articulus ille τὸν, aliud pronomen ἐμὲ, aliud ἐγὼ, aliud ἐμί. Nam si ipse pater esset, diceret profecto, *Ego sum*. Quare cum ipse pater minime sit, sed filius vere istud usurpavit: *Qui videt me, videt et patrem*, ad refutandam Arii blasphemiam, quae filium alienat a patre.

Quae cum ita sint ac cum sacrae omnes literae viam nobis veritatis certissime demonstrent, postquam Noëtum istum, ab eoque propagatam Noëtianorum sectam, una cum reliquis repulimus, perinde ac draconem illum qui ostracites, sive testaceus, dicitur, qui cum hominem persequitur, neque in dextram neque in sinistram partem flectere se ullo modo potest, ab illo demum eiusque schola et improbitate declinantes ad ceteras divina ope freti animum adiiciamus, ut peregrinas et absurdas dicendi rationes adversus veritatem in illis excogitatas pertexere ac redarguere possimus.

ΚΑΤΑ ΟΥΑΛΗΣΙΩΝ,
τριακοστὴ ὀγδόη, ἡ καὶ πεντηκοστὴ ὀγδόη.

Κεφ. α'. *Περὶ Οὐαλησίων ἀκούομεν πολλάκις, οὐ [1] μέντοι ἔγνωμεν ποῦ, τίς, ἢ πόθεν ὡρμᾶτο, ἢ τί λέγων ἢ νουθετῶν ἢ φθεγγόμενος ὁ Οὐάλης οὗτος. [2] Τὸ μὲν ὄνομα Ἀραβικὸν ὑπάρχον τινὰ ὑπόνοιαν ἡμῖν δίδωσι διανοηθῆναι τοῦτον καὶ τὴν αὐτοῦ αἵρεσιν εἰςέτι δεῦρο φέρεσθαι ὡς ἐν ὑπονοίᾳ, καθάπερ ἔφην, τινὰς ὄντας ἐν Βακάθοις τῆς [3] Φιλαδελφηνῆς χώρας πέραν τοῦ Ἰορδάνου. Καὶ οἱ μὲν ἐπιχώριοι τούτους Γνωστικοὺς βούλονται λέγειν, οὐκ [4] εἰσὶ δὲ τῶν Γνωστικῶν· ἕτερα γὰρ τούτων τὰ φρονήματα. Τὰ δὲ εἰς ἡμᾶς ἐλθόντα [5] περὶ αὐτῶν τοῦτον ἔχει τὸν τρόπον. Ἐν μὲν τῇ ἐκκλησίᾳ οἱ πλείους συνήγοντο ἕως καιροῦ τινος, [6] ἕως εἰς πλάτος ἦλθεν ἡ αὐτῶν ἄνοια, καὶ ἀπεβλήθησαν τῆς ἐκκλησίας. Εἰσὶ δὲ πάντες [7] ἀπόκοποι· καὶ αὐτοὶ [8] δὲ περὶ Ἀρχῶν καὶ Ἐξουσιῶν καὶ ἄλλων [9] οὕτως δοξάζουσι. Καὶ ὅταν λάβωσιν ἄνθρωπον εἰς μαθητείαν, καθ' ὅσον μὲν χρόνον [10] οὔπω τῶν μορίων ἀπετμήθη, ἐμψύχων οὐ μεταλαμβάνει, ὅταν δὲ πείσωσι τὸν τοιοῦτον ἢ μετὰ ἀνάγκης αὐτὸν ἀποτέμωσι, τότε πᾶν ὁτιοῦν μεταλαμβάνει, ὡς ἤδη πεπαυμένος ἀγῶνος καὶ μηκέτι ἐπικίνδυνος ὢν εἰς τὸ ἐποτρύνεσθαι διὰ τῶν ἐδεσμάτων εἰς ἡδονὴν ἥκειν ἐπιθυμίας. Οὐ μόνον δὲ τοὺς ἰδίους [11] τοῦτον ἀπαρτίζουσι τὸν τρόπον, ἀλλὰ [12] πολλάκις καὶ ξένους παρερχομένους καὶ παρ' αὐτοῖς ἐπιξενωθέντας ταύτῃ διέθεντο τῇ [13] ἀγωγῇ, ὡς πολὺς περὶ τούτου [14] θρυλεῖται λόγος. Ἁρπάζουσι γὰρ τοὺς τοιούτους ἔνδον καὶ [15] ἐπὶ συμψελίοις δήσαντες μετὰ
pag. 490. ἀνάγκης τὸ χειρότευκτον ἐργάζονται τῆς τῶν μελῶν ἀφαιρέσεως. Καὶ ταῦτά ἐστιν ἃ περὶ τούτων εἰς ἡμᾶς ἧκεν, οὕςπερ γνόντες ἐν ποίῳ τόπῳ τὴν καταμονὴν ἔχουσι, καὶ ὡς τὸ ὄνομα τοῦτο πολὺ τυγχάνει ἐν τοῖς μέρεσιν ἐκείνοις, καὶ ὡς τῆς αἱρέσεως ἕτερον ὄνομα οὐ κατειλήφαμεν, ἐνομίσαμεν ταύτην εἶναι.*

Cap. I. — 1. μέν τοί γε *cod. Venet.*
2. καὶ τὸ μὲν *cod. Ven.*
3. Φιλαδελφικῆς *cod. Ven.*
4. εἶναι (*sic*) *cod. Ven.*
5. περὶ αὐτῶν τοῦτον ἔχει τὸν *cod. Venet. Vulgo extat* περιέχει τοῦτον τόν.
6. ὡς *cod. Ven.*
7. ἀπόκοποι πλὴν ὀλίγων, καὶ *extat in cod. Ven.*
8. δὲ *non agnoscit cod. Ven.*
9. *Uti nimirum* Ἀρχὰς *illas et* Ἐξουσίας *exsectas esse et genitalibus carere statuant. Aliam enim haec verba interpretationem non admittunt. At sunt corrupta, aut manca, id quod Petavium suspicatum esse video, quodque patet ex verbis Nicetae Panopl. IV, 30. (Bibl. Patr. Lugd. tom. XXV, p. 129.):* „Valens quidam Arabs natione fuisse fertur, ex quo evenit, ut eius haeresis in Bacathis pullularet. Sunt autem Bacatha Metrocomia, hoc est primarium oppidum eius Philalphiae, quae in Arabia trans Iordanem sita est. Eadem itaque Valentii quoque de Principiis et Potestatibus cum Archonticis, Sethianis, et ceteris huius

CONTRA VALESIOS,
haeresis XXXVIII., sive LVIII.

Cap. I. Saepenumero de Valesiis audivimus; ita tamen ut de illorum auctore Valente, ubinam is gentium fuerit, aut undenam excitatus fuerit, quae illius dicta, quae praecepta ac sermones extiterint, nondum comperire potuerimus. Quamquam ex eius nomine, quod Arabicum est, nonnulla nobis suspicio est in eadem illum opinione fuisse, atque ipsius hoc tempore versari sectam, quam esse nonnullorum diximus, qui in Bacathis Philadelphenae provinciae ultra Iordanem habitant. Qui quidem ab eius loci incolis Gnostici nominantur. Quamvis minime Gnostici sint, et ab iis opinionum varietate dissentiant. Verum quae de illis nosse potuimus, ea fere sunt huiusmodi. Principio itaque ecclesiam plerique frequentabant, quod eo usque tenuit donec amplificata diffusaque illorum insania ab ecclesiae consortio segregati sunt. Universi porro castrati sunt. Ac de Principalibus et Potestatibus, ceterisque hunc in modum sentiunt. Quemcumque vero in suam disciplinam receperint, quamdiu nondum ei exsecta virilia sunt, ab animatis abstinet. Posteaquam autem sive illi persuaserint, sive violenter exsecuerint, tum demum, quasi ab omni certamine liber, atque extra periculum omne positus, ne ciborum usu ad libidinum voluptates inflammetur, quodcumque ciborum genus permittitur. Neque vero suos eo modo duntaxat afficiunt, sed etiam peregrinos saepe transeuntes et ad sese divertentes, quemadmodum frequenti de illis rumore spargitur. Hos enim intus correptos, et manicis ac vinculis alligatos, violenter membris suis mutilant. Haec sunt quae de hisce haereticis accepimus; de quibus cum id cognoverimus, quoniam in loco domicilium habeant, ac quemadmodum frequens sit istud in illis regionibus nomen, cum alterius haeresis appellationem nullam acceperimus, iure hanc eandem esse nobis persuasimus.

farinae sentiunt. Sunt autem omnes exsecti; praecipuam enim collocant in eo operam, ut quam plurimos eunuchos habeant."

10. οὕτω *cod. Venet.*
11. τοῦτον γὰρ ἀπαρτίζουσι *cod. Ven.*
12. καὶ πολλάκις καὶ *cod. Ven.*
13. *Ita cod. Ven. Vulgo* διαγωγῇ.
14. θρυλλεῖται *edit. Petav.*
15. *Petavius edidit* ἐπισυμψελίοις, *et margini suae editionis adscripsit:* „Vox ista mihi quidem obscura." *Cod. Venetus habet* ὀπίσω συμψελίοις. Συμψέλιον, *vel* συμψέλλιον, *ut voluit scribi Gatakerus Opp. Critt. p.* 810. *et Diss. de Novi Instr. Stylo cap.* 2. (*pag.* 9. *Opp. Crit.*), *Latinorum est* subsellium. *Cf. etiam Franc. Francus* (*Salmasius*) *in Confutat. Animadv. Antonii Cercoetii p.* 79 *sq.*, *et Du Cangii Gloss. s. v.* Συμψέλλιον.

Κεφ. β'. *Πολλὴ δὲ φρενοβλάβεια τῶν τοιούτων. Εἰ μὲν γὰρ τὸ ἐν τῷ εὐαγγελίῳ βούλονται πληροῦν, τὸ, Ἐὰν σκανδαλίζῃ σε ἓν τῶν μελῶν σου, ἀπόκοψον ἀπὸ σοῦ, συμφέρει γάρ σοι* [1] *εἰςελθεῖν εἰς τὴν βασιλείαν τῶν οὐρανῶν ἢ χωλὸν, ἢ τυφλὸν, ἢ κυλλὸν, πῶς δύναται ἐν βασιλείᾳ τινὰ ἠκρωτηριασμένον; Εἰ γὰρ ἡ βασιλεία τῶν οὐρανῶν τὰ πάντα ἐστὶ τελειοῦσα, οὐδὲν ἀτελὲς ἔχει ἐν ἑαυτῇ. Καὶ ὁπότε τοῦ σώματός ἐστιν ἀνάστασις, πάντα τὰ μέλη ἀναστήσεται, καὶ οὐδὲ ὁπότερον αὐτῶν καταλειφθήσεται. Καὶ εἰ ὅλως τὸ μέλος οὐκ ἐγείρεται, οὐδὲ πᾶν σῶμα ἀναστήσεται. Καὶ εἰ τὸ ἓν μέλος τὸ σκανδαλίζον αὐτὸ μόνον καταλιμπάνεται, οὐδὲν ὅλως καταλειφθήσεται, οὐδὲ ὁπότερον τῶν μελῶν. Πάντα γὰρ ἡμᾶς ἐσκανδάλισε. Τίς δὲ ἀναῤῥήξει αὐτοῦ τὴν καρδίαν πάντα σκανδαλίζουσαν; Ἔσωθεν γὰρ, φησὶν, ἐκπορεύονται πορνεῖαι, μοιχεῖαι, ἀσέλγειαι, καὶ τὰ τούτοις ὅμοια. Τίς οὖν ῥήξει τὴν ἑαυτοῦ καρδίαν; Εἰ δὲ οὐκ ἐγείρεται τὸ σῶμα κατὰ τήν τινων ἄνοιαν καὶ ἀσέβειαν, πῶς ἄρα διοίσει ὁ περὶ τούτων ὁριζόμενος λόγος. Τῶν γὰρ μελῶν ἁπάντων μὴ εἰςερχομένων εἰς βασιλείαν οὐρανῶν, τίς ἔτι χρεία παρὰ ἓν μέλος γίνεσθαι, τῶν ἄλλων μὴ τοῦτο πληρούντων; Εἰ δὲ ἐγείρεται τὸ σῶμα, ἐγείρεται γὰρ, πῶς ἐνδέχεται ἔτι ἐν βασιλείᾳ οὐρανῶν λώβησις γίνεσθαι; ἢ πῶς οὐκ ἔσται ἀπρεπὴς ἡ βασιλεία τῶν οὐρανῶν ἐπισινῆ σώματα ἔχουσα πρὸς δόξαν; Εἰ δὲ ὅλως καὶ τμηθείη τὸ μέλος τὸ σκανδαλίζον, ἄρα τέτμηται, καὶ οὐχ ἥμαρτε· τμηθὲν δὲ καὶ μὴ ἁμαρτῆσαν αὐτὸ δεῖ πρῶτον πάντων ἀναστῆναι, μὴ ἁμαρτῆσαν.*

Κεφ. γ'. *Ὅσοι δὲ εἰς τὸ πρόχειρον τοῦτο ἔργον ἔντολμοι, ἀπὸ πάντων ἑαυτοὺς ἠθέτησαν καὶ ἀπηλλοτρίωσαν. Οὔτε γὰρ ἄνδρες εἰσὶ, διὰ τὸ*
pag. 491. *ἀφῃρημένον, οὔτε γυναῖκες δύνανται εἶναι, διὰ τὸ παρὰ φύσιν.* [1] *Προέλαβε δὲ καὶ ἡ τοῦ στεφάνου τοῦ ἀγῶνος καὶ βραβείου τούτου ἐπωνυμία. Οὐδὲ ὁπότεροι γὰρ φανήσονται οὗτοι τῶν τριῶν τάξεων τῶν εὐνούχων τῶν ὑπὸ κυρίου εἰρημένων. Εἰσὶ γὰρ, φησὶν, εὐνοῦχοι, οἳ ἐκ κοιλίας μητρὸς αὐτῶν ἐγεννήθησαν. Ἐκεῖνοι γὰρ ἀναίτιοί εἰσι τῆς αὐτῶν εὐνουχίας, οὔτε μὴν ἁμαρτίαν ἔχοντες, διὰ τὸ οὕτως γεγενῆσθαι, οὔτε πάλιν ἁμαρτίαν δυνάμενοι πράττειν, τὴν ἀφροδισίων φημὶ, ἐπειδὴ μὴ πέφυκε αὐτοῖς τὰ παιδοποιὰ ὄργανα, τὰ ἐκ θεοῦ κεκτισμένα. Ἀλλ' οὔτε μισθὸν ἔχουσιν εὐνουχίας* [2] *βασιλείας οὐρανῶν,*

Cap. II. — 1. εἰςελθεῖν *in libris Epiphanii tum scriptis quam editis desideratur.*
Cap. III. — 1. „Verbum illud προέλαβε suspectum mihi est.“ *Petavius. Cornarius vertit:* Sed et coronae certaminis ac praemii huius cognomen au-

Sed horum insignis quaedam est stultitia. Nam si illud exequi volunt quod est in evangelio scriptum: *Si scandalizaverit te ullum ex membris tuis, abscinde abs te: expedit enim tibi intrare in regnum coelorum claudum, aut mancum, aut curvum etc.*, quomodo regnum coelorum ingredi mutilus quispiam potest? Nam si coelorum regnum perfecta habeat omnia, nihil in se habet imperfectum. Itaque cum hominum corpora resurgent, universa simul membra resurgent, sic ut eorum nullum penitus relinquatur. Ac si omnino resurgere membrum aliquod negemus, ne totum quidem corpus resurget. Quod si membrum illud unum, quod scandalizat, relinquendum sit, consequens est nullum ut prorsus relinquatur. Etenim membra nos omnia scandalizaverunt. Quis autem est qui cor suum in omnibus scandalum obiiciens avellere atque amputare possit? Quippe, *Ex interioribus*, inquit, *exeunt fornicationes, adulteria, libidines, et id genus cetera.* Ecquis igitur cor suum abrumpet? Ac si, ut nonnullorum fert impietas et amentia, corpus minime resurgit, quid tandem nostra refert, quod ab illis asseritur? Cum enim universa membra coeleste regnum minime ingredi possint, quid attinet uno solum mutilari membro, cum id alia nequaquam perficiant? Iam vero si corpus excitatur (uti vere accidit), estne ut in regno coelorum mancum aliquid sit aut mutilum? Nonne turpis quaedam coelestis illius regni futura species est, si truncata membra ad sempiternam illam gloriam admittantur? Praeterea si membrum illud, quod scandalum praebet, abscissum fuerit, amputatum utique est, ac proinde nec peccavit. Quod cum ita sit, primum omnium resurgere ipsum oportet, quod minime peccaverit. Cap. II. Matth. 18, 8. Matth. 15, 19.

Verum quicumque ad hoc perpetrandum facinus prompti sunt, et audaces, ab omni genere hominum alienos se extorresque fecerunt. Nam neque viri sunt, propter amputatam illam corporis partem, neque feminae, repugnante scilicet naturae conditione, esse possunt. Sed et istiusmodi certaminis corona ac praemium appellatione nulla concipi potest. Siquidem ex tribus spadonum ordinibus, quos dominus recensuit, ad nullum omnino revocari possunt. *Sunt enim*, inquit, *eunuchi, qui ex ventre matris suae nati sunt.* Illi vero nullam castrationis suae culpam sustinent, neque ullo se scelere obstrinxerunt, eo quod ita in lucem prodierint. Sed neque peccatum ullum admittere possunt, quod ad rem quidem veneream attinet, cum membris illis careant quae ad sobolis propagationem a deo sunt condita. Ideoque nullum ex ea castratione regni coelestis praemium Cap. III. Matth. 19, 12.

teverterunt. *Si sana scriptura est, necesse est* προλαβεῖν *hoc loco interpretemur* temere occupatum esse.
2. *Mallem* βασιλείαν.

διὰ τὸ ἀγῶνος μὴ [3] μεμνῆσθαι. Εἰ δὲ καὶ ἐπιθυμιῶν [4] μεμύηνται οἱ τοιοῦτοι, μὴ δυνάμενοι πράττειν [5] ὃ μὴ δεῖ πράττειν, καὶ μὴ πράττοντες μισθὸν οὐκ ἔχουσιν. Οὐ γὰρ διὰ τὸ μὴ βούλεσθαι τὸ ἔργον παρ' αὐτοῖς οὐ πέπρακται, ἀλλὰ διὰ τὸ μὴ δύνασθαι. Καὶ αὕτη μὲν ἡ ἀγωγὴ τῆς πρώτης ὑπὸ κυρίου εἰρημένης εὐνουχίας, τῆς διὰ τῶν μητέρων [6] γεννωμένης, ἐξ ὧν οὐ δύνανται οὗτοι [7] ὑπάρχειν.

Κεφ. δ'. *[1] Καί εἰσιν εὐνοῦχοι οἵτινες ὑπὸ τῶν ἀνθρώπων εὐνουχίσθησαν, φησὶν ὁ σωτήρ. Καὶ οὔτε ἀπὸ τούτων εἰσὶν οἱ προειρημένοι. Οὗτοι μὲν γὰρ γεννῶνται, οἱ [2] δὲ ὑπὸ ἀνθρώπων εὐνουχισθέντες ἕνεκεν χρήσεως, ἢ βασιλικῆς, ἢ ἀρχοντικῆς. Βουλόμενοι γάρ τινες τῶν βαρβάρων βασιλεῖς, ἢ καὶ τύραννοι, ζηλοτυπίας χάριν καὶ ὑπονοίας τῆς πρὸς τὰς γαμετὰς τὰς ἰδίας ἔτι κομιδῇ νέους τοὺς παῖδας λαμβάνουσι, καὶ εὐνουχίζουσι τούτους, πρὸς τὸ ἀνδρυνθέντας [3] πιστεύεσθαι τὰς ἰδίας αὐτῶν, ὡς ἔφην, γαμετάς, καὶ οὕτως ἐν τῷ κόσμῳ γέγονεν ἡ περὶ τούτου αἰτία. Ὅθεν τάχα οἶμαι καὶ τὸ εὐνοῦχον καλεῖσθαι, [4] ἀπὸ τοῦ εὐνοεῖν δύνασθαι [5] ἀφαιρουμένων τῶν μελῶν, [6] καὶ μὴ ἐπεντρίβεσθαι μίξει τῶν σωμάτων, ὡς [7] τῶν ὀργάνων ἀφῃρημένους. Ἑτέρα τοίνυν αὕτη ἡ τάξις ἐκ παιδὸς λαμβανομένη καὶ εὐνουχιζομένη ὑπὸ τῶν ἀνθρώπων, οὐχὶ διὰ τὴν βασιλείαν τῶν οὐρανῶν.*

Κεφ. ε'. *Καί εἰσι, [1] φησὶν, εὐνοῦχοι οἵτινες εὐνούχισαν ἑαυτοὺς διὰ τὴν βασιλείαν [2] τῶν οὐρανῶν. Τίνες τοίνυν εἶεν οὗτοι, ἀλλ' ἢ οἱ γενναῖοι ἀπόστολοι, [3] καὶ μονάζοντες, καὶ οἱ καθεξῆς παρθένοι; Ἰωάννης μὲν καὶ Ἰάκωβος, υἱοὶ Ζεβεδαίου, μείναντες [4] ἐν παρθενίᾳ, μήτε μὴν*
pag. 492. *ἰδίαις χερσὶ τὰ μέλη ἀποτεμόντες, μήτε συναφθέντες γάμῳ, ἀλλὰ τῇ ἰδίᾳ καρδίᾳ ἀγωνισάμενοι, καὶ θαυμασίως τὸ κλέος [5] τοῦ στεφάνου τούτου τοῦ ἀγῶνος ἀπενεγκάμενοι. Μετ' αὐτοὺς δὲ [6] ὅσαι μυριάδες ἐν τῷ κόσμῳ μονάζοντες, καὶ ἀπὸ μοναστηρίων, καὶ παρθενώνων τουτὶ τοῦ ἀγῶνος τὸ κλέος ἀπηνέγκαντο, οἵτινες σώμασι γυναικῶν οὐκ ἐμίγησαν, ἀλλὰ ἤθλησαν ἐν ἀγῶνι τελειοτάτῳ. Ὡς καὶ Ἠλίας ἐν παλαιᾷ διαθήκῃ εὑρίσκεται, καὶ Παῦλος, λέγων, Λέγω δὲ τοῖς ἀγάμοις, ὅτι καλὸν αὐτοῖς, ἐὰν μείνωσιν οὕτως ὡς κἀγώ· εἰ δὲ οὐκ ἐγκρατεύονται, γαμείτωσαν. Πῶς οὖν αὐτὸς ἔμεινεν; Εἰ μὲν γὰρ ἀποτετμημένος ἦν, καὶ κατ' αὐτὸν ἔμειναν ὁμοιούμενοι αὐτῷ, ἵνα πληρώσωσι τό, Ὡς*

3. *Ita codd. Venet. Vratislav., et editi. Petavius corrigi voluit* μεμνῆσθαι.
4. *Petavius coniecit* μέμνηνται.
5. *Verba* ὃ μὴ δεῖ πράττειν *restitui ex cod. Veneto.*
6. γεννωμένης ἐν εὐνουχίᾳ *cod. Ven.*
7. ὑπαρέχειν διὰ τὸ χειρότευκτον *cod. Venet.*

Cap. IV. — 1. *Cod. Venetus habet* ἐστὶ καὶ εὐνοῦχοι ὑπὸ τῶν ἀνθρώπων εὐνουχισθέντες.
2. δὲ *om. cod. Venet.*
3. ἐμπιστεύεσθαι *cod. Venet.*
4. *Cornarius vertit:* „ab eo quod εὐνοεῖν, hoc est benevolus esse, ac fidem servare possit, ablatis membris“ *cett.*
5. καὶ ἀφαιρουμένων *cod. Venet.*
6. τοῦ μὴ *cod. Venet.*

obtinent, quod certaminis ipsius ne meminerint quidem. Quod si cupiditatum illecebrarumque recordentur, cum quod factu est nefas efficere nullo modo possint, in eo quod abstinent nihil mercedis promerentur. Neque enim ex eo quod admittere noluerint, sed quod non potuerint, non est ab illis facinus illud reipsa profectum. Atque hoc primum est spadonum genus domini oratione declaratum, quod iam tum matris ex utero prodiit. Inter quos nemo illos retulerit.

Et sunt eunuchi, ait salvator, *qui ab hominibus eunuchi facti* Cap. IV. *sunt;* a quibus priores diversi sunt. Hi enim cum hac clade nascuntur, posteriores autem ad aliquem regum aut principum usum castrati. Quippe barbari quidam reges aut tyranni, zelotypia atque in uxores suas suspicione commoti admodum pueros exsecant, quos ubi adoleverint, suis, ut dictum est, coniugibus custodes adhibeant. Atque hoc modo calamitatis illius caussa inter homines accidit. Hinc fortassis et eunuchorum appellatio derivatur, a verbo scilicet *εὐνοεῖν*, quod amputatis hisce corporis partibus benevoli esse possint, neque, utpote membris illis mutilati, ad corporum complexum coitumque sint utiles. Hic igitur alter eunuchorum ordo est, qui a puerili aetate hominum istud manu non coelestis regni caussa patiuntur.

Sequitur deinde, *Et sunt eunuchi qui seipsos castraverunt propter* Cap. V. *regnum.* Quinam illi esse possunt, nisi egregii illi primum apostoli, tum monachi, ac reliqui virginitatis cultores. Cuiusmodi fuere Ioannes et Iacobus, Zebedaei filii, qui in virginitate persistentes ac neque membra sua propriis amputantes manibus, neque copulati nuptiis, sed animo ac pectore dimicantes certaminis illius coronam ac gloriam summa cum admiratione reportarunt. Secundum quos infinita hominum millia, quae in hoc mundo monasticam vitam amplexa sunt, in monasteriis virginumque coenobiis eiusdem certaminis decus adepta sunt. Quae videlicet nullam cum mulieribus consuetudinem habuerunt, sed omnibus suis numeris absolutum certamen obierunt. Qualem in vetere testamento Eliam fuisse legimus, ac deinceps Paulum, qui dixit, *Dico autem nonnuptis, quoniam bonum est ipsis si* 1.Cor. 7, 8. *maneant sicut ego: si autem non continent, nubant.* Quomodo igitur ipse permansit? Si enim exsectus est, et ad illius exemplum accommodati manserunt qui ei similes essent, ut eam consilii partem

7. τῶν *om. cod. Venet.*
Cap. V. — 1. φησὶν *om. cod. Ven.*
2. τῶν οὐρανῶν, *quod vulgo desideratur, ex cod. Ven. adieci.*
3. καὶ οἱ καθεξῆς παρθένοι καὶ μονάζοντες *cod. Venet.*
4. ἐν τῇ παρθενίᾳ *cod. Venet.*
5. τοῦ στεφάνου *non comparet in cod. Ven.*
6. ὅσοι ἐν μυριάδων ἀριθμῷ ἐν τῷ κόσμῳ *cod. Venet.*

κἀγὼ, πῶς ἀποτετμημένος τις ἐδύνατο γῆμαι, εἰ μηκέτι ἐνεκρατεύετο; Καὶ τὸ, Γαμείτωσαν, καὶ μὴ πυρούσθωσαν, ὁρᾷς ὅτι περὶ ἐγκρατείας φάσκει, καὶ οὐχὶ περὶ μελῶν ἀφαιρέσεως; Εἰ δὲ φάσκουσιν οὗτοι διὰ τὴν βασιλείαν τῶν οὐρανῶν ἑαυτοὺς εὐνουχικέναι, πῶς ἑαυτοὺς ἀπαλλοτριώσουσι τοῦ εἰρημένου ῥήματος ὅτι, Εἰσί τινες οἵτινες εὐνουχίσθησαν ὑπὸ τῶν ἀνθρώπων. Εἰ γὰρ αὐτὸς ἰδίαις χερσὶν ἑαυτὸν εὐνουχίζει, ἄνθρωπός ἐστι, καὶ αἱ χεῖρες αὐτοῦ τὸ ἀθέμιτον τοῦτο εἰργάσαντο· εἰ δὲ αὐτὸς ἑαυτῷ οὐδὲν δύναται πρᾶξαι, ὑπὸ ἄλλων δὲ εὐνουχισθῇ, οὐκέτι ἔσται διὰ βασιλείαν οὐρανῶν, διότι ὑπὸ ἀνθρώπων εὐνουχίσθη, ἤτοι δι' αὐτοῦ, ἤτοι διὰ τῶν τοῦτο πεποιηκότων. Πεσεῖται δὲ καὶ ἀπὸ τοῦ στεφάνου καὶ ἀπὸ τοῦ βραβείου, οὐκέτι χάριν ἔχων διὰ τὴν ἀποχὴν τῆς τοιαύτης χρήσεως, ἀλλὰ διὰ τὸ μὴ δύνασθαι χρῆσθαι, ἀφῃρημένων τῶν τῆς τοιαύτης ὑποθέσεως μελῶν. Ἓν δὲ καὶ τὸ αὐτὸ κριθήσεται, ὡς ὁ λυμαινόμενος ἑαυτοῦ τὸ μέλος, καὶ ὡς ὁ τέμνων ἀλλότριον ἀμπελῶνα. Οὐ γὰρ κατὰ θεὸν ἐπολιτεύσατο, ἀλλὰ κατὰ ἐπιβουλὴν τῷ δημιουργῷ κυρίῳ θεῷ ἀντέστη τοιοῦτος. Ἐπιθυμίᾳ δὲ περισσοτέρᾳ ὁ τοιοῦτος ἐνεχθήσεται. Καὶ γὰρ ὁ εὐνοῦχος ᾄδεται παρὰ τῷ Σοφῷ οὐκ ἀπεχόμενος τῆς ἐπιθυμίας, ἀλλὰ μὴ δυνάμενος τὴν ἐπιθυμίαν ἐπιτελέσαι, ὥς λέγει, Ἐπιθυμία εὐνούχου ἀποπαρθενεύσει νεανίδα. Καὶ [7] ἐκ πανταχόθεν ὢ τῆς πολλῆς ματαιότητος τῆς ἐν τῷ κόσμῳ πολυτρόπως ἐπινενοημένης.

pag. 493. *Καὶ ταῦτά ἐστιν ἃ περὶ τούτων ἔγνωμεν. Διὸ ἐν συντόμῳ περὶ αὐτῶν εἰρηκότες καὶ, ὡς ἔφην, ὑπονοήσαντες εἶναι τούτους τοὺς προειρημένους, καταλιπόντες τοὺς αὐτοὺς, καὶ καταγελάσαντες ὥςπερ σκορπίου δικέντρου τοῖς μὲν [8] πέρασι καὶ χηλαῖς ἀπὸ τῶν ἀνέκαθεν τῶν πατέρων βίοις ἐναντιωθέντας, ἐν δὲ τῷ κέντρῳ τῷ τύπῳ τῆς ἁγίας τοῦ θεοῦ ἐκκλησίας ἀνθισταμένους, ὑποδήματι ἐστηριγμένῳ καταπατήσαντες τούτους καὶ καταγελάσαντες, τουτέστι διὰ τῶν ῥητῶν τοῦ εὐαγγελίου, κατὰ τὸ ἔθος ἐπὶ τὰς λοιπὰς μεταβαίνοντες ἐνταῦθα λήξωμεν τῆς τούτων ἀβελτηρίας.*

ΚΑΤΑ ΚΑΘΑΡΩΝ,

τριακοστὴ ἐννάτη, ἡ καὶ πεντηκοστὴ ἐννάτη.

Κεφ. α'. *Καθεξῆς δὲ τούτων Καθαροί τινες λεγόμενοι ἐφύησαν, ἀπὸ Ναβάτου τινὸς, ὡς πολὺς ᾄδεται λόγος. Οὗτος ὁ Ναβᾶτος ἐπὶ τῆς Ῥω-*

7. *Cornarius vertit:* Et o ingentem tiformiter excogitatam! vanitatem, undiquaque in mundo mul-

implerent, *Sicut ego*, fierine potuit ut exsectus quispiam, nisi continentiam servare posset, uxorem duceret? Illud vero, *Uxores ducant, et non urantur*, nonne ad continentiam pertinere, non ad membrorum mutilationem animadvertis? Quodsi propter regnum coelorum semetipsos castrasse se dixerint, qui tandem ab illa sententia secernere sese possunt, quae nonnullos esse dicit, *qui ab hominibus eunuchi facti sunt*. Cum enim sese aliquis suis manibus exsecat, homo utique est, eiusque manibus scelestum illud facinus admissum est. Sin ille cladem istam sua sibi manu consciscere non potest, sed ab aliis castratus fuerit, non iam illud coelestis regni caussa patietur, eo quod sive per se, sive aliorum opera sibi istud intulerit, ab hominibus eunuchus est factus. Quamobrem coronae spe ac praemii iste prorsus excidet, cum nullam amplius gratiam mereatur, quod ab eiusmodi voluptatis usu temperet, sed ideo illud non possit, quod necessariis ad eam functionem membris sit destitutus. Quocirca par idemque de eo iudicium est ac de illo qui aliquod corporis membrum violarit, aut alienam vitem succiderit. Neque enim divinam ad voluntatem vivendi rationem instituit, sed opifici suo dominoque deo maligne repugnavit. Quinetiam vehementiori cupiditate flagrabit. Etenim spado non a sua cupiditate abstinere, sed eam perficere non posse, a Sapiente dicitur: *Concupiscentia spadonis*, inquit, *devirginabit iuvenculam*. Proindeque o stultitiam incredibilem, varie in hoc orbe terrarum excogitatam! Sir. 20, 4.

Atque haec sunt quae de hoc haereticorum genere explorare potuimus. De quibus cum breviter dixerimus, eosdemque esse suspicemur quos antea commemoravimus, relictis ac cum ludibrio reiectis illis qui scorpionis instar bifido aculeo armati prodigiosis brachiorum forcipibus iam tum institutis a patribus vitae rationibus adversati sunt, et adversus sanctae dei ecclesiae formam ac praescriptum infestos aculeos erigunt, iis, inquam, firmiter impresso calceamento, hoc est sacrosancti evangelii, ut solemus, voce protritis et elisis ad reliquas haereses translata oratione hic de illorum stoliditate disputandi finem faciamus.

CONTRA CATHAROS,
haeresis XXXIX., sive LIX.

Proximi ab illis Cathari quidam exorti sunt, a Novato, ut fama percrebuit. Novatus porro Romae persecutionis illius tempore Cap. I.

8. πέρασι emendarunt Cornarius, qui B. Cotelerius Eccl. Gr. Monum. III, p. 581. „extremitatibus ac chelis" vertit, et I. Libri habent τέρασι vulgo.

μαίων ὑπῆρχεν, ἐν καιρῷ τοῦ διωγμοῦ τοῦ [1] πρὸ Μαξιμίνου γενομένου πρώτου· τάχα οἶμαι Δεκίου τότε ἦν, ἢ Αὐρηλιανοῦ. Ἀπὸ δὲ τῆς προφάσεως τῆς ἐν τῷ διωγμῷ παραπεσόντων ἐπάρματι ἀρθεὶς, ἅμα τοῖς [2] ἐπαγομένοις αὐτῷ μὴ θελήσας κοινωνῆσαι τοῖς μετανοοῦσιν ἀπὸ τοῦ διωγμοῦ, εἰς αἵρεσιν ταύτην [3] τέτραπται, λέγων μὴ εἶναι σωτηρίαν, ἀλλὰ μίαν μετάνοιαν, μετὰ δὲ τὸ λουτρὸν μηκέτι [4] δύνασθαι ἐλεεῖσθαι παραπεπτωκότα.

Καὶ αὐτοὶ δέ φαμεν εἶναι μετάνοιαν μίαν, καὶ διὰ λουτροῦ παλιγγενεσίας [5] ταύτης γενέσθαι τὴν σωτηρίαν, ἀλλ' οὐκ ἀναιροῦμεν τὴν τοῦ θεοῦ φιλανθρωπίαν, εἰδότες τὸ κήρυγμα τῆς ἀληθείας καὶ τὸν ἔλεον τοῦ δεσπότου, καὶ τὸ συγγνωστὸν τῆς φύσεως, τὸ εὐρίπιστον τῆς ψυχῆς, τὸ ἀσθενὲς τῆς σαρκὸς, τὸ πολύβλυστον τῆς τῶν πολλῶν ἀνθρώπων αἰσθήσεως. Διότι οὐδεὶς ἀναμάρτητος, καὶ καθαρὸς ἀπὸ ῥύπου, οὐδ' ἂν [6] μία ἡμέρα ὁ βίος αὐτοῦ ἐπὶ τῆς γῆς. Καὶ ἡ μὲν τελεία μετάνοια ἐν τῷ λουτρῷ τυγχάνει. Εἰ δέ τις παρέπεσεν, οὐκ ἀπόλλει τοῦτον ἡ ἁγία τοῦ θεοῦ ἐκκλησία· δίδωσι γὰρ ἐπάνοδον, καὶ μετὰ τὴν μετάνοιαν τὴν μεταμέλειαν. Τῷ γὰρ Κάϊν εἶπεν ὁ θεὸς,
pag. 494. Ἥμαρτες, ἡσύχασον, καὶ τῷ παραλυτικῷ, Ἰδοὺ, ὑγιὴς γέγονας, μηκέτι ἁμάρτανε. Καὶ Πέτρον ἀνακαλεῖται ὁ κύριος μετὰ τὸ ἀρνήσασθαι, καὶ ἀντὶ τῶν τριῶν ἀρνήσεων τρὶς αὐτὸν προσκαλεῖται εἰς ὁμολογίαν, Ἀγαπᾷς με, Πέτρε; καί φησι, Ποίμαινε τὰ πρόβατά μου.

Κεφ. β'. Σφάλλει δὲ αὐτοὺς τὸ ῥητὸν τοῦ ἀποστόλου εἰρημένον, Ἀδύνατον τοὺς ἅπαξ φωτισθέντας καὶ καλὸν γευσαμένους θεοῦ ῥῆμα, δυνάμεις τε τοῦ μέλλοντος αἰῶνος, καὶ παραπεσόντας, πάλιν ἀνακαινίζειν, ἀνασταυροῦντας ἑαυτοῖς τὸν υἱὸν τοῦ θεοῦ, καὶ παραδειγματίζοντας· γῆ γὰρ ἡ πιοῦσα τὸν ἐπ' αὐτῆς πολλάκις ἐρχόμενον ὑετὸν, καὶ τίκτουσα βοτάνην εὔθετον ἐκείνοις δι' οὓς καὶ γεωργεῖται, μεταλαμβάνει εὐλογίας, ἐκφέρουσα δὲ ἀκάνθας καὶ τριβόλους, ἀδόκιμος καὶ κατάρας ἐγγὺς, ἧς τὸ τέλος εἰς καῦσιν. Καὶ γὰρ τῷ μὲν ὄντι τοὺς ἅπαξ ἀνακαινισθέντας καὶ παραπεσόντας ἀνακαινίζειν ἀδύνατον. Οὔτε γὰρ ἔτι γεννηθήσεται Χριστὸς, ἵνα σταυρωθῇ ὑπὲρ ἡμῶν, οὔτε ἀνασταυροῦν δύναταί τις τὸν υἱὸν τοῦ θεοῦ, τὸν μηκέτι σταυρούμενον, οὔτε δύναταί τις λουτρὸν δεύτερον λαμβάνειν, ἓν γάρ ἐστι τὸ βάπτισμα, καὶ εἷς ὁ ἐγκαινισμός. Ἀλλὰ εὐθὺς ἐπιφέρει τὴν τούτων ἴασιν ὁ ἅγιος ἀπόστολος, τὴν ἐκκλησίαν ἰατρεύων, καὶ τῶν αὐτῆς μελῶν ἐπιμελούμενος,

Cap. I. — 1. ὑπὸ *correxit Ios. Scaliger. An potius* πρὸς Μαξιμίνου? — πρὸ τοῦ Μαξιμίνου *legitur in cod. Veneto.*

2. αὐτῷ ἑπομένοις μὴ θελήσασι *cod. Venet.*

fuit quae eam antecessit quam Maximinus excitavit; quae Decii, ut opinor, aut Aureliani fuit. Quamobrem propter eos qui in illa persecutione lapsi fuerant cum arrogantia una cum suis inflatus eos in communionem nollet admittere qui post persecutionem poenitentiam susceperant, ad eam se convertit haeresin, nullam ut esse spem salutis assereret, atque unam duntaxat esse poenitentiam. Qui autem post baptismum delinqueret, nullam erga eum misericordiam adhiberi posse.

Atqui nos unam esse poenitentiam ultro concedimus, ac per eam iteratae generationis lotionem ad salutem perveniri, sed dei humanitatem ac clementiam minime tollimus, cum et veritatis dogma, et misericordiam domini, et naturae nostrae conditionem venia sane dignam, et animorum inconstantiam, et imbecillitatem carnis, et sensuum in plerisque hominibus distractas ac dissipatas vires perspectas habeamus. Quoniam nemo peccati expers est, *neque mundus a sordibus, ne is quidem cuius est unius diei vita super terram.* Iob. 14, 4. Enimvero perfecta in baptismo quidem poenitentia est. Sed si quis exciderit, non illum sanctae dei ecclesia perditum velit, imo et receptum, et post poenitentiam mutandi consilii facultatem indulget. Nam et Caino deus dixit, *Peccasti, quiesce.* Item paralytico: *Ecce sanus es, noli amplius peccare.* Gen. 4, 7. Ad haec Petrum post negationem revocat dominus, et ad triplicem illam negationem compensandam ter ipsum ad confessionem induxit: *Petre,* inquit, *amas me?* Deinde, *Pasce oves meas.* Ioann. 5, 14.

Cap. II. Sed illos apostoli dictum illud in errorem impellit: *Impossibile est eos, qui semel illuminati sunt, et gustaverunt bonum dei verbum ac virtutes futuri seculi, et ceciderunt, rursum renovare crucifigentes sibimetipsis filium dei, et traducentes. Terra enim, quae supervenientem in se saepius imbrem biberit, et produxerit herbam opportunam illis, per quos colitur, particeps est benedictionis. Proferens autem spinas et tribulos reproba est, et maledicto proxima, cuius finis est in combustionem.* Hebr. 6, 4—8. Nam revera qui semel renovati ceciderunt, renovari amplius non possunt. Neque enim nascetur amplius Christus, ut pro nobis in crucem agatur. Neque dei filium in cruce suspendere quispiam potest, qui id ultra perpeti nequit. Neque alteram quis usurpare lotionem potest, quod unus baptismus sit, unaque renovatio. Verum horum omnium remedium statim apostolus subiicit, ut et ecclesiae medicinam faciat, et illius membris consulat. Ait

3. τέτρεπται λέγειν *cod. Ven.*
4. δύνασθαι τινὰ ἐλεεῖσθαι *cod. Ven.*
5. ταύτην *corr. Petavius.*
6. μιᾷ ἡμέρᾳ *corr. Ios. Scaliger.*

καί φησι, Πεπείσμεθα δὲ περὶ ὑμῶν, ἀγαπητοὶ, τὰ κρείττονα, καὶ ἐχόμενα σωτηρίας, εἰ καὶ οὕτως λαλοῦμεν· οὐ γὰρ ἄδικος ὁ θεὸς ἐπιλαθέσθαι τοῦ ἀγαθοῦ ἔργου ὑμῶν. Καὶ ὁρᾷς πῶς τὸν ἐγκαινισμὸν μὴ δύνασθαι δεύτερον γενέσθαι τελείως ἀπεφήνατο, τῆς δὲ σωτηρίας οὐκ ἀπέτρεπε τοὺς ἔτι μετανοοῦντας, ἀλλὰ καὶ σωτηρίας ἐχομένους, καὶ θεὸν ἀντιλήπτορα τῆς ἀγαθοεργίας αὐτῶν καὶ ἀπὸ τῶν παραπτωμάτων τελειότατα μετανοούντων καὶ ἐπιστρεφόντων καὶ μεταμελομένων; Δέχεται οὖν ὁ ἅγιος λόγος καὶ ἡ ἁγία θεοῦ ἐκκλησία πάντοτε τὴν μετάνοιαν, οὐκ ἐξυδαρευομένη, οὐδὲ ῥαθύμους τοὺς τὸν δρόμον τελοῦντας παρασκευάζουσα, ἀλλὰ θεοῦ τὴν χάριν καὶ τὴν φιλανθρωπίαν μὴ [1] ἀνακάμπτουσα, γινώσκουσα δὲ τὸν τρόπον ἑκάστης ὑποθέσεως. Ὡς γὰρ τὴν παρθενίαν ἀπολέσας ἀδυνάτως [2] ἔχει ταύτην κτήσασθαι σωματικῶς, μὴ ἐνδεχομένης τῆς φύσεως, οὕτω καὶ ἀπὸ τοῦ λούτρου ἐν pag. 495. μεγάλοις τισὶ παραπτώμασι περιπεσών· καὶ ὥςπερ ὁ ἀπὸ παρθενίας παραπεσὼν δευτέραν τιμὴν τὴν ἐγκράτειαν ἔχει, οὕτω καὶ [3] εἰς τὸ λουτρὸν ὁ ἐν παραπτώματι μείζονι γενόμενος ἔχει δευτέραν ἴασιν, οὐ τοιαύτην ἐνάρετον κατὰ τὴν πρώτην, οὐκ ἀποβεβλημένην δὲ ζωῆς ἔχει τὴν δευτέραν ἣν κέκτηται. Οὐκ ἀθετεῖ τοίνυν ὁ θεῖος λόγος τὸν μισθὸν, τῶν ἐν μετανοίᾳ καμνόντων.

Κεφ. γʹ. Ἔπειτα δὲ αὐτοὶ πάλιν ἀπὸ τούτου προπηδήσαντες καὶ ἄλλα τινὰ ἐφηύραντο. Καὶ γὰρ αὐτοὶ τὴν αὐτὴν ἣν καὶ ἡμεῖς κεκτήμεθα πίστιν λέγουσιν ἔχειν. Οὗτοι δὲ οὐ βούλονται [1] διγάμοις ἐπικοινωνεῖν. Εἰ γάρ τις μετὰ τὸ βάπτισμα συναφθείη γυναικὶ δευτέρᾳ, παρὰ τούτοις οὐκ εἰςδεχθήσεται ἔτι· καὶ τὸ πᾶν ἐστιν ἠλίθιον. Ὡς γὰρ εἴ τις θεάσηταί τινα νηχόμενον ἐν ὕδατι, καὶ ἀγνοῶν τὴν πεῖραν τῆς διανήξεως ἑαυτὸν ἔκδοτον τοῖς ὕδασι δῴη καὶ ὑποβρύχιος γένηται, μὴ ἐν πείρᾳ ὢν, μηδὲ σαφῶς γνοὺς τῶν διὰ χειρῶν τε καὶ ποδῶν τὴν σωτηρίαν ἑαυτοῖς προςποριζομένων τὴν ἐπιστήμην, νομίζει δὲ ἁπλῶς τὸ ὕδωρ διαβαστάζειν τὸν ἄνθρωπον, δίχα τῶν ἰδίων χειρῶν· ἢ ὡς εἴ τις ἀκούοι τὸν ἡγεμόνα τιμωροῦντα τούς τι δρῶντας [2] καινῆς φαυλότητος ἄχρι καὶ ἐλαχίστων, καὶ νομίζει μὲν τὴν δίκην ἴσην διεξιέναι κατὰ πάντων, ὡς ἐπὶ τοῦ φόνου, οὕτως καὶ ἐπὶ τοῦ διαβάλλοντος τὸν πέλας, ἢ μαχησαμένου· ἢ ὡς ἐὰν ᾖ τις παντάπασιν ἰδιώτης, καὶ θεάσηται τὸν εἰληφότα ἄρχοντα τὴν ἐξουσίαν κατ' ἀλιτηρίων ἀποσπάσαντα μάχαιραν, ἢ κατὰ γοήτων καὶ βλασφήμων, ἢ ἀκαθοσιώτων, νομίζει δὲ τοὺς

Cap. II. — 1. reflectens *vertit Cornarius.* ἀνακόπτουσα *corr. Petavius.*
2. *Suspicor* ἔχεις ταύτην.
3. *H. e.* qui in sacrum lavacrum ma-ius quid peccavit. *Quare non est cur Petavium sequamur mutantem* μετὰ τὸ λουτρὸν *cett.*

itaque, *Confidimus autem de vobis, carissimi, meliora et viciniora saluti, tametsi ita loquimur. Non enim iniustus est deus, ut obliviscatur boni operis vestri.* In quo vides quemadmodum et instaurationem illam secundam fieri non posse omnino pronuntiaverit, neque tamen a salute illos excluserit quos peccati sui poeniteret, sed et saluti propinquos esse dixerit, et deum recte ab iis factorum esse susceptorem, qui delictorum suorum absolutam poenitentiam capesserent, seque adeo converterent, animumque mutarent. Quamobrem cum divinus sermo, tum sancta dei ecclesia perpetuo poenitentiam approbat, non quod mollior ac dilutior sit, aut pigriores illos faciat qui in illo stadio decurrunt, sed ut dei gratiam humanitatemque non reiiciat, ac cuiusque caussae modum ac rationem consideret. Ut enim is, qui virginitatem amisit, quod ad corpus attinet, repraesentare illam non potest, cum id minime natura patiatur, ita qui post baptismum in maiora quaedam crimina prolapsus est, perinde ac qui virginitate excidit secundum habet in continentia commendationis gradum: sic ille post baptismum graviore obstrictus scelere secundum habet sanitatis genus. Quod tametsi cum tanta, quanta prius, virtute minime coniunctum sit, non est tamen a consequendae vitae spe ac salutis alienum. Igitur eorum, qui in capessenda poenitentia laborant, fructum ac praemium divinus sermo non reiicit. Hebr. 6, 9.

Praeterea iidem illi longius ex illo dogmate prosilientes alia quaedam adiecerunt. Aiunt enim se eandem nobiscum habere fidem; sed tamen cum digamis communicare detrectant. Nam si quis post baptismum secundam uxorem duxerit, ab illis non amplius admittitur. Quod quidem plane stolidum est. Ut enim si quis natantem aliquem in aqua viderit, ac natandi usum ignorans sese in aquam commiserit, ac pessum ierit, quod et eius rei sit expers et eorum qui manibus ac pedibus saluti suae consulunt scientia minime sit praeditus, sed ultro aquam existimet citra manuum agitationem hominem sustinere. Aut quemadmodum si quis praefectum audiat in eos animadvertentem qui ulla in re etiam minima deliquerint atque eandem in omnes poenam constitutam arbitretur, quemadmodum in eos qui patricidium commiserint, sic in illos qui aliis calumniati fuerint, aut pugnando lacessiverint. Vel perinde ac si rudis quispiam et imperitus magistratum videat potestate praeditum gladium in sceleratos distringere, velut veneficos aut blasphemos aut perduelles, Cap. III.

Cap. III. — 1. διγάμοις, *quod sententia postulat, habet codex nescio qui manu exaratus, cuius scripturas discrepantes hic illic annotavit A. Schottus in sui libri margine. Vulgo extat* διδαγμοῖς. *Neque aliter cod. Rhedig.*

2. χαινῆς *mea est emendatio. Libri habent* χαὶ τῆς.

πάντας ἐξουσίαν ἔχειν τῆς τοιαύτης αἰτίας ποιεῖσθαι τὴν δίκην, θεασάμενος δὲ δίκην δόντας ἀνθρώπους καὶ αὐτὸς δὲ τὰ ἴσα [3] μιμησάμενος θελήσει ἀποκτεῖναί τινας, ὡς δῆθεν τοὺς ἠδικηκότας δικάζων, ἁλοὺς δὲ ὁ τοιοῦτος αὐτὸς δίκην δώσει, μὴ εἰληφὼς παρὰ βασιλέως ἐξουσίαν τῶν τοιούτων, καὶ ὅτι τὴν ἴσην ἐνόμιζε κατὰ πάντων ἐξιέναι ψῆφον ἀπὸ τῆς δίκης τῶν νόμων, ἑαυτὸν δὲ ἐν τῇ ἀδικίᾳ διὰ τῆς ἰδίας ἀπειρίας καὶ ἀπαρακολουθησίας ἔκδοτον ἀπωλείας παρασκευάσας· οὕτω καὶ αὐτοὶ τὰ πάντων ὁμοῦ μίξαντες ἐκ πάντων ἐξέπεσαν, καὶ μὴ
pag. 496. νοήσαντες τὰ ἀκριβῆ τῆς τοῦ θεοῦ διδασκαλίας ἐπὶ ἑτέραν τρίβον σφαλέντες ἐτράπησαν, οὐκ εἰδότες ὅτι αὕτη ἐστὶν ἡ τῆς θείας γραφῆς παράδοσις καὶ ἀκολουθία.

Κεφ. δ'. Τὰ γὰρ εἰς ἱερωσύνην παραδοθέντα διὰ τὸ ἐξοχώτατον τῆς ἱερουργίας εἰς πάντας ἐνόμισαν ἴσως φέρεσθαι. Ἀκηκοότες ὅτι δεῖ τὸν ἐπίσκοπον ἀνεπίληπτον εἶναι, μιᾶς γυναικὸς ἄνδρα, ἐγκρατῆ, ὡσαύτως καὶ τὸν διάκονον καὶ τὸν πρεσβύτερον. Καὶ γὰρ τῷ μὲν ὄντι οὐ δέχεται τὸ ἅγιον τοῦ θεοῦ κήρυγμα μετὰ τὴν τοῦ Χριστοῦ ἐνδημίαν τοὺς ἀπὸ πρώτου γάμου τελευτησάσης τῆς αὐτῶν γυναικὸς δευτέρῳ γάμῳ συναφθέντας, διὰ τὸ ὑπερβάλλον τῆς τιμῆς τῆς ἱερωσύνης. Καὶ ταῦτα ἀσφαλῶς ἡ ἁγία τοῦ θεοῦ ἐκκλησία μετὰ ἀκριβείας παραφυλάττεται. Ἀλλὰ καὶ τὸν ἔτι βιοῦντα καὶ τεκνογονοῦντα, μιᾶς γυναικὸς ὄντα ἄνδρα, οὐ δέχεται, ἀλλὰ ἀπὸ μιᾶς ἐγκρατευσάμενον ἢ χηρεύσαντα διάκονόν τε καὶ πρεσβύτερον καὶ ἐπίσκοπον καὶ ὑποδιάκονον, μάλιστα ὅπου ἀκριβεῖς κανόνες οἱ ἐκκλησιαστικοί.

Ἀλλὰ πάντως ἐρεῖς μοι ἔν τισι τόποις ἔτι τεκνογονεῖν πρεσβυτέρους καὶ διακόνους καὶ ὑποδιακόνους. Τοῦτο οὐ παρὰ τὸν κανόνα, ἀλλὰ παρὰ τὴν τῶν ἀνθρώπων κατὰ καιρὸν ῥαθυμήσασαν διάνοιαν, καὶ τοῦ πλήθους ἕνεκεν, μὴ εὑρισκομένης ὑπηρεσίας. Τὸ πρεπωδέστερον γὰρ ἀεὶ ἡ ἐκκλησία ὁρῶσα ἁγίῳ πνεύματι εὖ διαταχθεῖσα ἔγνω ἀπερισπάστους θεῷ τὰς λατρείας ἐπιτελεῖσθαι σπουδάζειν, καὶ τὰ πνευματικὰ τῶν χρειῶν μετὰ πάσης εὐνουστάτης συνειδήσεως τελειοῦσθαι. Φημὶ δὲ ὅτι πρέπον ἐστὶ διὰ τὰς ἐξαπίνης λειτουργίας καὶ χρείας σχολάζειν τὸν πρεσβύτερον καὶ διάκονον καὶ ἐπίσκοπον θεῷ. Εἰ γὰρ καὶ τοῖς ἀπὸ τοῦ λαοῦ προστάσσει ὁ ἅγιος ἀπόστολος λέγων, ἵνα πρὸς καιρὸν σχολάσωσι τῇ εὐχῇ, πόσῳ γε μᾶλλον τῷ ἱερεῖ τὸ αὐτὸ προστάσ-

3. μισάμενος edit. princ.

ac penes universos esse potestatem arbitretur, ut illius criminis poenas constituant, cumque punitos ob id homines viderit, imitari et ipse velit, ac tanquam de reis iudicium exercens mortem illis inferre conetur. Eiusmodi quippe poenas ipse persolvet; tum quod nullam a principe eius rei potestatem acceperit, tum quod aequalem in omnes legibus constitutam poenam esse sibi persuaserit, ac denique per imperitiam inscitiamque suam tali scelere exitium sibi ac perniciem consciverit. Ita etiam illi, cum simul omnia permisceant omnibus exciderunt, cumque divinae disciplinae accurata cognitione careant, alienum in tramitem summo errore deflexerunt. Istud enim nequaquam discernunt, talem esse qualem diximus, in scripturis sacris modum ac rationem praescriptam.

Si quidem quae sacerdotio propter singularem functionis illius Cap. IV.
dignitatem praecipue tributa sunt, ea ad omnes communiter pertinere iudicant. Illud quidem audierunt: Episcopum irreprehensibi- 1. Tim. 3, 2.
lem esse oportere, unius uxoris virum, continentem, similiter et diaconum et presbyterum. Ita enim profecto sese res habet, ut post Christi in orbem terrarum adventum, eos omnes qui secundum priores nuptias mortua uxore alteri sese nuptiis illigarint sanctissima dei disciplina reiiciat, propterea quod incredibilis est sacerdotii honor ac dignitas. Atque istud ipsum sacrosancta dei ecclesia cum omni provisione diligentiaque servat. Quin eum insuper, qui adhuc in matrimonio degit ac liberis dat operam, tametsi unius sit uxoris vir, nequaquam tamen ad diaconi, presbyteri, episcopi aut hypodiaconi ordinem admittit, sed eum duntaxat qui ab unius uxoris consuetudine sese continuerit, aut ea sit orbatus; quod in illis locis praecipue fit, ubi ecclesiastici canones accurate servantur.

Atenim nonnullis adhuc in locis presbyteri, diaconi et hypodiaconi liberos suscipiunt. Respondeo, non illud ex canonis auctoritate fieri, sed propter hominum ignaviam, quae certis temporibus negligenter agere ac connivere solet, ob nimiam populi multitudinem; cum scilicet qui ad eas se functiones applicent non facile reperiuntur. Quod ad ipsam quidem ecclesiam attinet, ea, utpote a sancto spiritu bene ordinata atque constituta, quod decentius est omnibus in rebus considerans, ei rei studere potissimum instituit, ut quae divino numini ministeria praestantur, nulla re, quoad fieri potest, distrahantur, utique spiritalia omnia officia quam optima laetissimaque conscientia gerantur. Hoc igitur dico propter subitas functiones atque officia convenire, ut presbyter ac diaconus, et episcopus deo penitus vacet. Nam si illis etiam qui e populo sunt id ipsum apostolus praecipit: *Ut*, inquit, *ad tempus vacent orationi*, 1. Cor. 7, 5.

σει; Τὸ ἀπερίσπαστον δὲ λέγω εἰς τὸ σχολάζειν κατὰ θεὸν ἐν ταῖς χρείαις ταῖς πνευματικαῖς [1] τελεσιουργουμένῃ ἱερωσύνῃ. Ἔξεστι δὲ τῷ λαῷ δι' ἀσθένειαν διαβαστάζεσθαι, καὶ μὴ δυνηθέντας ἐπὶ τῇ πρώτῃ
pag. 497. *γαμετῇ στῆναι δευτέρᾳ μετὰ θάνατον τῆς πρώτης συναφθῆναι. Καὶ ὁ μὲν μίαν ἐσχηκὼς ἐν ἐπαίνῳ μείζονι καὶ τιμῇ παρὰ πᾶσιν ἐκκλησιαζομένοις ἐνυπάρχει, ὁ δὲ μὴ δυνηθεὶς τῇ μιᾷ ἀρκεσθῆναι τελευτησάσῃ, [2] ἢ εἰ ἕνεκέν τινος προφάσεως, [3] πορνείας ἢ μοιχείας ἢ κακῆς αἰτίας, χωρισμοῦ γενομένου [4] συνήφθη εἶτα δευτέρᾳ γυναικὶ, ἢ γυνὴ δευτέρῳ ἀνδρὶ, οὐκ αἰτιᾶται ὁ θεῖος λόγος, οὐδὲ ἀπὸ τῆς ἐκκλησίας καὶ τῆς ζωῆς ἀποκηρύττει, ἀλλὰ διαβαστάζει διὰ τὸ ἀσθενὲς, οὐχ ἵνα δύο γυναῖκας ἐπὶ τὸ αὐτὸ [5] σχῇ ἔτι περιούσης τῆς μιᾶς, ἀλλ' ἀπὸ μιᾶς ἀποσχεθεὶς δευτέρᾳ, [6] εἰ τύχοι, ἐν νόμῳ [7] συναφθῆναι. Ἐλεεῖ τοῦτον ὁ ἅγιος λόγος καὶ ἡ ἁγία θεοῦ ἐκκλησία, μάλιστα εἰ τυγχάνει ὁ τοιοῦτος τὰ ἄλλα εὐλαβὴς καὶ κατὰ νόμον θεοῦ πολιτευόμενος. Καὶ γὰρ οὐκ ἂν ἔλεγεν ὁ ἀπόστολος ταῖς χήραις, Γαμείτωσαν, τεκνογονείτωσαν, οἰκοδεσποτείτωσαν· οὐδὲ πάλιν ἔλεγε τῷ ἀνδρὶ τῷ τὴν γυναῖκα τοῦ πατρὸς ἔχοντι, καὶ παραδοθέντι τῷ Σατανᾷ εἰς ὄλεθρον σαρκὸς, Ἵνα τὸ πνεῦμα σωθῇ ἐν τῇ ἡμέρᾳ τοῦ κυρίου· οὐκ ἔλεγε πάλιν, Κυρώσατε εἰς αὐτὸν ἀγάπην, ἵνα μὴ τῇ περισσοτέρᾳ λύπῃ καταποθῇ ὁ τοιοῦτος. Ἔλεγε γὰρ πάλιν, Ὧι τι χαρίζεσθε, κἀγώ· διότι εἴ τι κεχάρισμαι, δι' ὑμᾶς κεχάρισμαι ἐν προσώπῳ Χριστοῦ, ἵνα μὴ πλεονεκτηθῶμεν ὑπὸ τοῦ Σατανᾶ. Οὐ γὰρ αὐτοῦ τὰ νοήματα ἀγνοοῦμεν. Καὶ ὁρᾷς πῶς δίδωσι μετάνοιαν, καὶ μετὰ τὰ παραπτώματα;*

Κεφ. ε'. *Πάλιν δὲ ὁ κύριός φησιν, Ἄφετε ἀλλήλοις τὰ παραπτώματα, ἵνα καὶ ὁ πατὴρ ὑμῶν ὁ ἐν οὐρανῷ ἀφήσει ἡμῖν. Ἀλλὰ καὶ ἐν ἄλλῳ τόπῳ οὕτως φησὶ, Πενθήσω πολλοὺς τοὺς ἐν ἡμῖν παραπεσόντας, καὶ μὴ μετανοήσαντας· ὡς δεικνὺς ὅτι εἰ καὶ παρέπεσαν καὶ μετενόησαν, εἰσδεκτοὶ οὗτοι γίνονται, καὶ οὐκ ἀποβληθήσονται, τοῦ κυρίου γινώσκοντος τί μετὰ ἑκάστου ποιήσειε. Καὶ ὅτι μὲν ὁ κανὼν τῆς ἀληθείας τοιοῦτον ἔχει τὸν χαρακτῆρα παντί τῳ σαφές ἐστι. Μετὰ γὰρ τὴν πρώτην μετάνοιαν τὴν διὰ τοῦ λουτροῦ τῆς παλιγγενεσίας, ἐν ᾗ μετανοίᾳ ἀνεκαινίσθη πᾶς ἄνθρωπος, δευτέρα τις τοιαύτη οὐχ ὑπάρχει. Οὔτε γὰρ δύο εἰσὶ βαπτίσματα, ἀλλὰ ἓν, οὔτε δὶς ἐσταυρώθη Χριστὸς, ἀλλ'*

Cap. IV. — 1. τελεσιουργουμένῃ *emendarunt Cornarius et Petavius. Libri habent* τελεσιουργημένη *vulgo.*

2. ἢ εἰ ἕνεκεν *de coniectura mea supplevi; nam verba* ἢ εἰ *in libris desiderantur. Petavius cogitavit* ἢ ἕνεκεν.

3. ἢ πορνείας *cod. Venet.*

4. συνήφθη εἶτα *mea est emendatio. Libri habent* συναφθέντα. *Cornarius vertit:* „Qui vero non potuit una mortua contentus esse, ob aliquam caussam, scortationem, aut adulterium, aut separationem ob aliquam malam caussam facta, cum divina scriptura non accu-

quanto id magis sacerdoti praescripsit? Nimirum nullis ut impedimentis avocetur, quo in spiritualibus secundum deum negotiis, in ipso usu sacerdotii administrationeque ferietur. Ceterum in populo, propter eius imbecillitatem, tolerari istud potest, ut qui uxore prima contenti esse non possint, ea mortua secundam sibi copulent. Quamquam qui unam duntaxat habuit, maiori ecclesiae iudicio honore dignus est. Sed cui mortua una non sufficit, cum occasione aliqua stupri adulteriique, aut alterius flagitii, cum ea divortium fecerit, is si alteram uxorem duxerit, aut alteri viro mulier nupserit, sacrarum literarum auctoritas ab omni culpa illos absolvit, neque ab ecclesia, aut aeterna vita reiicit, sed propter imbecillitatem tolerandos existimat. Non ita tamen, duas ut altera superstite uxores simul habeat, sed ut ab una separatus, alteram sibi legitime, si lubet, adiungat. Quamobrem erga eiusmodi hominem tam divinus sermo quam ecclesia dei misericordiam adhibet; praesertim si ceteris in rebus religiosus ille sit, et ad divinae legis praescriptum vitae suae rationes accommodet. Quod nisi ita esset, nunquam viduis apostolus dixisset,
Nubant, filios procreent, familiae praesint. Sed neque de homine 1. Cor. 7, 9.
illo qui patris uxorem duxerat, ob idque Satanae in interitum carnis 1. Cor. 5, 5.
traditus fuerat, ita loqueretur: *Ut spiritus salvus sit in die domini.*
Neque illud usurparet: *Confirmate in illum caritatem, ne abundan-* 2. Cor. 2, 7 et 8.
tiore tristitia absorbeatur eiusmodi. Quibus haec adiecit: *Cui aliquid* 2. Cor. 2, 10.
donastis, et ego quoniam si quid donavi, propter vos donavi in facie Christi, ne circumveniamur a Satana: neque enim illius astutias ignoramus. Vides ut poenitentiae locum etiam post delicta concedat?

Ad haec domini illa vox est: *Dimittite invicem peccata, ut et* Cap. V. Matth. 6, 14.
pater vester qui in coelis est dimittat vobis. Deinde sic alio loco
scripsit apostolus: *Lugebo multos, qui in vobis ceciderunt, neque* 2. Cor. 12, 21.
poenitentiam egerunt. Ut ostendat, tametsi ceciderint, ac poenitentiam susceperint, admitti nihilominus, nec omnino reiici. Novit enim dominus quid unicuique facturus sit. Quod igitur veritatis regula ad eam sese formam habeat, nemini est obscurum. Quippe post priorem poenitentiam, quae per secundae generationis lotionem obtinetur, in qua poenitentiae beneficio quilibet renovatus est, eiusmodi secunda amplius nulla poenitentia suppetit. Non enim baptismi duo sunt, sed unus duntaxat. Neque bis in crucem Christus actus

sat, si aut vir secundae coniugatur uxori, aut uxor secundo viro, neque ab ecclesia et vita abdicat, sed suffert, propter debilitatem."

5. σχολῇ cod. Venet.

6. *Vulgo* εἰ τύχοιεν, νόμῳ συναφθῆναι. *Cod. Ven. habet* ἐννόμως, εἰ τύχοι, συναφθῆναι.

7. *Suspicor rescribendum esse* συναφθῇ. Καὶ ἐλεεῖ *cett.*

pag. 498. ἅπαξ, οὔτε δὶς ἀπέθανεν ὑπὲρ ὑμῶν, καὶ ἀνέστη. Καὶ τούτου χάριν ἐπασφαλίσασθαι δεῖ, ἵνα μὴ παραπεσόντες τὸν στέφανον τοῦ ἀνακαινισμοῦ ἀπολέσωμεν. Ἀλλὰ ἐάν τις παραπέσῃ, καὶ προληφθῇ ἔν τινι παραπτώματι, ὡς λέγει ὁ ἀπόστολος, ὑμεῖς οἱ πνευματικοὶ καταρτίζετε τὸν τοιοῦτον ἐν πνεύματι πρᾳότητος, σκοπῶν σεαυτὸν, μὴ καὶ σὺ πειρασθῇς. Ἐάν τις οὖν προληφθῇ παραπτώματι ἐν οἵῳ δ' ἂν εἴη, μετανοείτω. Δέχεται γὰρ ὁ Θεὸς τὴν μετάνοιαν καὶ μετὰ τὸ βάπτισμα, ἐάν τις παραπέσῃ. Πῶς δὲ μετὰ τοῦτο ποιεῖ αὐτὸς μόνος γινώσκει. Ἀνεξερεύνητα γὰρ τὰ κρίματα αὐτοῦ, καὶ ἀνεξιχνίαστοι αἱ ὁδοὶ αὐτοῦ, καὶ πρὸ τῆς παρουσίας οὐ δεῖ κρίνειν, ἕως ἂν ἔλθῃ ὁ κύριος, ὃς καὶ ἀποκαλύψει τὰ ἀπόκρυφα τῆς καρδίας, καὶ τότε ἔπαινος ἑκάστου φανερὸς γενήσεται· ἡ γὰρ ἡμέρα δηλώσει ὅτι ἐν πυρὶ ἀποκαλύπτεται.

Κεφ. ς΄. Οὔτε οὖν ἐπαγγελλόμεθα ἐλευθερίαν παντάπασι τοῖς μετὰ τὸ βάπτισμα παραπεπτωκόσιν, οὔτε ἀπαγορεύομεν τὴν αὐτῶν ζωήν. Θεὸς γὰρ ἐλεήμων ἐστὶ καὶ οἰκτίρμων, καὶ ἔδωκε τοῖς μετανοοῦσιν ἐπάνοδον. Καὶ τὸ μὲν πρῶτόν ἐστι σαφές· τὸ δὲ δεύτερον, οἴδαμεν ὅτι ἐλεήμων ἐστὶν ὁ Θεὸς ἐὰν ἐξ ὅλης ψυχῆς μετανοήσωμεν ἀπὸ παραπτωμάτων. Ἔχει γὰρ ἐν χειρὶ ζωὴν καὶ σωτηρίας φιλανθρωπίαν. Καὶ τί μὲν αὐτὸς ποιεῖ αὐτῷ μόνῳ ἔγνωσται. Πλὴν ὅτι ζημία οὐκ ἔνι ἀπὸ τῆς μετανοίας, οὐδὲ ἀπηγόρευται ὁ μετανοῶν ἀπὸ πάντων σφαλμάτων. Πόσῳ γε μᾶλλον ὁ κατὰ νόμον συναφθεὶς δευτέρᾳ γυναικί; Καὶ ἡ μὲν πρώτη γυνὴ ἐκ Θεοῦ τεταγμένη, ἡ δὲ δευτέρα ἐξ ἀσθενείας ἀνθρώπων. Καὶ ἔτι περισσοτέρᾳ εἰ συναφθείη, τὸ ἀσθενὲς ἀεὶ διαβαστάζεται. Φησὶ γὰρ, Γυνὴ δέδεται γάμῳ ἐφ' ὅσον χρόνον ζῇ ὁ ἀνὴρ αὐτῆς· ἐὰν δὲ ἀποθάνῃ ὁ ἀνὴρ, ἐλευθέρα ἐστὶν ᾧ θέλῃ γαμηθῆναι, ἀποφηνάμενος μετὰ τελευτὴν ἀνδρὸς τὸ ἐλευθέριον ἀπὸ ἁμαρτίας, χωρὶς πάσης ἀντιλογίας, μετὰ τῆς προςθήκης σημάνας [1] τῷ, Ἐν κυρίῳ, ὡς οὐκ εἶναι αὐτὴν ἀλλοτρίαν κυρίου τὴν μετὰ τελευτὴν ἀνδρὸς συναπτομένην ἄλλῳ ἀνδρὶ, ἢ τὸν μετὰ τελευτὴν γυναικὸς συναπτόμενον δευτέρᾳ γυναικὶ, μόνον ἐν κυρίῳ, ὡς λέγει ὁ ἀπόστολος. Καί φησι, Μακαριωτέρα δέ ἐστιν ἐὰν μείνῃ οὕτως. Τὸ, Ἐν κυρίῳ, μὴ ἐν πορ-
pag. 499. νείᾳ, μὴ ἐν μοιχείᾳ, μὴ ἐν κλεψιγαμίᾳ, ἀλλ' ἐν παῤῥησίᾳ, ἐν σεμνῷ γάμῳ, ἐπιμένειν ἐν τῇ πίστει, ἐν ταῖς ἐντολαῖς, ἐν εὐποιΐαις, ἐν εὐλαβείᾳ, ἐν νηστείαις, ἐν εὐνομίᾳ, ἐν ἐλεημοσύναις, ἐν σπουδαιότητι, ἐν ἀγαθοεργίᾳ. Ταῦτα γὰρ συνόντα καὶ παραμένοντα οὐκ ἀργοὺς, οὐδὲ ἀκάρπους καθίστησιν εἰς τὴν τοῦ κυρίου παρουσίαν.

CAP. VI. — 1. *Fortasse* τῆς, Ἐν κυρίῳ, *vel* τοῦ, Ἐν κυρίῳ.

est, sed semel; non bis denique pro nobis mortuus est ac resurrexit. Quamobrem summa ob id adhibenda cautio est, ne, si in peccatum prolapsi fuerimus, instaurationis illius corona nobis pereat. Sed si quis tamen lapsus fuerit, *fueritque in aliquo delicto*, ut apostolus loquitur, *praeoccupatus, vos qui spiritales estis eiusmodi instruite in spiritu lenitatis, considerans temetipsum, ne et tu tenteris.* Gal. 6, 1. Quocirca si quis peccato aliquo, quodcumque demum illud sit, occupatus fuerit, huius illum poeniteat. Poenitentiam enim vel post baptismum accipit deus, si quis forte deliquerit. Quid autem deinceps faciat, solus ipse novit. *Inscrutabilia* siquidem *illius iudicia sunt, et investigabiles viae eius;* Rom. 11, 33. nec ante illius adventum iudicare quemquam oportet, *donec veniat dominus, qui et revelabit abscondita cordis.* 1. Cor. 4, 5. *Et tunc laus unicuiusque manifesta erit. Dies enim declarabit, quoniam in igne revelabitur.* 1. Cor. 3, 13.

Cap. VI. Quae cum ita sint, neque libertatem iis omnino qui post baptismum deliquerint ostendimus, neque illis spem salutis eripimus. Misericors enim deus est et benignus, ac receptum poenitentibus indulsit. Ac prius quidem est manifestum. De secundo vero illud novimus, misericordem esse deum, si nos ex animo peccatorum poeniteat. Etenim in manu ille vitam et in salutem propensam humanitatem tenet. Quidnam vero faciat, soli est ipsi perspectum. Illud quidem constat, nemini fraudi esse poenitentiam, neque quem peccatorum omnium poenitet reiici aut excludi. Quanto ergo magis idem ei tribuendum est qui cum altera uxore legitimis sese nuptiis illigarit? Nam ut prima uxor a deo constituta est, ita imbecillitati hominum posterior indulta. Quod si alteram praeterea sibi copulet, huius hac in parte toleratur infirmitas. Scriptum est enim, *Mulier alligata est nuptiis, quanto tempore vivit vir eius: sin autem mortuus fuerit vir, libera est, cui vult nubere.* 1 Cor. 7, 39. Quo quidem declarat post viri obitum ab omni illam peccato liberam esse, adeo ut contradicere nemo possit. Quod hoc addito significavit, *In domino*, quasi minime a domino sit aliena quae post viri obitum alteri se viro coniunxerit, ut nec illum vicissim qui uxore mortua sese ad secundam applicarit. *Tantum in domino*, ait apostolus. Addit tamen, *Beatior autem est, si sic manserit.* 1. Cor. 7, 40. Illud autem, *In domino*, idem est ac non in stupro aut adulterio violationeque matrimoniorum, sed in fiducia et honestis nuptiis persistere, in fide, praeceptis, bonis operibus, religione, ieiuniis, legum observantia, eleemosynis, bonitate, beneficentia. Haec enim cum in nobis insunt ac permanent, non otiosos et infructuosos constituunt in adventum domini,

Καὶ τῇ μὲν ἱερωσύνῃ τὸ πρῶτον τάγμα καὶ ἡ περὶ πάντων ἀκριβολογία, τῷ δὲ λαῷ τὸ σύμμετρον καὶ τὸ συγγνωστόν· ἵνα πάντες διδάσκωνται καὶ κατελεῶνται. Ἐλεήμων γάρ ἐστιν ὁ δεσπότης, καὶ δυνατὸς πάντας σώζειν τῇ ἰδίᾳ αὐτοῦ εὐνομίᾳ καὶ ἀληθινῇ πίστει τῆς τοῦ κηρύγματος καθαρότητος. Αὐτὸς γὰρ μόνος ἐστὶ καθαρός. Οὗτοι δὲ ἑαυτοὺς φήσαντες Καθαροὺς ἀπ' αὐτῆς τῆς ὑποθέσεως ἀκαθάρτους ἑαυτοὺς ἀποτελοῦσι. Πᾶς γὰρ ὁ ἑαυτὸν ἀποφήνας καθαρὸν ἀκάθαρτον ἑαυτὸν τελείως κατέκρινε.

Κεφ. ζ'. Πολλὴ δὲ ἄνοια τῶν τοιούτων νομιζόντων εἶναί τι, εἰ καὶ ἦν ἀληθὲς τὸ κήρυγμα, περὶ παντὸς τοῦ λαοῦ οὕτως φάσκον. Ἔδει δὲ γνῶμα ὅτι οὐ περὶ τῆς ὑποθέσεως ταύτης μόνον τὸ ἔγκλημα ὑπάρχει ψυχῇ, ἢ τὸ διὰ τοῦτο ἐνάρετον γενέσθαι μόνον, ἀλλὰ καὶ τὸ μὴ λοιδορεῖν, μὴ ὀμνύναι ὅρκον, μήτε ἐν ἀληθείᾳ, μήτε ἐν ψεύδει, ἀλλὰ Ναὶ, ναὶ, καὶ Οὒ, οὒ λέγειν, μὴ δολιεύεσθαι, μὴ διαβάλλειν, μὴ κλέπτειν, μὴ [1] ἐμπορεύεσθαι. Ἐκ τούτων γὰρ πάντων συνάγεται ἡμῖν τὰ ῥύπη τῶν ἁμαρτημάτων. Ὡς γὰρ, φησὶν, ὁ πάσσαλος ἀνὰ μέσον τῶν δύο λίθων συντρίβεται, οὕτως ἡ ἁμαρτία ἀνὰ μέσον ἀγοράζοντος καὶ πωλοῦντος. Καὶ ὅτι ἐκ τοῦ πλήθους πάντως καὶ μέθυσοι καὶ πόρνοι καὶ πλεονέκται καὶ τοκισταὶ, καὶ πάντως ὅτι τὰ τοιαῦτα ἔχουσι καὶ τούτοις ὅμοια, ὅτι καὶ ψεύσματα ἑκάστῳ αὐτῶν παρακολουθεῖ. Πῶς οὖν δύνανται ἑαυτοὺς Καθαροὺς ἀποκαλεῖν, διὰ τῆς μιᾶς ὑποσχέσεως τῆς πάσης κατὰ θεὸν πραγματείας περὶ πάντων τῶν σφαλμάτων ἀσφαλιζομένης; Οὐκ ἔγνωσάν τε οὗτοι τὰ ἀκριβῆ τοῦ κηρύγματος, οὐδὲ τίνι ἀφώρισε τὸ ἀκρίβασμα τοῦτο τῆς διγαμίας.

pag. 500. Ἀλλὰ καὶ οἱ ἀπὸ τοῦ διωγμοῦ παραπεπτωκότες καὶ ἑαυτοὶ, ἐὰν ἐνδείξωνται τελείαν τὴν μετάνοιαν, ἐν σάκκῳ καὶ σποδῷ καθεσθέντες καὶ κλαύσαντες ἐνώπιον κυρίου, δυνατός ἐστιν ὁ εὐεργέτης καὶ αὐτοὺς ἐλεῆσαι. Οὐ γάρ τι φαῦλον γίνεται ἀπὸ μετανοίας. Δέχεται οὖν τοὺς μετανοοῦντας ὁ κύριος καὶ ἡ αὐτοῦ ἐκκλησία. Ὡς ἐπέστρεψε Μανασσῆς ὁ υἱὸς Ἐζεκίου καὶ ἐδέχθη ὑπὸ κυρίου, καὶ ὁ ἀρνησάμενος πρὸς ὥραν ἅγιος Πέτρος, καὶ κορυφαιότατος τῶν ἀποστόλων, ὃς γέγονεν ἡμῖν ἀληθῶς στερεὰ πέτρα θεμελιοῦσα τὴν πίστιν τοῦ κυρίου, ἐφ' ᾗ ᾠκοδόμητο ἡ ἐκκλησία κατὰ πάντα τρόπον· πρῶτον μὲν ὅτι ὡμολόγησε Χριστὸν τὸν υἱὸν τοῦ θεοῦ τοῦ ζῶντος, καὶ ἤκουσεν ὅτι, Ἐπὶ τῇ πέτρᾳ ταύτῃ τῆς ἀσφαλῆς πίστεως οἰκοδομήσω μου τὴν ἐκκλησίαν, ἐπειδὴ

Cap. VII. — 1. ἐμπονεύεσθαι edit. princ. ἐμπορνεύεσθαι edit. Petav.

Iam vero sacerdotio primus ordo, accurataque in omnibus vitae ratio tribuitur. Populo vero moderatum quiddam, et ad eorum captum accommodatum et cum quadam indulgentia coniunctum; ut omnes doceantur ac misericordiam consequantur. Misericors quippe dominus est, et servare universos potest, cum praeclaris legum suarum institutis, tum vera puraque Christianae religionis fide. Ille enim purus solus est. At isti dum seipsos Puros esse praedicant, illo ipso suo dogmate impuros sese faciunt. Nam quisquis purum sese ipse pronuntiat, extremae se impuritatis suopte iudicio condemnat.

Sed incredibilis quaedam horum stultitia est, dum aliquam eius- Cap. VII.
modi scripturae sententiam esse putant (tametsi verum esse illorum dogma fateamur) quae de universo populo hunc in modum statuat. Scire enim illud debuerant, non in hoc solum genere hominum animos aut culpam contrahere, aut virtute praeditos esse, sed illud praeterea requiri, ut neque convicientur, nec omnino vere falsove iurent, nec aliud quicquam praeter, *Etiam, etiam, Non, non,* usurpent, ne dolo circumveniant, ne calumnientur, ne furentur, ne stuprum committant. Quibus ex omnibus criminum sordes colligimus.
Atque, *Ut palus*, inquit, *inter duos lapides conteritur, sic peccatum* Sir. 27, 2.
in medio eius qui emit et vendit. Ad haec necessarium esse, ut et ebrii et stupratores, et avari, et foeneratores, et eiusmodi, ac similibus vitiis obstricti in populi multitudine versentur, quandoquidem unicuique mendacia adhaerescunt. Quanam igitur fronte puros appellare seipsos singulari illa professione possunt, cum omnis Christianae vitae instituendae ratio ab omni delictorum genere cavendum esse constituat? Igitur Christianae doctrinae accuratam illi formam non norunt, neque cuinam exacta illa de secundis nuptiis praescriptis lex fuerit, prorsus intelligunt.

Quod ad eos vero spectat, qui in persecutione prolapsi sunt, etiam illis, si in sacco ac cinere sedentes coramque domino flentes perfectam prae se poenitentiam tulerint, beneficus ille deus misericordiam adhibere potest. Nihil enim ex poenitentia mali redundat.
Excipit ergo poenitentes dominus, nec non et eius ecclesia. Quem- 2.Par.33, 12.
admodum Manasses Ezechiae filius conversus est, et a domino receptus. Itemque princeps apostolorum Petrus, qui dominum aliquando negavit. Qui quidem solidae petrae instar nobis extitit, cui velut fundamento domini fides innititur, supra quam ecclesia modis omnibus extructa est. Inprimis quidem, quod Christum dei vivi
filium esse confessus est, idque vicissim audiit: *Supra hanc* solidae Matth. 16, 18.
fidei *petram aedificabo ecclesiam meam.* Quoniam diserte verum il-

σαφῶς [2] αὐτὸν ὡμολόγησεν υἱὸν ἀληθινόν. [3] Τῷ γὰρ εἰπεῖν υἱὸν [4] θεοῦ ζῶντος ἔδειξεν υἱὸν γνήσιον εἶναι, μετὰ προςθήκης τῆς Ζῶντος, ὡς ἐν πάσῃ μοι σχεδὸν αἱρήσει περὶ τούτου εἴρηται.

Κεφ. η΄. Ἀλλὰ καὶ περὶ τοῦ ἁγίου πνεύματος ὁ αὐτὸς ἀσφαλίζεται ἡμᾶς, λέγων τοῖς περὶ Ἀνανίαν, Τί ὅτι ἐπείρασεν ὑμᾶς ὁ Σατανᾶς, ψεύσασθαι τὸ πνεῦμα τὸ ἅγιον; οὐκ ἀνθρώπῳ ἐψεύσασθε, ἀλλὰ τῷ θεῷ. Διότι ἐκ θεοῦ τὸ πνεῦμα καὶ οὐκ ἀλλότριον θεοῦ. Ἀλλὰ καὶ ἐνταῦθα στερεὰ πέτρα οἰκοδομῆς καὶ θεμέλιος οἴκου θεοῦ γεγένηται, ἐν τῷ ἀρνησάμενον αὐτὸν καὶ πάλιν ὑποστρέψαντα, εὑρεθέντα τε ὑπὸ κυρίου καὶ καταξιωθέντα πάλιν ἀκοῦσαι, Ποίμαινε τὰ πρόβατά μου, καὶ, Ποίμαινε τὰ ἀρνία μου, καὶ, Ποίμαινε τὰ πρόβατά μου. Ὁ γὰρ Χριστὸς τοῦτο λέγων εἰς ἐπιστροφὴν ἡμᾶς ἤγαγε μετανοίας, ἵνα ἐν αὐτῷ πάλιν οἰκοδομηθείη ἡ εὐθεμελιώτατος πίστις, ἡ μὴ ἀπαγορεύουσα ζωὴν τῶν ἀνθρώπων, ὅσοι ἐμπνέουσι τῷ βίῳ καὶ μετανοοῦσιν ἐν ἀληθείᾳ καὶ διορθοῦνται τὰ ἑαυτῶν σφάλματα ἐν τῷ αἰῶνι τούτῳ.

Κεφ. θ΄. Καὶ ἐν τῷ Ἄισματι τῶν ᾀσμάτων, ἔφη αὐτὴ ἡ νύμφη πρὸς τὸν νυμφίον λέγουσα, Ἀποκρίνεται ὁ ἀδελφός μου καὶ λέγει μοι, Ἀνάστα, ἐλθὲ ἡ πλησίον μου, καλή μου, περιστερά μου, ὅτι ὁ χειμὼν παρῆλθε, τὰ στυγερά τε καὶ ζοφώδη τῆς συννεφίας, καὶ φοβερώτατα, ὡς εἰπεῖν, παρῆλθε, ὁ ὑετὸς ἀπῆλθεν, ἐπορεύθη ἑαυτῷ· τὰ ἄνθη ὤφθη ἐν τῇ γῇ ἡμῶν, ὁ καιρὸς τῆς τομῆς ἔφθασε, φωνὴ τῆς τρυγόνος
pag. 501. ἠκούσθη ἐν τῇ γῇ ἡμῶν· ἡ συκῆ ἐξήνεγκε τοὺς ὀλύνθους αὐτῆς, αἱ ἄμπελοι ὑμῶν κυπρίζουσιν, ἔδωκαν ὀσμήν· ἵνα δείξῃ πάντα τὰ παρῳχημένα παρελθόντα, ἔαρος δὲ ἄρτι ἀνθοῦντος, καὶ θαλάσσης γαληνιώσης τε καὶ φόβου τοῦ ὑετοῦ διελθόντος, καὶ τῶν παλαιῶν τῆς ἀμπέλου τετμημένων, καὶ τῆς πόας μηκέτι ποαζούσης μόνον, ἀλλὰ καὶ ἄνθη ἐκβαλούσης, καὶ τοῦ κηρύγματος τῆς φωνῆς ἐν τῇ ἐρήμῳ βοώσης, τουτέστιν ἐν τῇ γῇ ἡμῶν, καὶ συκῆς, τῆς ποτε καταραθείσης, ἐκβαλλούσης τοὺς ὀλύνθους, τοὺς καρποὺς τῆς μετανοίας, ἤδη ἐπὶ τοῖς κλώνεσι καὶ δένδρεσι φαινομένους, [1] ἀμπέλους δὲ ἤδη κυπριζούσας τὸ εὔοδμον, τῆς τοῦ εὐαγγελίου πίστεως κήρυγμα. Ἐπειδὴ δὲ εὐθέως κέκληκε τὴν τοιαύτην καὶ εἶπεν, Ἀνάστα, ἐλθὲ, Ἀνάστα ἀπὸ νεκρότητος ἁμαρτημάτων, καὶ Ἐλθὲ ἐν δικαιοσύνῃ, Ἀνάστα ἀπὸ παραπτώματος, καὶ Ἐλθὲ ἐν παρρησίᾳ, Ἀνάστα ἀπὸ ἁμαρτιῶν, καὶ Ἐλθὲ εἰς μετάνοιαν, Ἀνάστα ἀπὸ παραλύσεως, καὶ Ἐλθὲ ἐν τελειότητι, Ἀνάστα ἀπὸ λωβήσεως, καὶ Ἐλθὲ ἐν ὑγείᾳ, Ἀνάστα ἀπὸ ἀπιστίας, καὶ Ἐλθὲ ἐν πίστει, Ἀνάστα ἀπὸ ἀπωλείας, καὶ Ἐλθὲ ἐν εὑρέσει. Ἐπειδὴ δὲ ᾔδει τὸ ὅλον λόγιον, ὅτι μετὰ τὴν πρώτην μετάνοιαν καὶ μετὰ τὴν πρώτην κλῆσιν καὶ ἴασιν, ὡς εἰπεῖν, συμβαίνει τῇ ἀν-

2. αὐτὸν *om. cod. Rhedig.* 3. *Libri habent* Τὸ γὰρ εἰπεῖν *cett.*

lum esse filium asseruit. Cum enim vivi dei filium dixit, adiecta Matth. 16, 16.
Vivi particula, germanum illum esse filium docuit. Id quod in omnibus pene refutandis haeresibus a nobis repetitum meminimus.

Porro de spiritu sancto idem ille nos Petrus certiores efficit, Cap. VIII.
cum sic Ananiam alloquitur: *Quid utique tentavit vos Satanas mentiri* Act. 5, 9.
spiritui sancto? Non homini mentiti estis, sed deo. Hoc enim eo dictum est, quod et ex deo spiritus profectus sit, nec ab eo sit alienus. Verum et ille quoque firmissimus structurae lapis ac divinae domus fundamentum fuit, cum negato Christo reversus ad sese, velut repertus a domino et honore tanto affectus audiit, *Pasce oves meas:* et, *Pasce agnos meos,* ac tertio, *Pasce oves meas.* Quae Ioann. 21, 15–17.
Christus cum dixit, ad poenitentiae nos conversionem induxit, quo rursum in illo solidissime fundata fides aedificaretur, quae nulli hominum vitam ac salutem subtrahit, quamdiu vivi ac spirantes sunt, atque ex animo poenitentiam suscipiunt, ac denique sua in hoc mundo delicta corrigunt.

Siquidem in Cantico Canticorum eadem sponsa hunc in modum Cap. IX.
sponso loquitur: *Respondet frater meus, et dicit mihi, Surge propin-* Cant. 2, 10.
qua mea; formosa mea, columba mea, quoniam hiems transit. Hoc est, tristis illa ac tenebrosa terribilisque, ut ita dicam, nebularum caligo transiit. *Imber abiit et recessit, flores apparuerunt in terra* Cant. 2, 11.
nostra, tempus putationis advenit, vox turturis audita est in terra nostra, ficus protulit grossos suos, vineae nostrae germinarunt, dederunt odorem. Ut praeterita omnia transiisse monstraret, ac vernum modo tempus florere, pacatum mare ac tranquillum esse, imbrium timorem praeteriisse, vetera sarmenta vitis amputata, herbas porro non modo virescere, sed et flores edidisse. Cum et praedicationis vox in deserto, hoc est in terra nostra, clamaret, ac ficus illa quondam execrata grossos suos produceret, nimirum poenitentiae fructus, qui in ramis sunt arboribusque conspicui, vites denique parturire flores, id est fragrantem evangelicae fidei praedicationem coepissent. Postquam autem subito eam compellavit, ac dixit, *Surge, veni,* surge a morte peccatorum et veni in iustitia, surge a delicto, et veni cum fiducia, surge a peccatis, et veni ad poenitentiam, surge ab affecta valetudine, et veni in sanitate, surge ab infidelitate, et veni in fide, surge a perditione, et veni in recuperatione. Ac cum scriptura sacra nequaquam ignoraret post priorem poenitentiam ac vocationem et sanitatem, ut ita dicam, quamplurima

4. ζῶντος θεοῦ *cod. Rhedig.*

Cap. IX. — 1. *Corrigendum videtur* ἀμπέλου δὲ ἤδη κυπριζούσης.

θρωπότητι πολλὰ παραπτώματα, πάλιν λέγει, Ἀνάστα, ἐλθὲ σὺ, περιστερά μου. Δεύτερον ταύτην καλεῖ, καὶ οὐχ ἅπαξ. Τὸ δὲ δεύτερον οὐκ ἴσον τῷ πρώτῳ. Φησὶ γὰρ ἐν τῇ προτέρᾳ κλήσει οὕτως, Ἀνάστα ἡ πλησίον μου, καλή μου, περιστερά μου. Τὸ μὲν πρῶτον, Ἀνάστα, ἐλθὲ, καὶ οὐκ εἶπε καὶ, Ἐλθὲ σύ. Καὶ τὸ δεύτερον προςτίθησι τὸ ἄρθρον, ἵνα δείξῃ κλῆσιν [2] δευτέραν οὐ παρηλλαγμένην μετὰ τὴν πρώτην, [3] ἀλλ' ᾗ καὶ ἐν τῇ πρώτῃ ἀπὸ παραπτωμάτων πάλιν ὀρεγομένην χεῖρα ἐπιδέξιον καὶ ἐπουράνιον φιλανθρωπίας. Καὶ ἐλθὲ, φησὶ, περιστερά μου, ἐν σκέπῃ τῆς πέτρας, ἐχόμενα τοῦ προτειχίσματος· ἐν σκέπῃ πέτρας, ἐν φιλανθρωπίᾳ Χριστοῦ καὶ ἐν ἐλέει κυρίου, τουτέστι σκέπη πέτρας, σκέπη ἐλπίδος καὶ πίστεως καὶ ἀληθείας· ἐχόμενα τοῦ προτειχίσματος, τουτέστι πριν ἢ κλεισθῆναι τὴν πύλην, πριν ἢ ἔσω περιβόλων γενόμενος ὁ βασιλεὺς μηκέτι εἰςδέξηται μετὰ τὴν ἐντεῦθεν ἀπαλλαγήν τε καὶ θάνατον, ὅτε οὐκέτι ἐχόμενα τοῦ προτειχίσματος, ἀλλὰ ἀπεκλείσθησαν αἱ πύλαι, καὶ οὐκέτι ἔνι διορθώσασθαι.

Κεφ. ι'. Ἐν γὰρ τῷ μέλλοντι αἰῶνι, μετὰ τὴν ἀνθρώπου ἀπαλλαγὴν, οὐ
pag. 502. νηστείας πορισμὸς, οὐ μετανοίας κλῆσις, οὐκ ἐλεημοσύνης ἐπίδειξις, ἀλλ' οὔτε ἐγκλημάτων ἔργα, οὐ πόλεμος, οὐ μοιχεία, οὐκ ἀσέλγεια, ἀλλ' οὔτε δικαιοσύνη καὶ μετάνοια. Ὡς γὰρ μετὰ θερισμὸν τοῦ στάχυος οὐκ ἔνι παχυνθῆναι τὸν κόκκον, οὐκ [1] ἀνεμόφθορον γενέσθαι, οὐκ ἔνι εὐπάθειά τις ἑτέρα, — ἀλλὰ μὴ λέγε μοι τῆς ἀποθήκης τὰ φθάρματα, τουτέστι καὶ σκώληκας καὶ σῆτας, ταῦτα γὰρ διὰ τὰ ἐν τῷ αἰῶνι γίνεται, τὸ δὲ ἀπεικονισμένον καὶ ἐν πύλαις ἡμῖν [2] ᾐρημένον καὶ ἀποθήκῃ ἠσφαλισμένον πίστεώς ἐστιν ὑπόδειγμα καὶ ὑπογραμμὸς, ἔνθα οὔτε λῃσταὶ διορύττουσιν, οὔτε σῆτες ἀφανίζουσιν, ὡς ἔφη ὁ θεῖος λόγος, — οὔτε μὴν πορισμὸς εὐσεβείας, οὔτε μετανοίας, ὡς ἔφην, μετὰ θάνατον. [3] Οὐ γὰρ Λάζαρος ἀπέρχεται πρὸς τὸν πλούσιον ἐκεῖ, οὔτε ὁ πλούσιος πρὸς τὸν Λάζαρον, οὔτε Ἀβραὰμ ἀποστέλλει [4] σκύλων τὸν πένητα [5] πλουτῆσαι ὕστερον, οὔτε ὁ πλούσιος ὢν [6] αἰτεῖται λαμβάνει, καίπερ μετὰ ἱκεσίας τὸν ἐλεήμονα Ἀβραὰμ παρακαλέσας. Ἐσφράγισται γὰρ τὰ [7] ταμιεῖα, καὶ πεπλήρωται ὁ χρόνος, καὶ ὁ ἀγὼν ἐτελέσθη, καὶ ἐκενώθη τὸ σκάμμα, καὶ οἱ στέφανοι ἐδόθησαν, καὶ [8] οἱ ἀγωνισάμενοι [9] ἀνέπαυσαν, καὶ οἱ μὴ φθάσαντες ἐξῆκαν, καὶ

2. *Rescripsi* δευτέραν οὐ *pro* οὐ δευτέραν, *quod in libris vulgo reperitur, secutus Cornarium qui vertit:* ut ostendat vocationem secundam immutatam. *Petavius illud* οὐ *uncinis inclusit et spurium iudicavit.*

3. *Praeter auctoritatem librorum vett., qui habent* ἀλλὰ καὶ ἐν τῇ πρώτῃ *rescripsi de mea coniectura* ἀλλ' ᾗ καὶ ἐν τῇ πρώτῃ. *Petavius volebat* ἀλλὰ καὶ ἐπὶ τῇ πρώτῃ.

Cap. X. — 1. *Vulgo* ἀνεμοφθόρον.

2. *Scripsi* ᾐρημένον, *Cornarium secutus, qui vertit,* intra portas receptorum. *Pari iure et probabilitate possit* εἰργμένον. *Librorum scriptura est* εἰρημένον.

3. Οὔτε γὰρ *cod. Ven.* — *Exscripsit haec, sed admodum negligenter, Anastasius Sin. Quaestt. p.* 362.

4. σκύλλων *edit. Petav. Et ita etiam cod. Venet. Cornarius vertit:* Neque Abraham demittit spolia, ut ditescat

in peccata humanum genus incidere, ita rursum loquitur, *Surge, veni, columba mea,* nec semel, sed secundo ipsam appellat, ita ut posterior priori vocatio non sit aequalis. Nam in priori sic illam alloquitur: *Surge propinqua mea, formosa mea, columba mea.* Primum igitur, *Surge, veni,* dixit, non autem et, *Veni tu.* At in secunda articulum adiecit, ut diversam ab altera vocationem esse significaret, quae tamen post priorem illam benignam manum ac coelestem clementiam ostenderet. Et, *Veni,* inquit, *columba mea, in tegmen petrae prope antemurale.* In tegmen petrae dixit, hoc est Christi benignitatem misericordiamque domini. Hoc enim est petrae tegmen, tegmen, inquam, spei, fidei atque veritatis. Prope antemurale vero, hoc est antequam porta claudatur, antequam rex introgressus non amplius post exitum ab hac vita mortemque recipiat. Cum non amplius prope antemurale sumus, sed clausae sunt portae, nec ullus emendandi sui locus est. Cant. 2, 13.

Etenim in futuro seculo post hominis obitum nullus amplius ieiunii quaestus est, non poenitentiae vocatio, non eleemosynae ostensio est. Sed neque criminibus ullis locus, non bellum, non adulterium, non libidines, neque e contrario iustitia vel poenitentia. Nam sicut demessa spica granum nec turgere deinceps, neque vento corrumpi atque evanescere, nec affici amplius potest. Nec est quod illam mihi corruptelam obiicias, quae in horreis accidit, cuiusmodi sunt vermes ac tineae. Haec enim ad ea quae in seculo geruntur adumbranda spectant. Quod autem similitudine illa declaratur, et in portis esse dicitur, atque in horreis conditum, ad exemplum fidei ac delineationem refertur. *Ubi neque fures effodiunt, neque tineae corrumpunt,* ut scriptum est. Sed neque pietatis ullum lucrum est, aut poenitentiae uti diximus, post mortem. Non enim Lazarus illic ad divitem pergit, neque dives ad Lazarum. Neque Abraham pauperem mittit, aut ei laborem indicit, ut postea ditescat. Neque dives ea quae postulaverat impetrat, tametsi misericordem Abrahamum magnis precibus obsecrat. Siquidem obsignata sunt promptuaria, atque expletum tempus est, certamen confectum, vacuum stadium, distributae coronae; athletae quieti se dederunt, at qui certamen non attigerunt, nullam amplius eius copiam habent, et qui Cap. X. Matth. 6, 20.

pauper postea. Neque dives accipit quae petit, etiamsi magnis precibus misericordem Abraham roget. Σκύλων ἀποστέλλει *verto* ex pannis dimittit. *Nam* σκύλον *Hesychius interpretatur etiam* „ῥάκος ἢ τριβώνιον."

5. πλουτήσαντα ἐς ὕστερον *cod. Venet.*

6. πλούσιος πένης γενόμενος ὢν αἰτεῖται λαμβάνει *cod. Venetus. Reliqui libri habent* πλούσιος αἰτεῖται, *ceteris omissis.*

7. ταμία *cod. Venet.*

8. οἱ *vulgo desideratur. Adieci ex codd. Rhedig. et Veneto.*

9. ἀνέπαυσαν (*intell.* τὸν ἀγῶνα) *ego.* ἀνεπάησαν *codd. Rhedig. et Venet.* ἀνε-

οἱ μὴ ἀγωνισάμενοι οὐκέτι [10] εὐποροῦσι, καὶ οἱ ἐν τῷ σκάμματι [11] ἡττηθέντες ἐξεβλήθησαν, καὶ τὰ πάντα σαφῶς τετελείωται μετὰ τὴν ἐντεῦθεν ἐκδημίαν. Ἔτι δὲ ὄντων ἐν τῷ [12] ἀγῶνι πάντων καὶ μετὰ πταῖσιν ἔνι ἀνάστασις, ἔτι ἐλπὶς, ἔτι θεραπεία, ἔτι ὁμολογία, κἂν εἰ μὴ τελειότατα, ἀλλ' οὖν γε τῶν ἄλλων οὐκ ἀπηγόρευται ἡ σωτηρία.

Κεφ. ια'. Πᾶσα δὲ αἵρεσις ἀπὸ τῆς ἀληθείας ἐξοκείλασα ἐν σκότῳ τυφλώττει καὶ μυωπάζει, ἕτερα ἀνθ' ἑτέρων διανοουμένη. Ἐοίκασι γὰρ οὗτοί τισιν ἀτέχνοις καὶ μὴ γινώσκουσι τὰ ἑκάστης ποιότητος καὶ χρήσεως καὶ κόσμου ἑκάστου μέλους, καὶ ὡς εἰπεῖν ληρῶδές τι εἰς ὃ προβάλλομαι λέγειν ὅμοιον τῆς αὐτῶν ἀνοησίας, ὡς περιτιθέασι τὰ ὑποδήματα τῇ κεφαλῇ, τὸν δὲ στέφανον τοῖς ποσὶ, καὶ κλοιὸν χρύσεον περὶ τὴν γαστέρα, τὰ δὲ ἄλλα, [1] πόδια ὡς εἰπεῖν, τὰ ἐξ ἱματίων γεγενημένα, ἃ παρά τισιν [2] ὀδώνια κέκληται ἢ [3] βράκαι, χερσὶ περιτιθέασι, δακτυλίους δὲ τοῖς ποσίν. Οὕτω γὰρ ἡ τῶν ἄγνοιαν κεκτημένων σφαλερὰ
pag. 503. καὶ ἄτακτος διαταγή. Τὰ γὰρ ἐπὶ τῆς ἱερωσύνης ἠσφαλισμένα περὶ δευτέρου γάμου καὶ τῶν ἄλλων οὗτοι εἰς πάντα τὸν λαὸν νενομίκασι, καὶ τὰ δι' ὑπερβολὴν στρυφνότητος ὑπὸ θεοῦ κεκηρυγμένα, ἵνα μὴ ῥᾳθυμήσαντές τινες παραπέσωσιν, αὐτοὶ εἰς ἀπανθρωπίαν θεῷ συνῆψαν. Καὶ ὡς [4] ἐὰν εἴ τις ἱματίου [5] χειρίδια κατασχὼν, καὶ ἕως μόνον ἀγκῶνος ἀπὸ καρποῦ χειρὸς τοῦ καλουμένου σκεπάζει ἑαυτὸν, προσφέρει δὲ πρὸ ὀφθαλμῶν καθ' ἑκάστην ὥραν τὴν χειρίδα, καὶ ἐπιτωθάζει τοῖς ἄλλοις, [6] ἐπικληθεὶς ὅτι ὅλον τὸ σῶμα αὐτοῦ γυμνητεύει, οὕτω καὶ οὗτοι σεμνυνόμενοι μὴ δέχεσθαι διγάμους τὰς πάσας ἐντολὰς τὰς ὁμοίας ταύτης, καὶ ἔτι μεθ' ὑπερβολῆς καλλίονας καὶ ἐπιθανατίους, τὴν μίαν ἀπαγορεύουσι, τὰς δὲ ἄλλας καταλελοίπασι, καὶ ἐπιλαθόμενοι ὅλον μὲν τὸ σῶμα γυμνητεύουσιν, ἀπὸ ὅλων τῶν ἐνταλμάτων ἀργήσαντες, καὶ τὴν μίαν ἐντολὴν οὐχ ἁγνῶς κατασχόντες.

Κεφ. ιβ'. Καὶ ὢ τῆς πολλῆς τῶν ἀνθρώπων ματαιοφροσύνης. Πᾶσα δὲ πρόφασις ἑκάστην αἵρεσιν, κἄν τε βραχεῖά τις ὑπῆρξεν, ἀπὸ τῆς ἀληθείας παρείλκυσε, καὶ εἰς πολλὴν [1] κακίαν κατήγαγεν. [2] Ὥςπερ γὰρ

πάγησαν *edit. princ.* ἀνεπαύσαντο *edit. Petav. Olim placuit* καὶ οἱ ἀγῶνα ἀγωνισάμενοι ἀνέπαυσαν. *Sed nihil refert. Ceterum* ἀγῶνα *intellege etiam ad verbum quod sequitur* ἐξῆκαν.

10. εὐπαροῦσι *cod. Rhedig. et edit. princ.*

11. τεθέντες *cod. Ven.*

12. αἰῶνι *cod. Venet. Bene.*

Cap. XI. — 1. πόδια *emendarunt Petavius, Salmasius (in Aelium Lampridium p. 221., quem videsis de interpretatione horum verborum), Hemsterhusius (ad Polluc. Onomast. X, 11. p. 1204.). Libri vulgo* πέδια.

2. *V. de hoc vocabulo Salmasium et Hemsterhusium l. l.*

in stadio superati sunt, eiecti fuerunt. Denique omnia plane, ubi ex hac vita discessum est, absoluta sunt ac perfecta. Quamdiu quidem in certamine adhuc universi consistunt, vel post casum surgere licet, spesque adhuc superest, adhuc remedium atque confessio. Ac licet non perfectissimus ille status sit, nihilominus aliorum nequaquam desperata salus est.

At omnis haeresis ubi a veritate semel excidit, caecutit in tenebris et hallucinatur, atque alia pro aliis mente concipit. Nam illi rudibus quibusdam atque imperitis similes sunt qui uniuscuiusque membri conditionem atque usum et ornatum nesciunt. Iuvat porro absurdum quiddam et illorum amentia simile ad id quod volumus exprimendum afferre. Perinde ergo illi faciunt ac si capiti calceos inducant, et coronam pedibus, et ventri torquem aureum, cetera vero, cuiusmodi sunt pedulia ornamenta, quos nonnulli udones vocant, aut braccas, manibus circumdent, annulos pedibus. Talis est ab imperitis illis instituta ratio, erroris perturbationisque plenissima. Quae enim de secundis nuptiis, aliisque id genus sacerdotii caussa decreta sunt, ea ad universum populum transtulerunt, et quae ad constituendam severissimam disciplinam a deo mandata sunt, ne forte aliqui prae animi socordia in delictum inciderent, haec illi dum ad omnes pertinere volunt, divino numini atrocitatem et inhumanitatem adscribunt. Ac velut si quis vestem manu tenens ab carpo manus duntaxat cubito tenus brachium operiat, atque identidem manicam oculis suis obiiciat, et alios irrideat, oblitus toto se corpore esse nudatum, perinde et illi faciunt qui dum digamos a se repudiari iactitant, reliqua praecepta illius vel similia, vel sine ulla comparatione praestantiora, quorum violatoribus mortis poena proponitur, contemnunt et abiiciunt et uno illo interdicto contenti cetera negligunt. Quare sic tanquam obliti sint, toto corpore nudi sunt, dum et universa dei praecepta relinquunt, neque unum illud caste ac sincere custodiunt. Cap. XI.

O admirandam hominum insaniam! Sane quaelibet occasio, quantumvis exigua, unamquamque haeresin a veritate distraxit, atque ad infinita mala perduxit. Quemadmodum enim si quis inter- Cap. XII.

3. βράχαι *scriptum extat in Gloss. Nomicis, ubi legitur hic Epiphanii locus, ap. Hemsterhusium l. l.*

4. *Ex usu Epiphanii rescripserim* ὡς ἂν εἴ τις.

5. χειρίδα κατασχὼν *mea est emendatio, et structurae voc.* ἱματίου *et sententiae plane accommodata. Libri habent vulgo* ἱματίου χειρὶ διακατασχών.

6. ἐπιλησθεὶς *edit. Petav., dubito num altera auctoritate ductus quam verborum quae paulo post sequuntur* καὶ ἐπιλαθόμενοι *cett. In edit. princ. extat* ἐπικλησθείς.

Cap. XII. — 1. *Libri vulgo* κακῶν.

2. *Reposuerim* Ὥσπερ γὰρ εἴ τις — — βαδίζειν, καταλιπὼν *cett., restituta conditionali* εἰ *ante* τις, *et deleta copula* καὶ *ante* καταλιπών.

τις διασφαγὴν εὑρὼν ἐν φραγμῷ παρὰ λεωφόρῳ, καὶ νομίσας διὰ ταύτης βαδίζειν, καὶ καταλιπὼν τὴν ὁδὸν τρέπηται, νομίσας ἐγγύτατον ἔχειν ὅθεν διακάμψας πάλιν τῆς ὁδοῦ ἐπιλάβοιτο, ἀγνοήσει δὲ ὅτι τεῖχός ἐστιν ὑπέρβατον καὶ μακρῷ διαστήματι ᾠκοδομημένον, ἐπιτρέχοι δὲ μὴ εὑρίσκων διὰ ποίας τὴν διέξοδον ποιήσεται, ἀντὶ ἑνὸς [3] σημείου, ἤτοι μιλίου, [4] προκόπτων κατὰ χεῖρα ἔτι πλέον μὴ εὕροι τὴν ὁδὸν, καὶ οὕτως τρέπηται ἐπὶ τὰ πλείω, κάμνων δὲ οὕτω καὶ μὴ εὐπορῶν διὰ ποίας ἐπὶ τὴν ὁδοιπορίαν ἀγάγοι [5] τάχα γε μήτε εὑρεῖν δυνηθείη, εἰ μή τι ἀνακάμψει δι' ἧς καὶ εἰςῆλθεν, — οὕτως ἑκάστη αἵρεσις, ὡς συντομίαν τινὰ ἐφευρεῖν δυνηθεῖσα, παρεξώκειλε διὰ τῆς μακροδίας, εὑρέθη δὲ αὐτῇ τεῖχος ἀρραγὲς ἡ τῆς ἀγνοίας καὶ ἀγνωσίας [6] παλιμπλοκὴ, καὶ οὐκ ἂν εὕροι ἡ τοιαύτη ἐπὶ τὴν ἀληθινὴν ἥκειν ὁδὸν, εἰ μή τι ἀνακάμψει εἰς τὸ ἀρχέτυπον τῆς ὁδοῦ, τουτέστι τῆς βασιλικῆς· ὡς καὶ ὁ νόμος διαρρήδην ἐβόα τοῦ ἁγίου Μωϋσέως, λέγοντος τῷ βασιλεῖ Ἐδὼμ ὅτι, Τάδε λέγει ὁ ἀδελφός σου Ἰσραήλ· Παρὰ τὰ ὅριά σου διελεύσομαι εἰς γῆν ἣν ὤμοσε κύριος τοῖς πατράσιν ἡμῶν δοῦναι,
pag. 504. γῆν ῥέουσαν μέλι καὶ γάλα, τὴν γῆν τῶν Ἀμορραίων καὶ Φερεζαίων καὶ Ἰεβουσαίων καὶ Εὐαίων καὶ Χαναναίων καὶ Χετταίων, γῆν ῥέουσαν γάλα καὶ μέλι, οὐκ ἐκκλινοῦμεν δεξιὰ ἢ ἀριστερά· ὕδωρ ἐν ἀργυρίῳ πιώμεθα, καὶ βρώματα ἀργυρίου φαγώμεθα· οὐκ ἐκκλινοῦμεν ἐντεῦθεν ἢ ἐντεῦθεν, ὁδῷ βασιλικῇ βαδιοῦμεν. Ἔστι γὰρ ὁδὸς βασιλικὴ, ἥτις ἐστὶν ἡ τοῦ θεοῦ ἐκκλησία καὶ ὁδοιπορία τῆς ἀληθείας. Ἑκάστη δὲ τούτων τὴν βασιλικὴν καταλείψασα, κλίνασα δὲ ἐπὶ τὰ δεξιὰ ἢ ἐπὶ τὰ ἀριστερὰ, ἐπὶ πολὺ λοιπὸν ἑαυτὴν ἐπιδιδοῦσα εἰς πλάνην παρελκυσθήσεται, καὶ οὐκέτι μέτρον ἔχει παρ' ἑκάστῃ αἱρέσει ἡ τῆς πλάνης ἀναίδεια.

Κεφ. ιγ'. Ἄγε τοίνυν θεοῦ δοῦλοι, υἱοί τε τῆς ἁγίας θεοῦ ἐκκλησίας, οἱ τὸν κανόνα ἀσφαλῆ γινώσκοντες καὶ τὴν ὁδὸν τῆς ἀληθείας βαδίζοντες, μὴ φωναῖς [1] ἀνθελκόμενοι, καὶ φωνῇ ἑκάστης παραπεποιημένης ἐπιτηδεύσεως. Σφαλεραὶ γὰρ αἱ τούτων ὁδοὶ, καὶ ἀνάντης ἡ τρίβος τῆς αὐτῶν παραπεποιημένης ἐννοίας. Μεγαλαυχοῦσι, καὶ τὰ μικρὰ οὐκ ἴσασιν. Ἐλευθερίαν ἐπαγγέλλονται, αὐτοὶ δοῦλοι ὄντες τῆς ἁμαρτίας. Τὰ μείζονα αὐχοῦσι, καὶ τῶν μικρῶν οὐδ' ὅλως ἐπελάβοντο.

Ἀλλὰ καὶ περὶ τούτων τῶν δὴ Καθαρῶν λεγομένων, ἀκαθάρτων δὲ εἰ δεῖ τ' ἀληθῆ λέγειν, ἀρκετὸν ἡγοῦμαι ἕως ἐνταῦθα ἱκανῶς εἰρῆσθαι. Ταύτην δὲ παραλείψαντες ὡς βασιλίσκου πρόςωπον, τῷ μὲν προσχήματι τοῦ ὀνόματος ἐξοχωτάτην τινὰ ἐπωνυμίαν κεκτημένου, καὶ

3. σημίου *edit. princ. et cod. Rhed.*

4. προκόπτων *coniecerunt Cornarius atque Petavius.* προςκόπτων (*ed. princ.* προςκόπτον) *vulgo scriptum est.*

5. τάχα γε *ego rescripsi. Libri habent* τάχα τε.

ruptam sepem ad publicam viam repererit, et illac iter esse sibi credens relicta via paululum deflexerit, ratus propinquum esse exitum, per quem redire in viam iterum possit, nec illud sciens, altissimum illic esse murum ac longissimo spatio interceptum, atque ita discurrat, nec qua possit egredi uspiam reperiat, cumque uno alterove miliari progressus fuerit, longius deinceps iter supersit, nec viam expediat, sed huc illucque se conferat, hic igitur ad eum modum laborans, neque ullum ad rectam viam iter expediens, non aliter fortassis inveniet quam si eadem qua ingressus erat revertatur: sic haeresis omnis, cum itineris compendium haberet in promptu, per longas ambages digressa in solidissimum murum incidit, cuiusmodi est ignorantiae inscitiaeque impedita ac tortuosa flexio. Neque vero invenire unquam illa poterit, qua se ad rectam viam referat, nisi ad primariam viam, hoc est regiam, iter retorserit. Id quod sanctissimi Mosis lex aperte vociferabatur, cum Idumaeo regi ita mandaret: *Haec dicit frater tuus Israel: Praeter terminos tuos transibo in* Num. 20, 17. et 21, 22. *terram, quam iuravit dominus dare patribus nostris, terram melle et lacte manentem, terram Amorrhaeorum, et Pharesaeorum, et Iebusaeorum, et Evaeorum, et Chananaeorum, et Chettaeorum, terram fluentem melle et lacte. Non declinabimus ad dexteram aut sinistram, aquam in argento bibemus, et cibos argenti comedemus. Non declinabimus hac aut illac, via regia gradiemur.* Est enim regia quaedam via, nimirum ecclesia dei ac veritatis iter. Unaquaeque vero istarum haereseon regia derelicta via ad dexteram sinistramve deflectens deinceps in immensum errorem sese committens abripitur, adeo ut nullum deinceps modum habeat in qualibet erroris insolentia.

Agite itaque, dei servi ac sanctae dei ecclesiae filii, qui cer- Cap. XIII. tam fidei regulam agnoscitis ac viam veritatis inceditis, ne vos contrariae voces abstrahant, aut cuiuslibet ementitae sectae sermones decipiant. Lubricae quippe viae sunt ac depravatae illorum intelligentiae acclivis est arduaque semita. Etenim magnifice sese iactant, et interim minora nesciunt. Libertatem ostendunt, cum peccatorum servi sint. De maioribus gloriantur, neque tamen vel parva sunt assecuti.

Verum de eo genere haereticorum, qui Cathari, hoc est *Puri* vocantur, *Ἀκάθαρτοι*, hoc est *Impuri*, rectius appellentur, satis arbitror a me hactenus esse dictum. Quamobrem eadem haeresi praetermissa, perinde ac basilisci ore, qui, quod ad speciem nominis attinet, excellenti quadam nominis appellatione censetur, hoc igitur

6. παλιμπλοκῇ *ego. Libri habent* πάλιν πλοκῇ.

Cap. XIII. — 1. *An* ἀνθελκώμεθα?

τῇ τοῦ ξύλου δυνάμει τοῦτον παίσαντες ἐπὶ τὰς ἑτέρας πάλιν ὁρμήσωμεν, αὐτὴν ἐπαγόμενοι τὴν τοῦ θεοῦ ἱκετείαν, εἰς τὸ συνοδεῦσαι, συμπαραμεῖναι, συνεῖναι, συνεργῆσαι, διασῶσαι, παιδεῦσαι, καταξιῶσαι τἀληθῆ λέγειν, ἵνα μήτε αὐτοὶ ψεῦδός τι λέγοντες τοῖς αὐτοῖς ὑποπέσωμεν ὁποίοις αἱ τὰ ἀληθῆ τὸν κόσμον μὴ διδάξασαι αἱρέσεις.

Ἔτι δὲ οἱ ἐν τῇ Ἀφρικῇ τε καὶ [2] Βιζικανίᾳ οἱ ἀπὸ Δωνάτου τινὸς Δωνατιανοὶ οὕτω καλούμενοι τὰ ὅμοια τούτοις φρονοῦντές εἰσιν ἀφηνιασταί, καὶ αὐτοὶ δῆθεν διὰ τὸ μὴ συγκοινωνεῖν τοῖς ἐν τῷ διωγμῷ παραπεσοῦσι τοῖς αὐτοῖς ἀνατραπήσονται καθάπερ καὶ οἱ ἑτεροζυγοῦντες αὐτοῖς Ναυατιανοί, εἴτ' οὖν Καθαροὶ οὕτω λεγόμενοι. Διὸ οὐ
pag. 505. χρείαν ἐσχήκαμεν περὶ τούτων τι ἐπεργάσασθαι, ἀλλ' ὁμοῦ αὐτοὺς τοῖς ὁμοίοις αὐτοῖς συνήψαμεν. Περιττότερον δὲ οὗτοι πάλιν καὶ χεῖρον ἐξέπεσον. Τὴν γὰρ πίστιν κατὰ τὸν Ἄρειον φρονοῦσιν· ἀνατραπήσονται δὲ ὡσαύτως περὶ πίστεως, ἧς κακῶς φρονοῦσιν, ὡς καὶ ὁ Ἄρειος ἀνετράπη διὰ λόγων ἀληθείας, τὰ αὐτὰ τούτοις φρονῶν, καὶ οὗτοι ἐκείνῳ. Καὶ ταύτην δὲ πάλιν παρελευσόμενοι ἐπὶ τὰς ἑξῆς βαδιοῦμεν, ὥσπερ ἑρπετὰ δεινὰ καταπεπατηκότες ἐν κυρίῳ.

ΚΑΤΑ ΑΓΓΕΛΙΚΩΝ,
μʹ ἢ καὶ ξʹ.

Κεφ. αʹ. Ἀγγελικῶν αἵρεσιν ἀκηκόαμεν, καὶ τὸ ὄνομα μόνον ἐνηχήθημεν, οὐ πάνυ δὲ σαφῶς ἴσμεν τίς ἡ τοιαύτη αἵρεσις, διὰ τὸ τάχα ποτὲ καιρῷ αὐτὴν ἐνστᾶσαν ὕστερον λῆξαι, καὶ καταλυθῆναι εἰς τέλος. Τὸ δὲ ὄνομα διὰ ποίαν αἰτίαν ἔσχεν οὐκ ἴσμεν· ἤτοι γὰρ παρὰ τό τινας ὑπὸ ἀγγέλων τὸν κόσμον γεγενῆσθαι φάσκειν, καὶ εἰ αὐτὴ τοῦτο φάσκουσα τῷ ὀνόματι τούτῳ κέκληται οὐκ ἔχω λέγειν, ἤτοι διὰ τὸ ἐν τάξει ἀγγέλων ἑαυτοὺς σεμνύνειν καὶ βίῳ ἐξοχωτάτῳ ἄγεσθαι, οὐδὲ τοῦτο διαβεβαιοῦμαι, ἢ καὶ ἀπὸ τόπου τινὸς εἰληφότες τοὔνομα, ἐπειδὴ χῶρός τίς ἐστιν [1] Ἰγγιλίνη ἐπέκεινα τῆς Μεσοποταμίας χώρας κείμενος.

Κεφ. βʹ. Ἤδη δὲ ἐν ὑπομνήσει σου γινομένου τοῦ ἀκροατοῦ, οὐκ [1] εἰς κατάγνωσιν ἐν ὑπονοίαις γενήσῃ. Ἐπηγγειλάμεθα γὰρ τῶν μὲν τὰς ῥί-

2. *Repone* Βυζακηνίᾳ.

Cap. I. — 1. Angelina *vertit etiam interpretatus est Cornarius:* neutiquam *Cornarius.*

Cap. II. — 1. *Similiter haec verba*

ligni vi ac potentia comminuto ad reliquas transeamus. Sed inprimis eadem divino numini prece supplicemus, ut viae nobis comes esse velit, et nobiscum maneat, adsit, opituletur, conservet, instituat, et ut vera dicamus largiatur; ne forte mentientes ipsimet in eadem incurramus in quae haereses inciderunt illae quae humanum genus falsa docuerunt.

Ad haec qui in Aphrica et Bizacena degunt, et a Donato quodam Donatiani vocantur, eadem cum prioribus illis sentientes, eandemque ob caussam, quod videlicet cum his qui in persecutione lapsi erant nihil habere commune vellent rebellantes, eadem ratione disiicientur qua et Novatiani, sive Cathari, qui commune cum illis iugum trahunt. Quocirca necesse non habuimus privatim de illis amplius aliquid tractare, sed illos cum sui similibus coniungendos putavimus. Sed isti vehementius ac deterius aberrarunt, quippe qui in eandem cum Ario fidem consentiant; unde et, quod ad fidem attinet, de qua male sentiunt, eodem evertentur modo quo Arius veritatis oratione refutatus est, cum a se invicem minime dissentiant. Denique nos illa praeterita ad reliquas progrediemur, posteaquam horrenda veluti serpentium monstra domino adiuvante proculcavimus.

ADVERSUS ANGELICOS,
haeresis XL., sive LX.

Audita a nobis est Angelicorum haeresis, ac solum eius nomen accepimus, neque cuiusmodi illa demum haeresis sit, compertum habuimus. Quod eo fortasse contigit, quod cum aliquando prodiisset, desiit postea ac tandem penitus extincta est. Illud vero nomen quam ob caussam obtinuerit ignoramus. Nam cum haeretici quidam conditum ab angelis mundum esse dixerint, utrumnam haec secta, quod idem asseveraret, eodem sit affecta nomine, certo affirmare non possum. An potius quod in angelicum sese ordinem arroganter referrent, atque excellentem quandam vitae rationem instituerent; ne hoc quidem pro comperto affero. An postremo ab loco quodam eam appellationem sortiti sint. Quoniam quidem regio quaedam est ultra Mesopotamiam quae Angelina dicitur. Cap. I.

Iam vero quisquis es auditor, si quae a me antea dicta sunt recorderis, nihil erit quod me in criminis suspicionem adducas. Hoc Cap. II.

in suspicione ut nos condemnes fueris. *Rectius vertisset:* in suspicione tua non ad criminationem usque progredieris.

ζας καὶ τὰς προφάσεις, ἤ τι τῶν [2] ἐντὸς παρ' αὐτοῖς γινομένων δηλῶσαι, ἄλλων δὲ μόνον τῷ ὀνόματι ἀπομνημονεῦσαι· ὡς δὲ ἡ θεία δύναμις παρεσκεύασε καὶ ἐβοήθησεν, ἕως ταύτης τῆς αἱρέσεως τὰς πάσας διεξελθόντες οὐδεμίαν εἰάσαμεν ἀνερμήνευτον, πλὴν μιᾶς ταύτης. Τάχα δὲ διὰ τὸ ἐπαρθεῖσαν τῷ τύφῳ ὀλίγον καιρὸν [3] καὶ ὕστερον λῆξαι, τὴν αὐτῆς κατάληψιν οὐ πάνυ σαφῶς ἔγνωμεν. Ταύτης δὲ μόνον ἐπιμνησθέντες τῆς ὀνομασίας ἐν τάχει, ὥςπερ ἐκτρώματι τῷ ὀνόματι χρησάμενοι, παρελευσόμεθα τὸν τόπον, ἐπὶ τὰς ἑτέρας [4] δὴ διασκοποῦντες τὴν ὁρμὴν ποιεῖσθαι, καὶ αἰτούμενοι τῶν ὅλων δεσπό-
pag. 506. την παραφανῆναι ἡμῖν, καὶ τὰ ἀκριβῆ τῶν παρ' αὐτοῖς γινομένων ἐπιδείξαντα τῷ σμικρῷ ἡμῶν νῷ πάντα κατὰ ἀκρίβειαν σημᾶναι, ἵν' ἑαυτοῖς τε καὶ τοῖς πέλας τὴν διόρθωσιν ποιησώμεθα τοῦ φεύγειν τὰ φαῦλα, ἐν δὲ τοῖς ἀγαθοῖς καὶ ἀληθεστάτοις τὸ ἑδραῖον ἑαυτοῖς ἐν θεῷ προςπορίσασθαι.

ΚΑΤΑ ΑΠΟΣΤΟΛΙΚΩΝ,
μα' ἢ καὶ ξα'.

Κεφ. α'. Μετὰ δὲ τούτους ἄλλοι ἑαυτοὺς Ἀποστολικοὺς ὠνόμασαν· βούλονται δὲ καὶ Ἀποτακτικοὺς ἑαυτοὺς λέγειν. Φυλάττεται δὲ παρ' αὐτοῖς τὸ μηδὲν κεκτῆσθαι. Εἰσὶ δὲ καὶ οἱ αὐτοὶ ἀπόσπασμα τῶν Τατιανοῦ δογμάτων, [1] Ἐγκρατιτῶν τε καὶ Τατιανῶν καὶ Καθαρῶν, οἵτινες φύσει νόμον οὐ παραδέχονται· παρήλλακται δὲ παρ' αὐτοῖς καὶ τὰ μυστήρια. Σεμνύνονται δὲ δῆθεν ἀκτημοσύνην, σχίζουσι δὲ μάτην οὗτοι καὶ βλάπτουσι τὴν ἁγίαν θεοῦ ἐκκλησίαν, διὰ τὸ ἐθελοθρησκεύειν, ἐκπεσόντες τῆς τοῦ θεοῦ φιλανθρωπίας. Οὔτε γὰρ παραπεπτωκότος τινὸς εἴςδεξις ἔτι γίνεται, τὰ ὅμοια δὲ τοῖς ἀνωτάτω λεγομένοις φρονοῦσι, περί τε τοῦ γάμου καὶ τῶν ἄλλων πραγμάτων. Καὶ οἱ μὲν Καθαροὶ ταῖς ῥηταῖς μόνον γραφαῖς κέχρηνται, οὗτοι δὲ ταῖς λεγομέναις Πράξεσιν Ἀνδρέου τε καὶ Θωμᾶ τὸ πλεῖστον ἐπερείδονται, παντάπασιν ἀλλότριοι τοῦ κανόνος τοῦ ἐκκλησιαστικοῦ ὑπάρχοντες.

Εἰ γὰρ βδελυρός ἐστιν ὁ γάμος, ἄρα ὅλοι ἀκάθαρτοι ὑπάρχουσι διὰ γάμου γεγενημένοι. Καὶ εἰ μόνον τυγχάνει ἡ ἁγία τοῦ θεοῦ ἐκκλησία τῶν τῷ γάμῳ ἀποταξαμένων, οὐκέτι ὁ γάμος ἐκ θεοῦ ὑπάρχων, ἡ πᾶσα παιδοποιουμένη ὑπόθεσις. Ἄρα καὶ αὐτοὶ ἀλλότριοι θεοῦ ὑπάρχουσιν ἀπὸ τοιούτων γεγεννημένοι. Ποῦ τοίνυν τὸ εἰρημένον,

2. *Rescripsi* ἐντὸς *pro* ἐν τοῖς, *quod vulgo extat.*
3. *Suspicor* καθ' ὕστερον. — *Ceterum vulgo distinctum est sic:* — καιρὸν, καὶ ὕστερον λῆξαι τὴν αὐτῆς κατάληψιν, οὐ πάνυ *cett.*

enim de haeresibus recipimus, quarumdam nos radices ac dogmata, aut aliquid eorum quae ab illis fieri solent esse narraturos, aliarum vero nomine tenus mentionem esse facturos. Porro quantum divina nobis ope praesidioque concessum est omnibus ad hanc usque sectis expositis, nullam, hac excepta, praetermisimus quam non oratione declararemus. Sed accidit fortasse ut cum brevi illa tempore sese insolenter extulisset, ac postremo desiisset, nihil de ipsa certi exploratique percipere possemus. Itaque sola eius appellatione celeriter comprehensa, eoque nomine, velut abortivo quodam foetu, functi, hoc loco praetermisso ad contemplandas ceteras animum convertemus. Itaque primum ab universitatis domino postulabimus, ut adesse nobis velit, et ut quae apud illos fiunt exiguo atque imbecillo ingenio nostro subiiciens universa nos quam accuratissime perdoceat, quo et nos ipsos et ceteros erudire possimus, uti cum mala devitent, tum in his, quae bona ac veritati maxime consentanea sunt, firmam in deo stabilitatem ac constantiam obtineant.

ADVERSUS APOSTOLICOS,
haeresis XLI., sive LXI.

Alii secundum illos dici se Apostolicos voluerunt, qui et Apotacticos, hoc est Renuntiatores seipsos nominant. Hoc enim diligenter observant, ne quicquam possideant. Iidem porro a Tatiani dogmatibus velut avulsione quadam propagati, hoc est ab Encratitis, Tatianis et Catharis, qui omnes praecipue legem repudiant habent illi diversa a nostris sacramenta atque mysteria. De inopia rerum omnium gloriantur, ac sacrosanctam dei ecclesiam adscititiis superstitionibus temere dividunt ac labefactant, et a divina clementia excidunt. Neque enim eum qui semel prolapsus sit recipiunt amplius, atque eadem omnino de nuptiis ceterisque id genus cum superioribus illis sentiunt. Cumque Cathari receptis duntaxat scripturis adhaerescant, isti Andreae ac Thomae (ita enim vocant) Actis potissimum nituntur, suntque ab ecclesiae regula prorsus alieni. Cap. I.

Nam si abominandae sunt nuptiae, impuri plane illi ipsi sunt qui e nuptiis originem traxerunt. Ac si ecclesia dei ex iis solis constat qui nuptiis renuntiarunt, neque nuptiae, neque totum propagandae sobolis negotium ex deo est. Quare et ipsi cum indidem nati sint, a deo erunt alieni. Quem igitur locum habebit illud, *Quae* Marc. 10, 9.

4. *Rescripsi* δὴ, *invitis quidem libris, qui praebent* δὲ.

Cap. I. — 1. *Alibi passim invenio scripturam* Ἐγκρατητῶν, *ab* Ἐγκρατητής, *quae vetusta est ac genuina nominis forma.*

Ἃ ὁ θεὸς συνέζευξεν, ἄνθρωπος μὴ χωριζέτω; Τὸ μὲν γὰρ ἀπ' ἀνάγκης χωρίζειν ἀπὸ ἀνθρώπου ὑπάρχει, τὸ δὲ μετὰ προαιρέσεως ἐγκρατεύεσθαι οὐκ ἀνθρώπου ἔδειξεν, ἀλλὰ θεοῦ τὸ ἔργον. Καὶ ἔχει μὲν ἡ κατὰ φύσιν ἀνάγκη πολλάκις μέμψιν, ὅτι οὐ μετὰ εὐλογιστίας τὸ ἐπάναγκες ἐπιτελεῖται, ἀλλὰ ἐκτὸς τοῦ κανόνος βέβηκεν. Οὐ γὰρ ἐπά-
pag. 507. *ναγκες ἡ θεοσέβεια, ἀλλὰ ἐκ προαιρέσεως. ἡ δικαιοσύνη. Τὰ δὲ φύσει εἰς θεοσέβειαν ἐπάναγκες φανερά ἐστιν ἃ τῇ φύσει ἐπιμεμέτρηται, οἷον τὸ μὴ πορνεύειν, τὸ μὴ μοιχεύειν, τὸ μὴ ἀσελγαίνειν, τὸ μὴ ἐν ταὐτῷ δευτερογαμεῖν, τὸ μὴ ἁρπάζειν, τὸ μὴ ἀδικεῖν, τὸ μὴ μεθύειν, τὸ μὴ ἀδηφαγεῖν, τὸ μὴ φαρμακεύειν, τὸ μὴ εἰδωλολατρεῖν, τὸ μὴ φονεύειν, τὸ μὴ καταρᾶσθαι, τὸ μὴ λοιδορεῖν, τὸ μὴ ὀμνύναι, ἀγανακτεῖν τε καὶ ταχὺ πραΰνεσθαι, ὀργίζεσθαι καὶ μὴ ἁμαρτάνειν, μὴ ἐπιδύνειν ἥλιον ἐπὶ τῷ παροργισμῷ· [2] τὸ δὲ γάμῳ συναφθῆναι μετὰ εὐνομίας, ἡ φύσις δηλώσει ἐκ θεοῦ ἐκτισμένη καὶ ἐπιτραπεῖσα. Καὶ τὰ ἄλλα, ὅσα ἐστὶ τοιαῦτα, κατὰ θάτερον ἔχει τῆς ἐπισκοπῆς τὸ μέτρον.*

Κεφ. β'. *Ἀλλ' ὡς περὶ τούτων εἰπεῖν προειλήφαμεν, ἐν ὀλίγῳ χώρῳ οὗτοι ὑπάρχουσι, περὶ τὴν Φρυγίαν τε καὶ Κιλικίαν καὶ Παμφυλίαν. Τί οὖν ἄρα ἐκκύπτεται ἡ ἐκκλησία ἡ ἀπὸ γῆς περάτων ἄχρι γῆς περάτων, καὶ οὐκέτι εἰς πᾶσαν τὴν γῆν ἐξῆλθεν ὁ φθόγγος αὐτῶν, καὶ εἰς τὰ πέρατα τῆς οἰκουμένης τὰ ῥήματα αὐτῶν; οὐδὲ οὐκέτι τὸ παρὰ τοῦ σωτῆρος εἰρημένον, τὸ, Ἔσεσθέ μοι μάρτυρες ἕως ἐσχάτου τῆς γῆς; Εἰ μὲν γὰρ οὐκ ἔστιν ἐν σεμνότητι ὁ γάμος, καὶ ζωὴν ἔχων ὁ γάμος, γεννηθῶσιν ἄνευ γάμου. Εἰ δὲ ἀπὸ γάμου γεννῶνται, ἄρα βέβηλοί εἰσι διὰ τὸν γάμον. Εἰ δὲ αὐτοὶ μόνοι οὐκ εἰσι βέβηλοι, καί τοί γε ὄντες ἀπὸ γάμου, οὐ βέβηλος ὁ γάμος, διότι ἄνευ αὐτοῦ οὐδεὶς γεννηθήσεταί ποτε ἐν κόσμῳ. Καὶ πολλή τίς ἐστιν ἡ τῶν ἀνθρώπων πλάνη, διὰ ποικιλίας καὶ πολλῶν προφάσεων ἐργασαμένη τὸ φαῦλον τῇ ἀνθρωπείᾳ φύσει, καὶ πλανήσασα ἕκαστον διὰ προφάσεως ἀπὸ τῆς ἀληθείας.*

Κεφ. γ'. *Καὶ ἔχει μὲν οὖν ἀποταξίαν ἡ ἐκκλησία, ἀλλ' οὐ βδελύττεται τὸν γάμον. Καὶ ἔχει ἀκτημοσύνην, ἀλλὰ οὐκ ἐπαίρεται [1] τῶν ἐν κτήσει δικαιοσύνης ὑπαρχόντων καὶ ἐκ τῶν ἰδίων γονέων ἐχόντων ὅπως ἑαυτοῖς τε καὶ τοῖς ἐπιδεομένοις ἐπαρκέσαι. Καὶ ἀπέχονται βρωμάτων πολλοὶ, ἀλλ' οὐ φυσιοῦνται κατὰ τῶν μὴ ἀπεχομένων· ὁ γὰρ ἐσθίων τὸν μὴ ἐσθίοντα μὴ ἐξουθενείτω, καὶ ὁ μὴ ἐσθίων τὸν ἐσθίοντα μὴ*

2. *Libri vulgo* τῷ δὲ.
Cap. III. — 1. κατὰ τῶν *suspicatus est Petavius. Sed* ἐπαίρεσθαι *h. l. structum est perinde atque* καταφρονεῖν. *Pla-*

deus coniunxit homo non separet? Nam ex necessitate separare ab homine est, sponte vero continere sese non hominis esse, sed dei opus ostendit. Ad haec naturalis illa necessitas habet saepe reprehensionem, quoniam id ipsum, quod necessario impositum est, non recto consilio ac ratione perficitur, sed intra regulam minime continetur. Non enim vi extorquenda pietas est, sed consilio ac voluntate iustitia suscipitur. Porro quae ad pietatem proprie sunt necessaria manifesta sunt, quae scilicet homines naturae velut admetiuntur. Quale est non fornicari, neque adulterium perpetrare, non libidinose se gerere, non secundas eodem tempore nuptias contrahere, non rapere, non iniuriam facere, non inebriari, non se cibis iniurgitare, non veneficium parare, non idola colere, non occidere, non imprecari, non conviliari, non iurare, succensere ac cito placari, irasci nec peccare, solem super iracundiam non occidere. Eph. 4, 26.
Nuptiis vero copulari legitimis, vel natura ipsa a deo condita permissum sibi esse monstrabit. Cetera denique, quae eiusdem rationis sunt, ad alterutrum genus, pro modo suo ac mensura, revocari possunt.

Verum ut, quae de illis tractare cepimus, persequamur, habitant illi in exigua quadam regione Phrygiae, Ciliciae ac Pamphyliae. Cap. II.
Quid igitur? Ergone ecclesia, quae ad utramque terrarum extremitatem porrigitur, penitus exscinditur, nec amplius in omnem terram exivit sonus eorum, et in fines orbis terrae verba eorum? Nec illud valet, quod a servatore dictum est: *Eritis mihi testes usque ad ultimum terrae?* Enim vero si honestatis nihil habent nuptiae nec ulla eis vitae spes relinquitur, nascantur illi sine nuptiis. Sin ex nuptiis oriuntur, ob eas ipsas impuri sunt et execrandi. Quod si soli illi impuri minime sunt, licet e nuptiis propagati sint, non sunt impurae nuptiae, quoniam sine illis nemo in hanc lucem prodire potest. Magnus omnino hominum illorum error est, qui varia ac multiplici specie humano generi perniciem attulit, et unumquemque inani quodam praetextu a recta via veritatis abduxit. (Psalm. 18, 5. — Act. 1, 8.)

Habet quidem renuntiationem ecclesia, sed non ideo detestandas nuptias existimat. Habet bonorum omnium inopiam, sed non adversus illos insolenter effertur, qui ea iuste possident a parentibus accepta, quibus tam sibi quam aliis indigentibus subveniant. Ad haec a ciborum usu temperant multi, sed non contra eos qui illis utuntur superbe se gerunt. *Qui enim manducat, non manducantem non contemnat, et qui non manducat, manducantem non iudicet.* *Chri-* (Cap. III. — Rom. 14, 3.)

ne sic nos struere solemus nostrum „sich überheben", *cum dicimus*, „sich seiner nicht überheben".

κρινέτω· Χριστῷ γὰρ ἐσθίει καὶ πίνει. Καὶ ὁρᾷς μίαν ὁμόνοιαν, καὶ μίαν ἐλπίδα, καὶ μίαν πίστιν ἐν τῇ ἐκκλησίᾳ, ἑκάστῳ χαριζομένην κατὰ
pag. 508. τὴν ἰδίαν δύναμιν καὶ μετὰ τὸν ἴδιον ἀγῶνα τοῦ καμάτου. Ἔοικε δὲ ἡ ἁγία [2] τοῦ θεοῦ ἐκκλησία νηΐ. Ναῦς δὲ οὐκ ἀπὸ ἑνὸς ξύλου [3] ἁρμόζεται, ἀλλ' ἐκ διαφόρων. Καὶ τὴν μὲν τρόπιν ἀπὸ ἑνὸς ξύλου κέκτηται, ἀλλὰ οὐ μονοβόλως· τὰς δὲ ἀγκύρας ἑτέρων, [4] περιτόναιά τε καὶ σανίδας, καὶ [5] τὰ ἐγκοίλια, σώματά τε καὶ μέρη [6] πρύμνης καὶ τοίχων καὶ ζυγωμάτων, [7] ἱστίων τε καὶ πηδαλίων, [8] ὀκνῶν τε καὶ αὐχενίων, οἰάκων τε καὶ τῶν ἄλλων πάντων, ἐκ διαφόρων ξύλων ἔχει τὴν συναγωγήν. Ἑκάστη δὲ τούτων τῶν αἱρέσεων μονόξυλός τις οὖσα [9] τὸν χαρακτῆρα τῆς ἐκκλησίας οὐχ ὑποφαίνει. Ἡ δὲ ἁγία [10] θεοῦ ἐκκλησία ἔχει μὲν γάμον σεμνὸν, καὶ τιμᾷ τὸν τοιοῦτον, ἐπειδὴ τίμιος ὁ γάμος, καὶ ἡ κοίτη ἀμίαντος. Ἔχει ἐγκράτειαν θαυμασιωτάτην, καὶ ἐπαινεῖ τὴν τοιαύτην, ἐπειδὴ ἀγῶνα ἀγωνίζεται, καὶ κατεφρόνησε τοῦ βίου, ὡς ἔτι δυνατωτέρα. Ἔχει δὲ παρθενίαν, καὶ ὑπερδοξάζει τὴν τοιαύτην ἐνάρετόν τινα οὖσαν, καὶ πτερῷ κουφοτάτῳ κεκοσμημένην. Ἔχει ἀποταξαμένους τῷ κόσμῳ, καὶ μὴ πεφυσιασμένους κατὰ τῶν ἔτι ἐν κόσμῳ ὑπαρχόντων, ἀλλὰ χαίροντας τοῖς τοιούτοις. Καθάπερ καὶ οἱ ἀπόστολοι αὐτοὶ μὲν ἀκτήμονες ὑπάρχοντες, καὶ αὐτὸς ὁ σωτὴρ πάντων δεσπότης ὢν, ἐν σαρκὶ γενόμενος, οὐδὲν ἀπὸ τῆς γῆς ἐκτήσατο, ἀλλ' οὐκ ἀπεβάλετο τὰς αὐτοῦ τε καὶ τοῖς αὐτοῦ μαθηταῖς διακονούσας γυναῖκας. Λέγει γὰρ, Αἵτινες ἠκολούθησαν αὐτῷ ἀπὸ τῆς Γαλιλαίας, διακονοῦσαι αὐτῷ, καὶ τοῖς μετ' αὐτοῦ ἀπὸ τῶν ἰδίων ὑπαρχόντων.

Κεφ. δ'. Ἐπεὶ πῶς ἄρα πληρωθήσεται τὸ εἰρημένον, Δεῦτε ἐκ δεξιῶν μου οἱ εὐλογημένοι, οἷς ὁ πατήρ μου ὁ οὐράνιος ἔθετο τὴν βασιλείαν πρὸ καταβολῆς κόσμου; ἐπείνασα γὰρ, καὶ ἐδώκατέ μοι φαγεῖν, ἐδίψησα, καὶ ἐποτίσατέ με, [1] [ξένος ἤμην, καὶ συνηγάγετέ με,] γυμνὸς, καὶ περιεβάλετέ με. Πόθεν δὲ οὗτοι ταῦτα εἶχον πράττειν, εἰ μὴ ἀπὸ δικαίων πόνων ἐπετέλουν, καὶ ἀπὸ τῶν ἰδίων ὑπάρξεων ἐν τῇ δικαιοσύνῃ; Καὶ εἰ μὲν αὐτοὶ ἀποταξάμενοι καὶ ἀποστολικὸν βίον βιοῦντες μετὰ τῶν ἄλλων ἦσαν μεμιγμένοι, οὐκ ἀλλότριος ἦν ὁ χαρακτὴρ, οὔτε ἀπὸ τῆς τοῦ θεοῦ διατάξεως ἀπεξενωμένος· καὶ εἰ γυναιξὶν ἀπετάξαντο δι' ἐγκράτειαν, ἐπαινετὴ ἦν ἡ
pag. 509. προειρημένη, εἴπερ τὸν γάμον οὐκ ἐβδελύσσοντο· ἀλλὰ τοῖς ἔτι ἐν γάμῳ

2. τοῦ *om. cod. Ven.*
3. σκευάζεται, ἀλλὰ *cod. Venet.*
4. *Libri vulgo* περιτόνεα, *vel* περιττόνεα. *Pollux Onomast. I,* 89. *explicat* τὰ περὶ τὴν πρύμναν προὔχοντα ξύλα.
5. *Scripsi* τὰ ἐγκοίλια, σώματά τε καὶ, *vestigia cod. Veneti, optimi, secutus, in quo legitur* τὰ ἐγχοίλα (*sic*) σάματα (*sic*) τὲ καὶ. *Cod. Rhedig. cum editis habet* τὰ ἐγχυλίσματά τε καὶ. *Petavius suspicabatur* τὰ χελύσματά τε καί.
6. προίμνης *cod. Venet.*

sto enim manducat et bibit. Iamne vides eandem in ecclesia concordiam eandemque spem ac fidem quae unicuique secundum propriam vim propriumque laboris certamen gratificare studet? Etenim sancta dei ecclesia navi cuidam similis est. Navis porro non et unica tabula, sed ex diversis coagmentatur. Habet enim ex uno quidem ligno carinam, sed non uno ac simplici modo: anchorae deinde alterius generis sunt, tum peritonaea, tabulata, statumina ac puppis, laterum transtrorumque partes, vela, temones, phalangas, manubria, clavos ac reliqua omnia vario ex materiae genere coagmentantur. At unaquaeque istarum haereseon unico ligno constans ecclesiae notam ac characterem prae se non habet. Contra dei ecclesia honestas nuptias admittit, ac veneratione prosequitur. *Honestae enim nuptiae sunt, et torus immaculatus.* Hebr. 13, 4. Habet et continentiam, et quidem singularem, eamque commendat, utpote quae certamen quoddam suscipit, vitamque ipsam quasi potentior despicit. Nec minus virginitatem habet, eamque magnopere praedicat, quasi cum virtute coniunctam, levissimaque penna praeditam. Nec ei desunt certi homines, qui mundo renuntiarunt, nec adversus eos qui adhuc in mundo versantur arroganter insolescunt, sed iis ipsis delectantur. Quales olim apostoli fuerunt, omnium scilicet rerum possessione vacui. Imo et salvator ipse dominus omnium, cum in hac carne viveret, nihil ex hisce terrenis rebus possidere voluit. Neque tamen idcirco mulieres illas reiicere voluit, quae sibi ac suis apostolis ministrarent. Ita enim scriptum est: *Quae quidem secutae fuerant* Luc. 8, 3. *illum a Galilaea, ministrantes ipsi et iis qui cum eo erant, de suis facultatibus.*

Quod nisi ita se res haberet, qui tandem impleri posset illud: Cap. IV. *Venite ad dexteram meam benedicti, quibus pater meus coelestis paravit* Matth. 25, 34. *regnum a constitutione mundi. Esurivi enim, et dedistis mihi manducare, sitivi, et dedistis mihi bibere, nudus fui, et cooperuistis me.* Quae omnia quomodo facere tandem potuissent, nisi iustis ex laboribus atque ex privatis facultatibus iure comparatis eadem illa praestitissent? Quod si isti qui bonis se omnibus abdicant et apostolicum vitae genus instituerunt, aliis essent admisti, non aliena esset illa vivendi ratio, neque a divinis legibus ac praescriptis abhorreret, ac si uxoribus insuper prae temperantiae studio renuntiarent, laudabile esset institutum illud, pro eo quod nuptias minime detestarentur. Sed cum iis qui matrimonia contraxerint communionem

7. ἰστίου *cod. Venet.*
8. ὁλκῶν *suspicio Petavii fuit.*
9. οὐ τὸν *cod. Venet.*
10. τοῦ θεοῦ *cod. Venet.*

Cap. IV. — 1. *Haec verba, quae in libris vulgo desiderantur, reducenda fuisse, illud* γυμνὸς, *in tanta nuditate positum, satis probat.*

κοινωνοῖς ἐχρήσαντο ἄν, εἰδότες ἑκάστου τὸ μέτρον καὶ τὴν τάξιν. Ἡ γὰρ τοῦ θεοῦ ναῦς πάντα ἐπιβάτην δέχεται, δίχα λῃστοῦ. Γνοῦσα γὰρ λῃστὴν καὶ πειρατὴν, τοῦτον οὐκ εἰςδέχεται, οὐδὲ φυγάδα, καὶ ἀπὸ τῶν ἰδίων δεσποτῶν ἀφηνιάζοντα. Οὕτω καὶ ἡ ἁγία τοῦ θεοῦ ἐκκλησία οὐ δέχεται πορνείαν, οὐ δέχεται μοιχείαν, οὐ δέχεται ἐπαρνησιθεῖαν, οὐδὲ τοὺς ἀθετοῦντας τὴν δεσποτείαν τῆς τοῦ θεοῦ διατάξεως, καὶ τῶν αὐτοῦ ἀποστόλων, δέχεται δὲ τὸν μὲν ἐν μεγάλῃ πραγματείᾳ, τὸν δὲ ἐν ἐμπειρίᾳ ναυτίλων, τὸν δὲ κυβερνήτην καὶ ἐπιστήμονα, τὸν δὲ ἐν πρωρικῇ, τὸν δὲ ἐν πρύμνῃ, ἔχοντα τὸ ἐμπειρότατον τῆς ἀποσκοπῆς, τὸν δὲ ἐν μέτρῳ τινὶ ὑποστάσεως καὶ ἐνθήκης ὄντα, τὸν δὲ καὶ ἕως τοῦ διαπεράσαι μόνον, καὶ μὴ ἐν θαλάσσῃ καταποντωθῆναι. Καὶ οὐ πάντως ὅτι τὸ μὴ τοσαῦτα κεκτημένῳ τὴν σωτηρίαν οὐ παρέχει, ἀλλ' οἶδε μὲν πάντας σώζειν, ἕκαστον δὲ κατὰ τὴν ἰδίαν πραγματείαν καὶ σωτηρίαν. Καὶ πόθεν οἱ ἐξ οἰκίας τοῦ Καίσαρος ἀσπάζονται παρὰ τῷ ἀποστόλῳ; πόθεν δὲ τῷ ἀποστόλῳ τὸ εἰρημένον, τὸ, Ἐὰν νομίζῃ ἀσχημονεῖν ἐπὶ τὴν ἰδίαν παρθένον, καὶ οὕτως ὀφείλει ποιῆσαι, γαμείτω, οὐχ ἁμαρτάνει. Οὐκ ἐκτὸς δὲ λουτροῦ δύναται πληροῦν τὸ οὐχ ἁμαρτάνειν. Εἰ γὰρ πάντες ἥμαρτον, καὶ ὑστεροῦνται τῆς δόξης τοῦ θεοῦ, δικαιούμενοι δωρεὰν τῇ χάριτι, δῆλον διὰ λουτροῦ παλιγγενεσίας. Τὸ γὰρ λουτρὸν ἐκόσμησε τὴν ψυχὴν καὶ τὸ σῶμα, ἀπολούσαν πᾶν ἁμάρτημα διὰ μετανοίας. Ἆρα γε καὶ ἐπὶ τὴν οὖσαν παρθένον τὸ χάρισμα ἐφήπλωται τοῦ βαπτίσματος, καὶ ἐπὶ τὴν οὐκ οὖσαν παρθένον, [2] ἐὰν σφραγίζεσθαι ἐπείγηται, διὰ τὸ ἀβαρές.

Κεφ. ε'. Ἀλλὰ μή τινες πάλιν ὑδαρευόμενοι νομίσωσιν, ἐὰν εἴπωμεν περὶ παρθένου, διατάξαντος τοῦ ἀποστόλου τὸ γῆμαι, μὴ τὴν ἅπαξ ὁρίσασαν παρθενεῦσαι θεῷ κατασπάσαι τοῦ ἰδίου δρόμου βουλόμενος ὁ ἀπόστολος ταῦτα διετάξατο. Οὐ γὰρ περὶ τούτων ὁ λόγος, ἀλλὰ περὶ παρθένων ὑπεράκμων, τῶν οὐ διὰ παρθενίαν ἐν τῇ ἀκμῇ παραμεινασῶν, ἀλλὰ διὰ τὸ ἠπορηκέναι ἀνδρῶν πρὸς γάμον. Ἐξ Ἰουδαίων γὰρ ὁρμώμενοι οἱ ἀπόστολοι, καὶ κατὰ τὸν νόμον πολιτευσάμενοι, τὴν ἀρχὴν
pag. 510. τοῦ κηρύγματος ἐποιήσαντο θεσμοῖς ἔτι κατεχόμενοι τοῖς ἐν τῷ νόμῳ, οὐ κατὰ τὴν σαρκὸς δικαίωσιν, ἀλλὰ κατὰ τὴν ἐμμελῆ τοῦ νόμου ἀσφάλειαν καὶ ἀκριβολογίαν. Θαυμαστῶς ἐκήρυττεν ὁ νόμος μὴ δοῦναι τὰς θυγατέρας Ἰσραὴλ τοῖς ἀλλοφύλοις, ἵνα μὴ ἀποπλανῶσιν αὐτὰς ἐπὶ τὰ εἴδωλα. Ἕκαστος τοίνυν τῶν πιστευσάντων τότε προσετάττετο

2. ἐὰν σφρ. ἐπείγηται *ego*. *Libri habent* παρθένον σφραγ. ἐπείγεται· ἥτις σφραγίζεσθαι ἐπείγεται *censebat Petavius*. *Cornarius vertit:* „— expassum est, et in eam, quae non est virgo, concludi festinat, eo quod grave non est."

habere vellent, quod uniuscuiusque mensuram ordinemque cognoscerent. Dei quippe navis vectorum genus omne praedonibus exceptis admittit. Quem enim praedonem ac piratam agnoverit, nequaquam recipit, neque fugitivum, aut eum qui dominorum suorum servitutem excusserit. Ad eundem modum ecclesia dei neque fornicationem admittit, nec adulterium, neque divini numinis eiurationem, nec eos qui dei atque eius apostolorum sanctiones ac decreta rescindunt. Ceterum ex vectoribus illis alium ad magnam quandam negotiationem obeundam adhibet, alium ad nauticos usus, gubernatorem alium constituit, atque alium prorae, alium puppi praeficit, qui speculandi praecipua quadam sit experientia praeditus. Alium velut faecis merciumque loco habet, alium denique transvehendi solum gratia recipit, ne in mari demergatur. Nec ulla omnino exceptione utitur, ut ei qui tantum non possideat salutis viam intercludat, quin imo ita universis novit conciliare salutem, ut habita cuiusque functionis ac salutis ratione conservet. Alioqui cur qui e familia Caesaris erant salutem apud apostolum dicunt? Aut unde apostolicum illud dictum, *Si quis putat turpem se videri super virgine sua, et ita facere debet, nubat, non peccat.* Hoc ipsum vero, non peccare citra baptismum obtineri non potest. *Omnes enim peccaverunt, et egent gloria dei, iustificati gratis per gratiam*, hoc est secundae quadam lotione generationis. Quae quidem lotio omne per poenitentiam peccatum eluens animum ac corpus exornat. Quamobrem tam ad virginem baptismi gratia pertinet quam ad eam quae virgo non est, quae relevandae sui gratia eo se obsignari sacramento desiderat. Philipp. 4. 22. 1. Cor. 7, 36. Rom. 3, 23.

Verum ne diluti nimium et insipidi homines existiment, cum apostolum dicimus nuptias virgini praescripsisse, eodem decreto et illam insuper de curriculo suo deiicere voluisse, quae virginitatem deo semel consecrare statuerit. Neque enim ad eas apostolicus ille sermo referendus est, sed ad effoetas virgines, quae non amore virginitatis, sed maritorum inopia in illo suo vigore perstiterint. Etenim apostoli e Iudaeis oriundi, eorumque legibus instituti, ita Christianae religionis praedicationem aggressi sunt, ut veteris adhuc legis sanctionibus essent obstricti, idque ipsum non ad iustificationem carnis, sed ad concinnam atque aptam legis observationem accuratamque officii rationem, faciendum sibi esse duxerunt. Siquidem mirum in modum hoc antiqua lege cavebatur, ne Israelitarum filiae exteris nationibus elocarentur, ut ne ipsas ad simulacrorum cultum pertraherent. Itaque fidelium cuique per illud tempus praeceptum Cap. V.

οὐκέτι Ἰουδαίοις ἐκδίδοσθαι τὴν ἑαυτοῦ παρθένον, ἀλλὰ Χριστιανοῖς ὁμοδόξοις καὶ ὁμογνώμοσι. Νέου δὲ ὄντος τοῦ κηρύγματος, οὔπω πλῆθος κατὰ τόπον Χριστιανῶν ὑπῆρχε, καὶ Χριστιανικῆς διδασκαλίας. Οἵτινες οὖν τότε ἔσχον θυγατέρας παρθένους, μὴ εὐποροῦντες ἐκδίδοσθαι Χριστιανοῖς, ἐφύλαττον τὰς ἑαυτῶν παρθένους ἄχρι πολλοῦ τοῦ χρόνου, ἐκεῖναι δὲ ὑπερακμάζουσαι περιέπιπτον πορνείᾳ, διὰ τὴν κατὰ φύσιν ἀνάγκην. Ὁ γοῦν ἀπόστολος, ὁρῶν τὸ ἐπιζήμιον διὰ τῆς ἀκριβολογίας συμβαῖνον, ἐπέτρεψε λέγων, Εἰ δέ τις βούλεται τὴν ἑαυτοῦ παρθένον, καὶ οὐκ εἶπε, τὴν ἰδίαν παρθενίαν. Οὐ γὰρ περὶ τοῦ ἰδίου σώματος ἔλεγεν, ἀλλὰ περὶ πατρὸς φυλάσσοντος παρθενίαν. Εἰ δὲ τὴν ἑαυτοῦ παρθένον τὸ ἴδιον σῶμα λέγει, οὐδὲν κωλύσει. Φησὶν οὖν, Ἕστηκεν ἑδραίως ἐν τῷ ἰδίῳ νῷ, καὶ τοῦτο ὀφείλει ποιῆσαι. Γαμείτω, φησὶν, οὐχ ἁμαρτάνει· [1]γαμείτω οὗ γ' ἂν εὐποροίη, οὐχ ἁμαρτάνει. Καὶ διὰ τοῦτο, Δέδεσαι γυναικὶ, μὴ ζήτει λύσιν· λέλυσαι ἀπὸ γυναικὸς, μὴ ζήτει γυναῖκα. Ὁ λέγων, Θέλω πάντας εἶναι ὡς ἐμαυτὸν, ἔλεγεν, Εἰ οὐκ ἐγκρατεύονται, γαμησάτωσαν.

Κεφ. ϛ'. Πάλιν δὲ προτρεπόμενος τοὺς [1]γάμους ἔλεγε, Λέγω δὲ τοῖς ἀγάμοις καὶ ταῖς χήραις, καλὸν αὐτοῖς ἐὰν μείνωσιν ὡς κἀγώ. Πῶς οὖν πάλιν ἔλεγε, Δέδεσαι γυναικὶ, μὴ ζήτει λύσιν; ἢ πῶς οὐκ ἀντινομοθετῶν εὑρεθήσεται τῷ ἰδίῳ κυρίῳ τῷ λέγοντι, Ὁ μὴ καταλιπὼν πατέρα καὶ μητέρα καὶ ἀδελφοὺς καὶ γυναῖκα καὶ τέκνα καὶ θυγατέρας, οὐκ ἔστι μου μαθητής; Πῶς δὲ ὁ λέγων ὅτι δεῖ καταλιπεῖν γυναῖκα σεμνὴν, καὶ πατέρα, αὐτὸς πάλιν λέγει, Ὁ τιμῶν πατέρα καὶ μητέρα, αὕτη γάρ ἐστιν ἐν ἐπαγγελίᾳ πρώτη ἐντολὴ ὑπάρχουσα· καὶ, Ὃ θεὸς συνέζευξεν, ἄνθρωπος μὴ χωριζέτω; Ἀλλὰ πάντα τὰ θεῖα ῥήματα οὐκ
pag. 511. ἀλληγορίας δεῖται, [2]ἀλλὰ ὡς ἔχει ἔχει, θεωρίας δὲ δεῖται καὶ αἰσθήσεως, εἰς τὸ εἰδέναι ἑκάστης ὑποθέσεως τὴν δύναμιν. Δεῖ δὲ καὶ παραδόσει κεχρῆσθαι. Οὐ γὰρ πάντα ἀπὸ τῆς θείας γραφῆς δύναται λαμβάνεσθαι. Διὸ τὰ μὲν ἐν γραφαῖς, τὰ δὲ ἐν παραδόσει παρέδωκαν οἱ ἅγιοι ἀπόστολοι, ὥς φησιν ὁ ἅγιος ἀπόστολος, Ὡς παρέδωκα ὑμῖν· καὶ ἄλλοτε, Οὕτως διδάσκω, καὶ οὕτως παρέδωκα ἐν ταῖς ἐκκλησίαις· καὶ, Εἰ κατέχετε, ἐκτὸς εἰ μὴ εἰκῇ ἐπιστεύσατε. Παρέδωκαν τοίνυν οἱ ἅγιοι θεοῦ ἀπόστολοι τῇ ἁγίᾳ θεοῦ ἐκκλησίᾳ ἐφάμαρτον εἶναι τὸ μετὰ τὸ ὁρίσαι παρθενίαν εἰς γάμον τρέπεσθαι, καὶ ἔγραψεν ὁ ἀπόστολος, Ἐὰν γήμῃ ἡ παρθένος, οὐχ ἥμαρτε. Πῶς οὖν συνᾴδει τοῦτο

Cap. V. — 1. *Libri habent* γαμείτω οὐδ' ἂν εὐποροῖεν. *Petavius suspicatus est* γαμείτω οὗ δ' ἂν εὐποροίη. *Rescripsi* γαμείτω οὗ γ' ἂν εὐποροίη, *eo quem ille affectabat sensu. Cornarius:* Qui constitit firmiter in propria mente, et hoc debet facere, nubat, inquit, non peccat, nubat etiamsi non fuerit copia, non peccat.

erat, ne quis filiam suam virginem Iudaeis in matrimonium daret, sed Christianis duntaxat, qui eadem religione essent ac sententia coniuncti. Cumque nova tunc esset evangelii praedicatio, non magna ubique Christianorum erat, Christianaeque doctrinae copia. Quare quibus filiae virgines erant, cum Christianum cui collocarent neminem haberent, easdem illas virgines diutissime servabant, quae maturam aetatem praetergressae naturalibus ad stupra libidinis stimulis incitabantur. Unde et apostolus, cum ex accurata illa ratione detrimenti plurimum afferri videret, iis verbis indulsit: *Quod si quis* 1. Cor. 7, 36.
virginem suam velit. Non dixit *virginitatem suam.* Neque enim de proprio corpore, sed de patre virginitatis custode loquebatur. Sed si *virginem suam* proprium corpus appellare dixerimus, nihil admodum nobis obstare potest. Pergit porro: *Stat firmiter in animo suo, et hoc debet facere: Nubat*, inquit, *non peccat. Nubat ei quemcumque nacta fuerit, non peccat.* Atque idcirco, *Alligatus es uxori? noli quaerere solutionem. Solutus es ab uxore? Noli quaerere uxorem.* Atque ille qui dixit: *Volo omnes esse sicut meipsum*, illud una dixit: *Si non continent, nubant.*

Praeterea cum innuptis praecepta daret, *Dico autem*, inquit, Cap. VI.
innuptis et viduis bonum est ipsis, si maneant ut ego. Quomodo igitur istud usurpavit: *Alligatus es uxori, noli quaerere solutionem?* Nonne contrariam domini sui decreto legem statuere videtur, qui ita pronuntiaret: *Qui non relinquit patrem et matrem et fratres et* Luc. 14, 26.
uxorem et filios et filias, non est meus discipulus. Ad haec qui honestam coniugem patremque relinquere iubet, quomodo idem alio in loco dicit, *Qui honorat patrem et matrem, hoc enim est primum in* Exod. 20, 12.
Eph. 6, 2.
promissione mandatum, et, *Quod deus coniunxit homo non separet.* Matth. 19, 6.
Verum divina omnia verba non ad allegorias referenda, sed ut se habent accipienda sunt. Consideratione vero ac sensu opus habent, ut argumenti cuiusque vis ac potestas intelligatur. Sed traditione quoque opus est. Neque enim ex scripturis peti possunt omnia. Idcirco alia scripto, traditione alia sanctissimi apostoli reliquerunt. Quod ipsum ita Paulus affirmat: *Quemadmodum tradidi vobis.* Item 1. Cor. 11, 2.
1. Cor. 15, 3.
alio loco: *Ita doceo, et ita tradidi in ecclesiis.* Item: *Si meministis, nisi frustra credidistis.* Iam vero illud ab apostolis sancta dei ecclesia traditum accepit, post decretam virginitatem ad nuptias sese conferre, scelere implicatum videri. Atenim apostolus scripsit: *Si nupserit virgo, non peccavit.* Quinam igitur ambo haec inter se con-

Cap. VI. — 1. ἀγάμους *suspicabatur Petavius. Possis eodem iure, retento* γάμους, *mutare* ἀποτρεπόμενος. 2. ἀλλὰ ὡς ἔχει ἔχει *ego. Libri habent* ἀλλὰ ὡς ἔχει.

τούτῳ; Ἀλλὰ [3] κατ' ἐκείνην τὴν παρθένον λέγει, τὴν μὴ ὁρίσασαν Θεῷ. Ἀλλὰ διὰ τὴν ἀπορίαν τῆς κατὰ τὸν καιρὸν ἐκεῖνον σπάνης τῶν εἰς Χριστὸν πεπιστευκότων κατὰ ἀνάγκην οὕτως ἐπετελεῖτο. Καὶ ὅτι ταῦτα οὕτως ἔχει, διδάξει ἡμᾶς ὁ αὐτὸς ἀπόστολος, λέγων, Νεωτέρας χήρας παραιτοῦ· μετὰ γὰρ τὸ καταστρηνιάσαι τοῦ Χριστοῦ γαμεῖν θέλουσιν, ἔχουσαι κρίμα, ὅτι τὴν πρώτην πίστιν ἠθέτησαν. [4] Ἡ τοίνυν εἰ καὶ ἡ μετὰ πεῖραν κόσμου χηρεύσασα γυνὴ διὰ τὸ τετάχθαι Θεῷ ἔπειτα γήμασα κρίμα ἕξει, ἀθετήσασα τὴν πρώτην πίστιν, πόσῳ γε μᾶλλον ἡ καὶ αὐτὴν ἄνευ πείρας κόσμου ἀναθεῖσα παρθένος Θεῷ γαμήσασα; πῶς οὐχὶ μᾶλλον αὐτῇ ὑπὲρ περισσοῦ κατεστρηνίασε Χριστοῦ, καὶ τὴν μείζονα πίστιν ἠθέτησε, καὶ ἕξει κρίμα ὡς ἀναχαλασθεῖσα τῆς ἰδίας κατὰ Θεὸν προθέσεως;

Κεφ. ζ'. Γαμείτωσαν τοίνυν, τεκνογονείτωσαν, οἰκοδεσποτείτωσαν, σύντομος καὶ μέσος ὁ λόγος κατὰ τῶν τὰ φαῦλα διανοουμένων περὶ πάσης ἐκκλησιαστικῆς τοῦ κηρύγματος ὑποθέσεως. Παρεκβάλλουσα μὲν τοὺς λέγοντας ἑαυτοὺς Ἀποστολικοὺς καὶ Ἐγκρατίτας, παρεκβάλλουσα τοὺς ὑδαρευομένους ἐν τῇ ἐκκλησίᾳ καὶ ἀναπείθοντας [1] γύναια ἀπὸ τελείου δρόμου ἀναχαλασθέντα ἀθετεῖν τὴν τοιαύτην τοῦ δρόμου τελειότητα. Καὶ ἔχει μὲν ἁμαρτίαν καὶ κρίμα ὁ ἀθετήσας Θεοῦ τὴν παρθενίαν, καὶ καταισχύνας τὸν ἀγῶνα. Παραφθείρας γὰρ ἀγῶνα ὁ ἀθλητὴς μαστιχθεὶς ἐκβάλλεται τοῦ ἀγῶνος καὶ παραφθείρας τις παρθενίαν ἐκ-
pag. 512. βάλλεται τοῦ τοιούτου δρόμου, καὶ στεφάνου, καὶ βραβείου. Ἀλλὰ κρεῖττόν ἐστι κρίμα, καὶ μὴ κατάκριμα. Οἱ γὰρ διὰ τὸ μὴ αἰσχυνθῆναι τοῖς ἀνθρώποις κρυφῇ πορνεύοντες ποιοῦσι πορνείας, [2] προφάσει μονότητος, ἢ ἐγκρατείας, οὐ πρὸς ἀνθρώπους ἔχουσι τὴν ὁμολογίαν, ἀλλὰ πρὸς Θεὸν τὸν εἰδότα τὰ κρύφια καὶ ἐξελέγχοντα πᾶσαν σάρκα ἐν τῇ αὐτοῦ παρουσίᾳ περὶ ὧν ἕκαστος ἥμαρτε. Κρεῖττον τοίνυν ἔχειν ἁμαρτίαν μίαν, καὶ μὴ περισσοτέρας. Κρεῖττον πεσόντα ἀπὸ δρόμου φανερῶς ἑαυτῷ λαβεῖν γυναῖκα κατὰ νόμον, καὶ ἀπὸ παρθενίας πολλῷ χρόνῳ μετανοήσαντα εἰσαχθῆναι πάλιν εἰς τὴν ἐκκλησίαν, ὡς κακῶς ἐργασάμενον, ὡς παραπεσόντα, καὶ κλασθέντα, καὶ χρείαν ἔχοντα ἐπιδέματος, καὶ μὴ καθ' ἑκάστην ἡμέραν βέλεσι κρυφίοις κατατιτρώσκεσθαι [3] πονηρίας ὑπὸ διαβόλου αὐτῷ ἐπιφερομένης.

Κεφ. η'. Οὕτως οἶδεν ἡ ἐκκλησία κηρύττειν, ταῦτα τὰ φάρμακα τῆς ἰά-

3. κατ' ἐκείνην *ego.* καὶ ἐκείνην *libri tam scripti quam editi.*

4. Ἡ τοίνυν εἰ καὶ *ego rescripsi. Libri enim habent* Εἰ τοίνυν εἰ καί. *Petavius alterum* εἰ *uncinis notavit.*

Cap. VII. — 1. γύναια *emendavit Petavius. Libri habent* γυναῖκα.

2. *Deesse aliquid suspicatus erat etiam Petavius qui librorum vett. scripturam* πορνείας, ἢ μονότητος *repetiit. Vocabuli* προφάσει *quod revocavi pars* προφασ *latebat in voc.* πορνείας, *pars* ει *in par-*

sentiunt? Sed nimirum de ea virgine loquitur quae deo virginitatem suam non addixit, adeoque propter Christianorum temporibus illis paucitatem atque inopiam, necessario haec ad eum modum administrabantur. Quod autem ita sese res habeat, eiusdem apostoli testimonio constat, cum ait: *Adolescentiores viduas devita. Postquam* 1.Tim. 5, 11. *enim in Christum lasciverint, nubere volunt, habentes iudicium, quoniam priorem fidem irritam fecerunt.* Quod si vel ea mulier, quae mundum periclitata vidua facta est, pro eo quod deo consecrata fuerit, si postea nupserit, iudicium habet, quod primam fidem irritam fecit, quae, antequam mundum experiretur, semetipsam deo dicaverit virgo, nonne multo magis lascivit in Christum, maioremque fidem irritam reddidit, ac iudicium ideo sustinebit, eo quod suum illud secundum deum propositum relaxavit?

Ergo illa apostoli verba, *Nubant, filios procreent, familiae cu-* Cap. VII. *ram habeant*, brevis est ac medius adversus illos sermo qui de omni 1.Tim. 5, 14. ecclesiasticae doctrinae genere perperam apud se cogitant. Quae quidem doctrina eos omnes respuit qui se Apostolicos et Encratitas nominant: necnon et illos qui in ecclesia molliores quodammodo sunt, quippe mulieribus persuadent ut de perfecti cursus contentione remittentes eam ipsam funditus abiiciant. Verum peccato se ac iudicio implicat, quisquis dei virginitatem tollit e medio, ac certamini ignominiam consciscit. Qui enim ex athletis certaminis leges violat, cum verberibus a certamine deiicitur. Ita qui virginitatem corruperit, ab eo ipso curriculo et corona praemioque repellitur. Verum melius utique iudicium est, quam damnatio. Nam qui, ut ne apud homines in infamiam adducantur, clam stuprum perpetrant, monasticae vitae vel continentiae sponsione non se apud homines obligant, sed apud deum, qui et occulta cognoscit et in adventu suo universam carnem redarguit, in quibus videlicet quisque peccaverit. Quocirca satius est uno se peccato quam pluribus obstringere. Satius est ubi a curriculo exciderit, palam sibi uxorem legitimis nuptiis adiungere, ac post virginitatem longo intervallo suscepta poenitentia iterum ecclesiae reconciliari, utpote qui et peccatum admiserit, et prolapsus fuerit et infractus, et obligatione vulneris opus habeat, ut non occultis in dies immissae a diabolo nequitiae iaculis sauciietur.

Hunc in modum praedicare consuevit ecclesia. Haec ad reme- Cap. VIII.

ticula ἢ. *Cornarius:* Qui enim, ut ne confundantur apud homines, occulte scortantur, et sub solitudinis aut continentiae specie libidinem exercent, non apud homines habent confessionem, sed apud deum, qui *cell.*

3. *Libri habent* καὶ πονηρίας. *At illud* καὶ, *quod etiam Cornarius in versione sua neglexit, accreverat ex finali syllaba eius qui praegreditur infinitivi* καταπιτρώσκεσθαι.

σεως, ταῦτα τὰ εἴδη τῆς μυρεψικῆς ἐργασίας, αὕτη ἡ κατασκευὴ τοῦ ἁγίου ἐλαίου ἐν τῷ νόμῳ, αὕτη ἡ ἀρωματίζουσα καλὴ πίστις, ἐπισφίγγουσα μὲν τὸν ἀθλοῦντα εἰς ἀγῶνα, ἐπικηρυκευομένη δὲ αὐτῷ διατεῖναι τὸν δρόμον, ὅπως δυνηθῇ στεφανθῆναι αὕτη ἡ τοῦ θεοῦ πραγματεία, πάντας συνάγουσα εἰς τὴν βασιλικὴν διάταξιν, καὶ πορφύραν μὲν ἀπὸ θαλάσσης, καὶ ἔριον ἀπὸ προβάτου, καὶ λίνον ἐκ γῆς, καὶ βύσσον, καὶ σηρικὸν, καὶ δέρματα ἠρυθροδανωμένα, καὶ λίθον τίμιον, τὸν σμάραγδον, καὶ τὸν μαργαρίτην, τὸν ἀχάτην, τοῖς μὲν χρώμασι διαλλάττοντας λίθους, τῇ δὲ τιμῇ ὁμοτίμους ὄντας, ἀλλὰ καὶ χρυσὸν, καὶ ἄργυρον, καὶ ξύλα ἄσηπα, καὶ χαλκὸν, καὶ σίδηρον, ἀλλὰ καὶ τρίχας αἰγείας μὴ ἀποβαλλομένη. Καὶ αὕτη μὲν ἦν τότε ἡ σκηνὴ, νῦν δὲ τῆς σκηνῆς ὁ οἶκος ἑδραιωμένος ἐν θεῷ, θεμέλιος δὲ ἐν δυνάμει. Καὶ παυσάσθω πᾶσα αἵρεσις κατὰ τῆς ἀληθείας ἐπεγειρομένη, μᾶλλον δὲ ἑαυτὴν ἀπὸ ἀληθείας διώκουσα.

Καὶ ἕως ὧδε ταῦτα ἐχέτω. Τὴν γαῦρον δὲ ταύτην ἔχιδναν, δίκην [5] ἀκοντίου τοῦ καλουμένου, ἢ τύφλωπος, ἢ μυάγρου, ξύλῳ τῷ σταυροῦ πεπαικότες καὶ καταλείψαντες, ἰὸν μὲν οὐ τοσοῦτον ἔχοντα τὰ ἑρπετώδη ταῦτα, πλὴν καὶ τῷ δρόμῳ καὶ τῷ γαυριάματι καὶ τῇ pag. 513. ἀκοντιάσει διὰ τὴν αὐτῶν ἐπεντριβὴν οὕτως καλῶς ἀπεικασθέντας, περιφρονήσαντες τῶν αὐτῶν ἐπὶ τὰς ἑξῆς ἴωμεν, ὦ ἀγαπητοί.

ΚΑΤΑ ΣΑΒΕΛΛΙΑΝΩΝ,

τεσσαρακοστὴ δευτέρα, ἡ καὶ ἑξηκοστὴ δευτέρα.

Κεφ. α΄. Σαβέλλιός τις ἐν χρόνοις ἀνέστη, οὐ πολλῷ πρότερον, [1] παλαιοτέροις. Πρόσφατος γὰρ οὗτος, ἀφ᾽ οὗπερ οἱ Σαβελλιανοὶ καλούμενοι. Καὶ οὗτος δὲ παραπλησίως τῶν Νοητιανῶν, πλὴν ὀλίγων τινῶν δογματίσας. Πολλοὶ δὲ ἐν τῇ Μέσῃ τῶν ποταμῶν καὶ ἐπὶ τὰ μέρη τῆς Ῥώμης τοῦ αὐτοῦ δόγματος ὑπάρχουσιν, ἀνοίᾳ τινὶ φερόμενοι.

Δογματίζει γὰρ οὗτος καὶ οἱ ἀπ᾽ αὐτοῦ Σαβελλιανοὶ τὸν αὐτὸν εἶναι πατέρα, τὸν αὐτὸν υἱὸν, τὸν αὐτὸν εἶναι ἅγιον πνεῦμα· ὡς εἶναι ἐν μιᾷ ὑποστάσει τρεῖς ὀνομασίας, ἢ ὡς ἐν ἀνθρώπῳ σῶμα, καὶ ψυχὴ, καὶ πνεῦμα. Καὶ εἶναι μὲν τὸ σῶμα ὡς εἰπεῖν τὸν πατέρα, ψυχὴν δὲ ὡς εἰπεῖν τὸν υἱὸν, τὸ πνεῦμα δὲ ὡς ἀνθρώπου, οὕτως καὶ τὸ ἅγιον πνεῦμα ἐν τῇ θεότητι. Ἢ ὡς ἐὰν [2] ᾖ ἐν ἡλίῳ, ὄντι μὲν ἐν μιᾷ ὑποστάσει, τρεῖς δὲ ἔχοντι τὰς ἐνεργείας, φημὶ δὲ τὸ φωτιστικὸν, καὶ

5. Cf. supra haer. 40, 8. De typhlope cf. Nicandr. Ther. 492. Ael. H. A. VIII, 13. De myagro Nic. Ther. 490. Cap. 1. — 1. Reposui παλαιοτέροις.

dium comparata medicamenta sunt, haec seplasiarii operis genera sunt, haec sacri in lege olei confectio, haec aromatum odore fragrans egregia fides, quae athletae ad certamen prodeuntis adstringendi vim habet, eidemque denuntiat, uti cursum contendat, quo coronam possit auferre, hoc dei opus ac negotium est, quod omnes regiam ad administrationem congregat, velut e mari purpuram, lanam ex ovibus, linum e terra, byssum sericum, rubricatas pelles, pretiosum lapidem, smaragdum, unionem, achatem, lapides inquam, qui, etsi coloribus differant, pretio tamen aequales sunt. Sed et aurum et argentum, et incorrupta ligna, aes atque ferrum, adeoque ne caprinos quidem pilos repudiat. Atque eiusmodi quondam tabernaculum fuit, nunc autem tabernaculi domus in deo stabilita, fundamentum eius in virtute consistit. Proindeque desinat haeresis omnis, quae contra veritatem insurgit, vel seipsam potius a veritate removet. Exod. 25.

Atque haec hactenus. Nunc posteaquam superbam hanc viperam, perinde ac serpentis genus illud, quod iaculum vocat, aut typhlopem vel myagrum, crucis ligno percussimus ac reliquimus, quae quidem serpentum genera non tam praesenti veneno sunt, verum tamen tam ob eorum pernicitatem quam insolentiam et eiaculationem ad haereticorum illorum perniciem significandam commode adhibentur, contemptis, inquam, illis et abiectis ad reliquas haereses transeamus.

CONTRA SABELLIANOS, haeresis XLII., sive LXII.

Non multis abhinc annis Sabellius quidam haereticus emersit, Cap. I. quippe recens ille est; a quo Sabelliani profecti sunt. Qui quidem, paucis quibusdam exceptis, eadem cum Noëtianis asseruit. Atque huius sectae plurimi cum in Mesopotamia, tum Romae versantur, vesania quadam perciti.

Horum haec opinio est: Eundem esse patrem, et filium, et spiritum sanctum, ut ad eandem hypostasin tres appellationes conveniant. Aut perinde atque in uno homine corpus, et anima, et spiritus inest. Ita ut corporis instar sit pater, animae filius, spiritus denique in ipsa divinitate humani spiritus instar habeatur. Quod et solis similitudine declarant, in quo cum una sit hypostasis, triplex nihilominus actus est, nimirum illustrandi vis et calefaciendi, et or-

Libri habent παλαιοτάτοις, *qui error haud infrequens est. Cornarius:* Sabellius quidam surrexit in temporibus non adeo priscis.

2. *Intellege* ἡ θεότης.

τὸ θάλπον, καὶ αὐτὸ τὸ τῆς περιφερείας σχῆμα· καὶ εἶναι μὲν τὸ θάλπον, εἴτουν θερμὸν καὶ ζέον, τὸ πνεῦμα, τὸ φωτιστικὸν δὲ τὸν υἱὸν, τὸν δὲ πατέρα αὐτὸν εἶναι τὸ εἶδος πάσης τῆς ὑποστάσεως. Πεμφθέντα δὲ τὸν υἱὸν καιρῷ ποτε, ὥςπερ ἀκτῖνα, καὶ ἐργασάμενον τὰ πάντα ἐν τῷ κόσμῳ τὰ τῆς οἰκονομίας τῆς εὐαγγελικῆς καὶ σωτηρίας τῶν ἀνθρώπων, ἀναληφθέντα δὲ αὖθις εἰς οὐρανὸν, ὡς ὑπὸ ἡλίου πεμφθεῖσαν ἀκτῖνα, καὶ πάλιν εἰς τὸν ἥλιον ἀναδραμοῦσαν. Τὸ δὲ ἅγιον πνεῦμα πέμπεσθαι εἰς τὸν κόσμον, καὶ καθεξῆς καὶ καθ' ἕκαστα εἰς ἕκαστον τῶν καταξιουμένων· ἀναζωογονεῖν δὲ τὸν τοιοῦτον, καὶ ἀναζέειν, θάλπειν τε καὶ θερμαίνειν, ὡς εἰπεῖν, διὰ τῆς τοῦ πνεύματος δυνάμεώς τε καὶ συμβάσεως. Καὶ ταῦτά ἐστιν ἃ δογματίζουσι.

Κεφ. β'. Κέχρηνται δὲ ταῖς πάσαις γραφαῖς, παλαιᾶς τε καὶ καινῆς διαθήκης, λέξεσι δέ τισιν αἷς αὐτοὶ ἐκλέγονται κατὰ τὴν ἰδίαν αὐτῶν παραπεποιημένην φρενοβλάβειάν τε καὶ ἄνοιαν. Πρῶτον μὲν τῷ ῥητῷ
pag. 514. ᾧ εἶπεν ὁ θεὸς πρὸς Μωϋσῆν ὅτι, Ἄκουε Ἰσραὴλ, κύριος ὁ θεός σου κύριος εἷς ἐστιν· οὐ ποιήσεις σεαυτῷ θεοὺς ἑτέρους· οὐκ ἔσονταί σοι θεοὶ πρόσφατοι, ὅτι ἐγὼ θεὸς ὁ πρῶτος, καὶ ὁ μετὰ ταῦτα, καὶ πλὴν ἐμοῦ οὐκ ἔστι θεὸς ἕτερος, καὶ ὅσα ἕτερα κατὰ τὸν ἴδιον αὐτῶν νοῦν, εἰς τούτων δὲ παράστασιν, φέρουσι πάλιν ἀπὸ εὐαγγελίου ὅτι, Ἐγὼ ἐν τῷ πατρὶ, καὶ ὁ πατὴρ ἐν ἐμοὶ, καὶ οἱ δύο ἕν ἐσμεν. Τὴν δὲ πᾶσαν αὐτῶν πλάνην, καὶ τὴν τῆς πλάνης αὐτῶν δύναμιν ἔχουσιν ἐξ Ἀποκρύφων τινῶν, μάλιστα ἀπὸ τοῦ καλουμένου Αἰγυπτίου εὐαγγελίου, ᾧ τινες τὸ ὄνομα ἐπέθεντο τοῦτο. Ἐν αὐτῷ γὰρ πολλὰ τοιαῦτα ὡς ἐν παραβύστῳ μυστηριωδῶς ἐκ προσώπου τοῦ σωτῆρος ἀναφέρεται, ὡς αὐτοῦ δηλοῦντος τοῖς μαθηταῖς τὸν αὐτὸν εἶναι πατέρα, τὸν αὐτὸν εἶναι υἱὸν, τὸν αὐτὸν εἶναι ἅγιον πνεῦμα. Εἶτα ὅταν συναντήσωσί τισι τῶν ἀφελεστάτων ἢ ἀκεραίων, τῶν μὴ τὰ σαφῆ τῶν θείων γραφῶν γινωσκόντων, τὴν πεῦσιν αὐτοῖς ὑφηγοῦνται ταύτην· Τί ἂν εἴπωμεν, ὦ οὗτοι, ἕνα θεὸν ἔχομεν, ἢ τρεῖς θεούς; Ὅταν δὲ ἀκούσῃ ὁ ἐν εὐλαβείᾳ ὢν, καὶ μὴ τὰ τέλεια τῆς ἀσφαλείας ἐπιστάμενος, εὐθὺς τὸν νοῦν ταραχθεὶς συγκατατίθεται τῇ ἐκείνων πλάνῃ, καὶ εὑρίσκεται ἀρνούμενος τὸν θεὸν, καὶ εὑρίσκεται ἀρνούμενος τὸ εἶναι υἱὸν καὶ τὸ ἅγιον πνεῦμα.

Κεφ. γ'. Ἐν πᾶσι δὲ τούτοις ἐνέπνευσεν ὁ τῶν ἀνθρώπων ἀντίπαλος ἀπ' αἰῶνος, ἵνα τὸν μὲν οὕτως, τὸν δὲ οὕτως, τοὺς πλείους δὲ ὁμοῦ ἀπατήσῃ, καὶ πλανήσῃ ἀνθρώπους ἀπὸ τῆς ὁδοῦ τῆς ἀληθείας. Καὶ ὅτι μὲν ἀληθῶς εἷς ἐστι θεὸς, καὶ οὐκ ἔστιν ἕτερος, σαφῶς ἐν τῇ ἁγίᾳ τοῦ θεοῦ ἐκκλησίᾳ ὡμολόγηται καὶ συμπεφώνηται· ὅτι οὐ πολυθεΐαν εἰςηγούμεθα, ἀλλὰ μοναρχίαν κηρύττομεν. Μοναρχίαν δὲ κηρύττοντες οὐ σφαλλόμεθα, ἀλλὰ ὁμολογοῦμεν τὴν τριάδα, μονάδα ἐν τριάδι, καὶ τριάδα ἐν μονάδι, μίαν θεότητα πατρὸς, καὶ υἱοῦ, καὶ ἁγίου πνεύ-

biculàris figura. Ac vim quidem illam calefaciendi, hoc est calorem atque aestum, spiritui respondere, illuminandi vero vim filio, patrem denique totius hypostasis velut quandam esse formam. Igitur filium affirmant radii in morem emissum omnia, quae ad evangelii et humanae salutis procurationem attinerent, in hoc mundo praestitisse, atque ita in coelum rediisse, quemadmodum is qui a sole manavit radius in eundem postea refunditur. Spiritum porro sanctum in hunc orbem immitti, ac deinceps singillatimque in eos omnes illabi qui eo munere digni sunt; eundemque instaurare vitam et animare fervore, fovere denique ac calefacere, ut ita dicam, vi quadam conseusioneque spiritus. Eiusmodi fere illorum dogmata sunt.

Ceterum omnibus tam veteris quam novi testamenti scripturis utuntur, vel certis potius dictionibus, quas ipsimet pro insana mente sua ac vecordia deligunt. Principio hanc e sacris literis sententiam arripiunt, quam Moysi deus elocutus est: *Audi Israel, dominus deus tuus dominus unus est. Non facies tibi deos alteros. Non erunt tibi dii recentes. Quoniam ego deus primus et novissimus, et praeter me non est deus alius;* et si quae alia sunt ad mentem suam accommodata quibus ad confirmandum errorem abutuntur. Praeterea ex evangelio illud usurpant: *Ego in patre, et pater in me est*, et, *Duo unum sumus.* Hunc autem errorem omnem, eiusque firmamentum ex apocryphis quibusdam hauserunt praesertim ab Aegyptiorum evangelio (hoc enim illi nomen indiderunt), in quo pleraque sunt huius generis quae ex persona salvatoris clam atque occulte velut mysteria proponuntur; quasi discipulis ipse declaret eundem esse patrem, et filium, et spiritum sanctum. Deinde quoties in aliquem ex simplicioribus ac rudioribus inciderint, qui exactam divinarum literarum scientiam non habent, hunc in modum interrogant: Quid tandem, boni viri, dicemus? Unum habemus deum an tres? Quibus auditis religiosus ille, nec perfecta ad cavendum scientia perpolitus, perturbatus illico, eorum assentitur errori ac deum imprudens negat, negat, inquam, filium ac spiritum sanctum.

Cap. II. — Deut. 6, 4. Exod. 20, 3. Isai. 44, 6. — Ioann. 10, 38.

Ceterum hos omnes perpetuus ille humani generis hostis afflavit, ut alium hoc, alium isto modo, utcumque vero quamplurimos circumveniat, atque a via veritatis abducat. Etenim unum esse revera deum, neque praeter hunc alterum, manifeste communis ecclesiae consensio profitetur. Non enim deorum multitudinem invehimus, sed monarchiam praedicamus. In ea autem praedicanda nequaquam aberramus, sed una trinitatem confitemur, unitatem, inquam, in trinitate, et trinitatem in unitate, unamque patris, et filii, ac spi-

Cap. III.

ματος. Οὐ γὰρ ὁ υἱὸς ἑαυτὸν ἐγέννησεν, οὐδὲ ὁ πατὴρ μεταβέβληται ἀπὸ τοῦ πατὴρ, τοῦ εἶναι υἱὸς, οὐδὲ τὸ ἅγιον πνεῦμα Χριστὸν ἑαυτὸν πώποτε ὠνόμασεν, ἀλλὰ πνεῦμα Χριστοῦ, καὶ διὰ Χριστοῦ διδόμενον, ἀπὸ πατρὸς ἐκπορευόμενον, καὶ τοῦ υἱοῦ λαμβάνον. Ἐνυπόστατος ὁ πατὴρ, ἐνυπόστατος ὁ υἱὸς, ἐνυπόστατον τὸ ἅγιον πνεῦμα.
pag. 515. Ἀλλὰ οὐ συναλοιφὴ ἡ τριὰς, ὡς Σαβέλλιος ἐνόμισεν, οὔτε ἠλλοιωμένη τῆς ἰδίας ἀϊδιότητος καὶ δόξης, ὡς ὁ Ἄρειος κενοφωνῶν ἐδογμάτισεν, ἀλλ' ἀεὶ μὲν ἦν τριὰς τριὰς, καὶ οὐδέποτε ἡ τριὰς προσθήκην λαμβάνει, μία οὖσα θεότης, μία κυριότης, μία δοξολογία οὖσα, ἀλλὰ τριὰς ἀριθμουμένη, πατὴρ, καὶ υἱὸς, καὶ ἅγιον πνεῦμα, οὐχ ὡς ἕν τι τρισὶν ὀνόμασι κεκλημένον, ἀλλὰ ἀληθῶς τέλεια τὰ ὀνόματα, τέλειαι αἱ ὑποστάσεις, οὐδὲν παρηλλαγμένον. Πατὴρ δὲ ἀεὶ πατὴρ, καὶ οὐκ ἦν καιρὸς ὅτε οὐκ ἦν ὁ πατὴρ πατὴρ, τέλειος ὢν ἀεὶ πατὴρ ἐνυπόστατος, καὶ υἱὸς ἀεὶ τέλειος ὢν ἀεὶ ἐνυπόστατος, ἐκ πατρὸς ἐν ἀληθείᾳ γεγεννημένος ἀνάρχως καὶ ἀχρόνως καὶ ἀνεκδιηγήτως, οὐ συνάδελφος τῷ πατρὶ, οὐκ ἀρξάμενος τοῦ εἶναι, οὐδὲ διαλιπών ποτε, ἀεὶ δὲ υἱὸς γνήσιος πατρὶ συνυπάρχων, ἐκ πατρὸς ἀχρόνως γεγεννημένος, ἴσως ὢν, θεὸς ἐκ θεοῦ, φῶς ἐκ φωτὸς, θεὸς ἀληθινὸς ἐκ θεοῦ ἀληθινοῦ· γεννηθεὶς, οὐ κτισθεὶς, ἀλλὰ οὐκ αὐτὸς πατὴρ, οὐδὲ ὁ πατὴρ αὐτὸς υἱός· εἰ δὲ θεὸς πατὴρ, καὶ υἱὸς καὶ ἅγιον πνεῦμα.

Κεφ. δ'. Ἀεὶ γὰρ τὸ πνεῦμα σὺν πατρὶ καὶ υἱῷ, οὐ συνάδελφον πατρὶ, οὐ γεννητὸν, οὐ κτιστὸν, οὐκ ἀδελφὸν υἱοῦ, οὐκ ἔγγονον πατρὸς, ἐκ πατρὸς δὲ ἐκπορευόμενον, καὶ τοῦ υἱοῦ λαμβάνον, οὐκ ἀλλότριον πατρὸς καὶ υἱοῦ, ἀλλὰ ἐκ τῆς αὐτῆς οὐσίας, ἐκ τῆς αὐτῆς θεότητος, ἐκ πατρὸς καὶ υἱοῦ, σὺν πατρὶ καὶ υἱῷ, ἐνυπόστατον ἀεὶ πνεῦμα ἅγιον, πνεῦμα θεῖον, πνεῦμα δόξης, πνεῦμα Χριστοῦ, πνεῦμα πατρός. Τὸ γὰρ πνεῦμα τοῦ πατρὸς τὸ λαλοῦν ἐν ὑμῖν· καὶ, Τὸ πνεῦμά μου ἐφέστηκεν ἐν μέσῳ ὑμῶν, τρίτον τῇ ὀνομασίᾳ, ἴσον τῇ θεότητι, οὐκ ἠλλοιωμένον παρὰ πατέρα καὶ υἱὸν σύνδεσμος τριάδος, ἐπισφραγὶς τῆς ὁμολογίας. Ὁ γὰρ υἱός φησιν, Ἐγὼ καὶ ὁ πατὴρ ἕν ἐσμεν, καὶ οὐκ εἶπεν, Εἷς εἰμι, ἀλλὰ τὸ, Ἐγὼ καὶ ὁ πατὴρ, σημαίνει ἐνυπόστατον τὸν πατέρα, καὶ ἐνυπόστατον τὸν υἱόν. Καὶ Οἱ δύο εἶπε, καὶ οὐκ εἶπεν Ὁ εἷς. Καὶ πάλιν, Ἕν ἐσμεν, καὶ οὐκ εἶπεν, Εἷς εἰμι. Ὡσαύτως δὲ, Ἀπελθόντες βαπτίσατε εἰς τὸ ὄνομα τοῦ πατρὸς, καὶ τοῦ υἱοῦ, καὶ τοῦ ἁγίου πνεύματος. Μέσων δὲ τιθεμένων τῶν ἄρθρων τῆς συλλαβῆς τοῦ, τοῦ, καὶ τοῦ, καὶ ἐλέγχει τὸν Σαβέλλιον Ματθαῖος,
pag. 516. τὴν συναλοιφὴν παρεισφέροντα. [1] Ὁμοῦ γὰρ καὶ σημαίνει ἀληθῶς πα-

CAP. IV. — 1. Rescripsi Ὁμοῦ cum Petavio, pro Ὅπου, quod libri retinent.

ritus sancti divinitatem. Nam neque seipsum filius genuit, neque pater, ut esset filius, esse pater desiit, neque spiritus sanctus seipsum unquam Christum appellavit, sed spiritum Christi, ac per Christum communicatum, procedentem a patre, et accipientem a filio. Subsistens est pater, subsistens filius, subsistens spiritus sanctus. Sed non confusio quaedam est trinitas, uti Sabellius credidit, nec ab aeternitate sua gloriaque demutatur, ut Arius vanissime docuit. Sed trinitas perpetuo trinitas fuit, nec ei quicquam accessit, cum una sit divinitas, una dominatio, una praedicanda celebrandaque gloria. Eadem nihilominus trinitas numeratur, pater, filius, et spiritus sanctus; non ut idem atque unum triplici appellatione declaretur, sed perfecta revera nomina sunt, perfectaeque personae, neque quiddam varium inest ac diversum. Pater ipse perpetuo pater extitit, nec ullum unquam tempus fuit quo pater non esset. Semper enim perfectus ille pater est, atque subsistens, ut et perfectus semper filius, semperque subsistens, vere a patre genitus, absque initio tamen ac tempore, eoque modo, quem nulla explicare potest oratio. Non is patris velut germanus frater est, nec esse coepit unquam aut aliquando desiit, sed legitimus perpetuo filius est, existens cum patre, ab eoque sine tempore genitus, aequalis, deus ex deo, lumen de lumine, deus verus de deo vero, genitus non creatus. Neque tamen aut ipse pater est, aut pater ipse filius. Ac si deus pater est, et filius utique erit, et spiritus sanctus.

Semper enim cum patre filioque spiritus est; non patris veluti frater, non genitus aut creatus, non filii frater, non patris nepos, sed a patre procedens, et accipiens a filio, a patre filioque non alienus, verum eadem ex substantia, eademque divinitate, ex patre et filio, et cum patre ac filio subsistens semper spiritus sanctus, divinus spiritus, gloriae spiritus, Christi spiritus, patris spiritus. Nam *spiritus patris qui in vobis loquitur:* et, *Spiritus meus in medio vestri consistit.* Idem porro appellatione tertius, divinitate aequalis est, nihil a patre filioque discrepans, trinitatis nexus, confessionis sigillum. Sic enim filius loquitur: *Ego et pater unum sumus.* Non dixit, *Unus sum,* sed haec verba, *Ego et pater,* suam patri personam convenire, suamque filio significant. Duos itaque nominavit, non unum dixit. Item: *Unum sumus,* non, *Unus sum.* Similiter et illud usurpavit, *Euntes baptizate in nomine patris, et filii, et spiritus sancti.* Ubi dum articulus ille τοῦ ter repetitus et interiectus est, Sabellius, qui tres in unum personas confundit, Matthaei testimonio redarguitur, cum is vere patrem, vereque filium, ac vere spiritum

Cap. IV. Matth. 10, 20. Agg. 2, 6. Ioann. 10, 30. Matth. 28, 19.

τέρα, ἀληθῶς υἱὸν, ἀληθῶς ἅγιον πνεῦμα. Ὁπότε δὲ ὁμόστοιχος ἡ τριὰς, καὶ ἐν ἑνὶ ὀνόματι τριὰς καλουμένη, ἐλέγχει τὸν Ἄρειον, ὑπόβασίν τινα διανοούμενον ἐν τῇ τριάδι, ἢ ἀλλοίωσιν, ἢ παραλλαγήν. Κἄν τε γὰρ ὁ πατὴρ μείζων παρὰ υἱοῦ δογματιζόμενος ἀπαγγέλλεται, πρεπωδεστάτως τῷ υἱῷ τὴν δόξαν περιποιεῖται. Τίνι γὰρ ἔπρεπε δοξάζειν ἴδιον πατέρα, ἀλλὰ τῷ γνησίῳ υἱῷ; Ὅταν δὲ πάλιν τὴν ἰσότητα βούλεται λέγειν, ἵνα μὴ ἐκπέσωσί τινες, ἧσσον ὡς περὶ υἱοῦ διανοούμενοι, οὕτως φησίν· Ὁ μὴ τιμῶν τὸν υἱὸν, ὡς τιμᾷ τὸν πατέρα, οὐκ ἔχει ζωὴν ἐν ἑαυτῷ· καὶ, Πάντα τὰ τοῦ πατρός μου ἐμά ἐστι. Τί δέ ἐστι τὰ τοῦ πατρὸς, ἀλλ' ἢ θεὸς ὁ πατὴρ θεός εἰμι, ζωὴ ὁ πατὴρ ζωή εἰμι, πάντα τὰ τοῦ πατρός μου ἐμά ἐστιν;

Κεφ. ε'. Ὅρα δὲ, ὦ Σαβέλλιε, καὶ κατανόει. Διάνοιξον τὸ ὄμμα τῆς καρδίας σου, καὶ μὴ ἀβλέπτει. Συνελθέτω ἡ διάνοιά σου καὶ τῶν ὑπό σου ἠπατημένων Ἰωάννῃ τῷ ἁγίῳ εἰς τὸν Ἰορδάνην. Ἄνοιγε τὰ ὦτά σου, καὶ ἄκουε τῆς φωνῆς τοῦ προφήτου λέγοντος, Ἐγὼ φωνὴ βοῶντος ἐν τῇ ἐρήμῳ. Ἄκουε τοῦ προδρόμου κυρίου, τοῦ ἀγγέλου καταξιωθέντος ὀνομασθῆναι, τοῦ ἀπὸ κοιλίας μητρὸς λαβόντος πνεῦμα ἅγιον, καὶ σκιρτήσαντος τῇ εἰσόδῳ τῆς Μαρίας, ὃς ἔγνω ἔτι ἐν κοιλίᾳ ὑπάρχων εἴσοδον τοῦ ἰδίου δεσπότου, καὶ ἐσκίρτα, ᾧ ἐδόθη τὸ μήνυμα τοῦ προκηρύγματος, καὶ ἡ ἑτοιμασία τῆς ὁδοῦ τοῦ κυρίου. Πείσθητε αὐτῷ, καὶ οὐ διαπέσοις ἀπὸ τοῦ σκοποῦ τῆς ἀληθείας. Ἰδοὺ γὰρ, αὐτὸς μαρτυρεῖ λέγων, πρῶτον μὲν τὸν δεσπότην ἑαυτοῦ ἐπιγνοὺς, ὅτι, Ἐγώ σοῦ χρείαν ἔχω, καὶ σὺ ἔρχῃ πρός με. Καὶ τοῦ σωτῆρος λέγοντος, Ἄφες ἄρτι, ὅπως πληρωθῇ πᾶσα δικαιοσύνη, καὶ αὐτοῦ βαπτισθέντος ὑπ' αὐτοῦ, ὥς φησι τὸ θεῖον εὐαγγέλιον, ὅτι ἐμαρτύρησεν Ἰωάννης λέγων, Ὅτι ἠνοίχθησαν οἱ οὐρανοὶ, καὶ τεθέαμαι τὸ πνεῦμα τὸ ἅγιον ἐν εἴδει περιστερᾶς κατερχόμενον, καὶ ἐρχόμενον ἐπ' αὐτόν· καὶ φωνὴ ἐκ τοῦ οὐρανοῦ, Οὗτός ἐστιν ὁ υἱός μου ὁ ἀγαπητὸς, ἐφ' ὃν ηὐδόκησα. Ἄνω ἦν ὁ πατὴρ, ὦ φιλόνεικε, ἄνωθεν ἡ φωνὴ ἤρχετο. Εἰ τοίνυν ἄνωθεν ἡ φωνὴ, διάκρινόν μοι τὴν παραπεποιημένην σου διάνοιαν. Τίνι ὁ πατὴρ ἔλεγεν, Οὗτός ἐστιν ὁ υἱός μου ὁ ἀγαπητὸς, ἐφ' ὃν ηὐδόκησα; καὶ τίς ἦν οὗτος; διὰ τί δὲ ἐν εἴδει περιστερᾶς τὸ πνεῦμα κατελήλυθε, καίτοι γε σῶμα μὴ φορέσαν τὸ πνεῦμα τὸ ἅγιον; Ὁ γὰρ μονογενὴς μόνος ἐνεδύσατο, καὶ τελείως ἐνηνθρώπησεν ἀπὸ Μαρίας τῆς ἀειπαρθένου διὰ πνεύματος ἁγίου, οὐκ ἀπὸ σπέρματος ἀνδρὸς, ἀλλὰ ἑαυτῷ ἀναπλασάμενος, ὁ ἀρχιτέχνας λόγος, σῶμα ἀπὸ Μαρίας, καὶ ψυχὴν τὴν ἀνθρωπείαν καὶ νοῦν, καὶ ἔτι ἐστὶν ἄνθρωπος, πάντα τελείως ἀναδεξάμενος καὶ συνενώσας τῇ ἑαυτοῦ θεό-

pag. 517.

sanctum exprimit. Cum autem idem in trinitate personarum ordo constituitur, unoque trinitatis nomine censetur, Arium refellit, qui inferiorem quendam in trinitate gradum ac varietatem mutationemque commentus est. Etenim licet maior a filio pronuntiatus pater ab evangelista narretur, eidem tamen filio consentanee inprimis glo- Ioann. 14, 28. riam attribuit. A quo enim celebrari patrem decebat potius quam ab eo qui legitimus esset filius? Sed rursum ut aequalitatem indicet, ne errandi quibusdam praeberetur occasio, qui inferiorem aliquem gradum filio concederent, hunc in modum loquitur: *Qui non hono-* Ioann. 5, 23. *rificat filium, sicut honorificat patrem, non habet vitam in seipso.* Et: *Omnia quae patris sunt, mea sunt.* Quid est autem illud, *Quae patris sunt*, nisi, quemadmodum deus est pater, ita deus sum, et ut vita est pater, sic ego vita sum, proindeque omnia quae patris mei sunt, mea sunt?

Vide sis igitur, o Sabelli; ac diligenter animadverte, aperi Cap. V. cordis oculos, neque caecus esto, fac ut tua tuorumque mens cum sancto Ioanne ad Iordanem conveniat. Aures tuas aperi, et hanc prophetae vocem exaudi: *Ego vox clamantis in deserto.* Audi prae- Matth. 3, 3. cursorem domini, qui angelus appellari meruit, spiritum sanctum ex utero matris accepit, et Maria intrante subsiliit. Qui cum adhuc Luc. 1, 44. matris utero contineretur, domini sui ingressum agnovit, et exiliit, cui patefaciendae divini verbi praedicationis praeparandaeque domini viae munus est concessum. Adhibe huic fidem, nec a scopo veritatis aberres. Ecce tibi testimonium ille praebet. Inprimis cum dominum suum agnoscens ita loquitur, *Ego te opus habeo, et tu ve-* Matth. 3, 14. *nis ad me.* Deinde cum dixisset, *Sine modo, ut impleatur omnis iustitia*, et ab illo baptizatus esset, divinum refert evangelium Ioannem his verbis testimonium dedisse: *Quoniam aperti sunt coeli, et* Ioann. 1, 32. *vidi spiritum sanctum in specie columbae descendentem, et venientem in ipsum. Et vox de coelo: Hic est filius meus dilectus, in quo mihi* Matth. 3, 17. *complacui.* Erat tum in coelo pater, homo contentiosissime, indidemque vox illa venerat. Itaque si coelo delapsa vox est, falsam illam tuam mentem quaeso discute. Cuinam pater ista dicebat, *Hic est filius meus dilectus, in quo mihi complacuit?* Aut quis iste demum erat? Cur spiritus sanctus effigie columbae lapsus est, cum praesertim corpus haberet nullum? Solus enim id unigenitus induit, perfecteque ex Maria semper virgine per spiritum sanctum naturam hominis assumpsit. Neque vero ex virili eam semine suscepit, sed corpus sibi artifex verbum e Maria finxit, necnon humanam animam ac mentem, proindeque etiamnum homo est, qui propria hominis omnia perfecte in sese transtulit ac cum sua divinitate coniunxit;

τητι, οὐχ ὡς ἐν ἀνθρώπῳ οἰκήσας, μὴ γένοιτο, αὐτὸς δὲ ὁ ἅγιος λόγος, ὁ θεὸς λόγος ἐνηνθρώπησε.

Κεφ. ϛ'. Τὸ δὲ πνεῦμα τίνι τῷ λόγῳ ἐν εἴδει περιστερᾶς φαίνεται; ἀλλὰ ὅπως πείσῃ σε μὴ βλασφημεῖν, ὦ ἐθελόσοφε, καὶ μηδὲν διανοούμενε, ἵνα μὴ νομίσῃς τὸ πνεῦμα συναλοιφὴν εἶναι πατρὶ ἢ υἱῷ. Διὰ τοῦτο καίπερ αὐτοῦ τοῦ πνεύματος τοῦ ἁγίου σῶμα μὴ φορέσαντος, ἐν εἴδει περιστερᾶς σχηματίζεται, ὅπως δείξῃ σου καὶ ἐλέγξῃ σου τὴν πλάνην, ὅτι ἐνυπόστατόν ἐστι τὸ πνεῦμα καθ' ἑαυτὸ, καὶ ἐνυπόστατος ὁ πατὴρ, καὶ ἐνυπόστατος ὁ μονογενὴς, ἀλλ' οὐ διαιρουμένης τῆς θεότητος, οὔτε ὑποβεβηκυίας τῆς ἑαυτῆς δόξης. Καὶ ὁρᾷς πῶς ἡ τριὰς ἀριθμεῖται, [1] πατρὸς ἄνωθεν βοῶντος, υἱοῦ δὲ ἐν Ἰορδάνῃ βαπτιζομένου, πνεύματος δὲ ἁγίου ἐν εἴδει περιστερᾶς ἐπιφοιτῶντος; Λέγε δέ μοι τίς ἐστιν ὁ εἰρηκὼς, Ἰδοὺ, συνήσει ὁ παῖς μου ὁ ἀγαπητὸς ἐφ' ὃν ηὐδόκησα, ὃν ᾑρέτισεν ἡ ψυχή μου· θήσομαι τὸ πνεῦμά μου ἐπ' αὐτὸν, καὶ κρίσιν τοῖς ἔθνεσιν ἀπαγγελεῖ· οὐκ ἐρίσει, οὐδὲ κραυγάσει, οὐδὲ ἀκουσθήσεται ἐν πλατείαις ἡ φωνὴ αὐτοῦ· κάλαμον συντετριμμένον οὐ κατεάξει, καὶ λίνον τυφόμενον οὐ σβέσει, ἕως ἂν ἐκβάλῃ εἰς νῖκος τὴν κρίσιν, καὶ τὰ ἑξῆς; Μὴ δὴ ταῦτα δύναται ἔχειν ἔμφασιν τριάδος, ὦ φιλόνεικε; ἆρα περὶ αὐτοῦ ὁ πατὴρ τὰ τοσαῦτα ἐν τῷ προφήτῃ διεξῆλθε; Τίς δέ ἐστι περὶ οὗ γέγραπται, Εἶπεν ὁ κύριος τῷ κυρίῳ μου, κάθου ἐκ δεξιῶν μου; καὶ οὐκ εἶπεν, Εἴσελθε εἰς ἐμέ; ἢ πάλιν ὡς λέγει τὸ εὐαγγέλιον, Καὶ ἀνῆλθεν εἰς τὸν οὐρανὸν, καὶ ἐκάθισεν ἐν pag. 518. δεξιᾷ τοῦ πατρὸς, καὶ ἔρχεται κρῖναι ζῶντας καὶ νεκρούς; ἢ πάλιν, πῶς οὐκ ἔπεισάν σε οἱ δύο ἄνδρες οἱ ἐν ἐσθήσεσι λευκαῖς πεφηνότες, πρὸς τοὺς μαθητὰς εἰπόντες, Ἄνδρες Γαλιλαῖοι, τί ἑστήκατε εἰς τὸν οὐρανὸν ἀτενίζοντες; οὗτος Ἰησοῦς ὁ ἀφ' ὑμῶν εἰς τὸν οὐρανὸν ἀναληφθεὶς οὕτως ἐλεύσεται ὡς αὐτὸν εἴδετε ἀναλαμβανόμενον; τίνα δὲ ἔβλεπεν ὁ μακάριος Στέφανος, ὅτε ἔλεγεν, Ἰδοὺ, ἐγὼ ὁρῶ τὸν οὐρανὸν ἀνεῳγμένον, καὶ τὸν υἱὸν τοῦ ἀνθρώπου ἑστῶτα ἐκ δεξιῶν τοῦ θεοῦ; Σὺ δὲ, ὦ κατὰ πάντα ἰδιῶτα, μὴ νοήσας τὴν φωνὴν τῶν ἁγίων γραφῶν σεαυτὸν μᾶλλον ἔβλαψας, καὶ τούς σοι ὑπακούσαντας, ἐκπεσὼν τῆς ἁγίας πίστεως τῆς τοῦ θεοῦ ἀληθείας.

Κεφ. ζ'. Ἔφη γὰρ ὡς ἀληθῶς, Ἐγώ εἰμι ὁ πρῶτος, καὶ ἐγώ εἰμι ὁ μετὰ ταῦτα, καὶ πλήν μου οὐκ ἔστιν ἕτερος. Ὡς ἀληθῶς γὰρ οὐκ εἰσὶ πολλοὶ θεοὶ, ἀλλ' εἷς θεὸς ὁ πρῶτος, καὶ ὁ μετὰ ταῦτα, πατὴρ, καὶ υἱὸς, καὶ ἅγιον πνεῦμα, οὐ συναλοιφὴ οὖσα ἡ τριὰς, οὐδὲ διῃρημένη

Cap. VI. — 1. *Vulgo* πατρὸς δὲ ἄνωθεν. *Sed illud* δὲ *iam Petavius notavit.*

non sic tanquam in homine duntaxat habitans (absit ut ita suspicemur), sed sacrosanctum ipsum verbum, deus, inquam, verbum, hominem se fecit.

Iam spiritus sanctus quam tandem ob caussam specie se columbae videndum exhibuit, nisi ut tibi sapientiae opinione inflato, neque quicquam intelligenti, nihil in deum contumeliose iaciendum esse suaderet, ut ne spiritum cum patre filioque confundendum esse crederes? Propterea, licet spiritus sanctus nullo esset corpore praeditus, ad columbae tamen effigiem sese conformavit, quo tuum nimirum et patefaceret, et convinceret errorem, idque ipsum ostenderet, suapte consistere persona spiritum, suapte item persona patrem, ac suapte postremo filium; sic ut non ideo divisa esse divinitas, aut depressum aliquid in eius gloria atque inferius esse putandum sit. Animadvertis, opinor, quemadmodum trinitas ipsa numeretur, cum et pater e coelo clamat, et filius in Iordane tingitur, et spiritus sanctus specie columbae delabitur. Dic sodes, quis est ille qui dixit, *Ecce intelliget filius meus dilectus, in quo mihi complacui, quem elegit anima mea. Ponam spiritum meum super ipsum, et iudicium gentibus nuntiabit. Non contendet, neque clamabit, nec audietur in plateis vox eius. Calamum contritum non confringet, et linum fumigans non extinguet, donec emittat in victoriam iudicium etc.* Numquid illa ad exprimendam trinitatem vim habere tibi, hominum contentiosissime, videntur? An de se tot illa pater apud prophetam disseruit? Age quis est ille de quo scriptum est, *Dixit dominus domino meo, sede a dextris meis?* Non dixit, *In me subiit.* Aut illud rursum, quod in evangelio scriptum est: *Et ascendit in coelum, et sedit ad dexteram patris, et venturus est iudicare vivos et mortuos?* Praeterea cur non duorum illorum virorum tibi persuadet auctoritas, qui in vestibus albis apparentes ita discipulos allocuti sunt: *Viri Galilaei, quid statis aspicientes in coelum? Hic Iesus qui assumptus est a vobis in coelum, sic veniet quemadmodum illum vidistis assumptum?* Quemnam vero beatus Stephanus intuebatur, cum diceret, *Ecce ego video coelum apertum, et filium hominis stantem a dextris dei?* Tu vero rudis in omnibus atque imperite, nec quid sacrae literae loquantur intelligens, tibimetipsi ac tuis auscultatoribus magis fraudi fuisti, dum a sacro sancta divinae veritatis fide longius excidisti.

Cap. VI. — Isai. 42, 1. — Ps. 109, 1. — Marc. 16, 19. — Act. 1, 11. — Act. 7, 55.

Etenim reipsa quidem hoc ille dixit, *Ego sum primus, et ego posterior, et praeter me non est alius.* Nimirum plures dii nequaquam existunt, sed unus duntaxat primus ac posterior, pater, filius, et spiritus sanctus; non ut confusio quaedam trinitas illa sit, aut ab

Cap. VII. Isai. 44, 6.

τῆς ἑαυτῆς ταυτότητος, ἀλλὰ πατὴρ ἀληθῶς γεννήσας υἱὸν, καὶ υἱὸς ἀληθῶς γεννηθεὶς ἐκ πατρὸς ἐνυπόστατος ἀνάρχως καὶ ἀχρόνως, καὶ πνεῦμα ἅγιον ἀληθῶς ἐκ πατρὸς καὶ υἱοῦ, τῆς αὐτῆς θεότητος, ἐκ πατρὸς ἐκπορευόμενον, καὶ τοῦ υἱοῦ λαμβάνον ἀεὶ, εἷς θεὸς ὁ πρῶτος, καὶ ὁ μετὰ ταῦτα. Ἄλλης δὲ πάλιν ἕνεκα οἰκονομίας, καὶ ἀπὸ προσώπου δὲ αὐτοῦ τοῦ Χριστοῦ, ᾄδεται οὕτως, [1] πάλαι ἐπειδὴ πολλάκις ὁ κύριος ἡμῶν Ἰησοῦς Χριστὸς πέφηνε τοῖς προφήταις, καὶ κατήγγειλε τὴν ἑαυτοῦ παρουσίαν ἔσεσθαι, τινὲς δὲ αὐτὸν οὐκ ἐδέξαντο, προσδοκῶντες ἕτερον ἀντ' αὐτοῦ. Καὶ πρὸς μὲν τοὺς δεισιδαίμονας τῶν εἰδώλων καὶ πολυθεΐαν τῷ κόσμῳ εἰςαγηοχότας, ἵνα μὴ ἐκπλαγέντες οἱ υἱοὶ Ἰσραὴλ καὶ [2] ἐκτραπέντες τὰ εἴδωλα τῶν Ἀμορραίων, καὶ Χετταίων, καὶ Χαναναίων, καὶ Φερεζαίων, καὶ Εὐαίων, καὶ Γεργεσαίων, καὶ Ἰεβουσαίων, καὶ Ἀρουκαίων, καὶ Ἀσσανναίων προςκυνήσωσιν, ὡς καὶ αὐτοῖς προεφητεύετο — προςεκύνησαν γὰρ τῷ Βεελφεγὼρ, καὶ τῷ Χαμῶς, καὶ τῇ Ἀστάρτῃ, καὶ τοῖς Μαζουρὼθ, καὶ τοῖς Νεασθῶ, καὶ τῷ Βεελζεβὰθ, καὶ τοῖς λοιποῖς εἰδώλοις τῶν ἐθνῶν, — διὸ καὶ ἔλεγεν αὐτὸς ὁ κύριος, Ἐγώ εἰμι ὁ ὢν, ἐγὼ ὁ πρῶτος, καὶ ὁ
pag. 519. μετὰ ταῦτα· ἵνα αὐτοὺς ἀποστρέψῃ τῆς τῶν ἐθνομύθων πλάνης, τῶν προςκυνούντων τὴν πολυθεΐαν. Καὶ ἐπειδὴ ἔμελλον τὴν παρουσίαν αὐτοῦ τοῦ υἱοῦ ἀπωθεῖσθαι τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, ἔφη πρὸς τοὺς Ἰουδαίους, Ἐγώ εἰμι ὁ πρῶτος, καὶ ὁ μετὰ ταῦτα, ὁ πρῶτος ἐν σαρκὶ ἐπιδημήσας, καὶ ὁ μετὰ ταῦτα ἐρχόμενος κρῖναι ζῶντας καὶ νεκροὺς, ἐπὶ τῷ σταυρῷ πεπονθὼς, καὶ ταφεὶς, καὶ ἀναστὰς, ἐν δόξῃ μὲν ἐν αὐτῷ τῷ σώματι ἀναληφθεὶς, εἰς δόξαν δὲ τῆς αὐτοῦ θεότητος, ἑνωθέντος καὶ φαιδρυνθέντος καὶ μηκέτι ὑπὸ ἁφὴν ἐμπίπτοντος, νυνὶ μηκέτι θανάτου μετέχοντος. Ἀνέστη γὰρ, ὥς φησιν ἡ γραφὴ, ὁ Χριστός· θάνατος αὐτοῦ οὐκέτι κυριεύσει, φησὶν ὁ ἀπόστολος. Καὶ ὅρα πῶς ἡ ἀκρίβεια κυριεύει καὶ ὁδηγεῖ τὸν ἄνθρωπον, ἵνα μὴ ἐκπέσῃ κατὰ θατέρων τῶν τῆς ἀληθείας μερῶν, ἵνα, ὅταν μὲν βουληθείη ὁ νοῦς πολυθεΐαν ἐξεργάσασθαι, ἀκούσῃ ὅτι, Κύριος ὁ θεός σου εἷς ἐστιν, ὅταν δὲ Χριστὸν ἕτερον παρὰ τὸν ἐλθόντα υἱοὶ Ἰσραὴλ προςδοκήσωσιν, ἀκούσωσιν, Ἐγὼ ὁ πρῶτος, καὶ ὁ μετὰ ταῦτα, καὶ, Ἐγώ εἰμι τὸ ἄλφα καὶ τὸ ω̅, τὸ ἄλφα, τὸ κάτω βλέπον, καὶ τὸ ω̅, τὸ ἄνω βλέπον· ἵνα πληρωθῇ τὸ εἰρημένον, Ὁ καταβὰς αὐτός ἐστιν ὁ ἀναβὰς, ὑπεράνω πάσης ἀρχῆς καὶ ἐξουσίας καὶ κυριότητος, καὶ παντὸς ὀνόματος ὀνομαζομένου, καὶ ἵνα, ὅταν νομίσῃς διὰ τὸ εἰρηκέναι, Ἐγώ εἰμι ὁ πρῶτος, καὶ ὁ μετὰ ταῦτα, καὶ, Ἐγώ εἰμι τὸ ἄλφα, καὶ ἐγώ εἰμι τὸ ω̅, καὶ, Κύριος ὁ θεός σου εἷς ἐστι, καὶ ὅτι, Ἐγώ εἰμι

Cap. VII. — 1. πάλαι *rescripsi pro* πάλιν, *quod vulgo extat.*
2. ἐντραπέντες *scripturam ex codice ms. nescio quo annotatum invenio in margine exempli Schottiani. Nec improbo hanc scripturam.*

unitate sua discreta, sed pater vere filium genuit, et filius vere a patre genitus, in persona sua subsistens, initio omnis expers ac temporis. Item spiritus sanctus a patre, et filio, et eadem divinitate praeditus *a patre procedit, et a filio semper accipit*, unus deus Ioann. 6, 14. primus ac posterior. Porro alterius cuiusdam negotii administrandi gratia, atque ex ipsiusmet Christi persona ad eum modum canitur. Cum autem Iesus Christus dominus noster saepenumero prophetis apparuerit, et adventum suum nuntiaverit, ac nonnulli minime illum receperint, qui alterum loco ipsius expectarent, idcirco ad eos qui simulacrorum superstitionibus implicati erant, ac deorum multitudinem in orbem terrarum invexerant, ne attoniti et aberrantes Israelitae Amorrhaeorum, Chettaeorum, Chananaeorum, Phereseorum, Evaeorum, Gergeseorum, Iebusaeorum, Arucaeorum, Assennaeorum simulacra colerent, quemadmodum praedictum illis fuerat, quippe et Beelphegor adorarunt, et Chamos, et Astartem, et Mazuroth, et Neaste, et Beelzebuth, ceteraque simulacra gentium, propterea dominus ita locutus est: *Ego sum qui sum: ego sum primus et posterior.* Quo illos a confictis gentilium fabulis revocaret, quae deorum multitudinem venerantur. Quod autem eundem filium dominum nostrum Iesum Christum venientem repudiaturi forent, haec ad Iudaeos verba fecit: *Ego sum primus et novissimus.* Primus scilicet, qui hac carne praeditus advenit, et novissime venturus iudicare vivos et mortuos. Qui quidem in cruce passus ac sepultus, atque excitatus a mortuis, cum eodem corpore in coelum est gloriose subvectus, et ad suae divinitatis gloriam coaptatus, ac novo splendore collustratus, ut neque contrectetur amplius, neque mortem possit sustinere. *Surrexit enim*, ait scriptura, *Christus; mors illi* Rom. 6, 9. *ultra non dominabitur,* inquit apostolus. Ac vide quam exacta scripturae ratio constet, tutoque deducat hominem, ne in alterutrum a veritate partem excidat; ut cum illius mens plures sibi deos effingere voluerit, statim illud audiat: *Dominus deus tuus unus est.* Cum Deut. 6, 4. autem alterum Christum, praeter eum qui iam advenit, posteri Israelis expectaverint, audiant vicissim, *Ego primus, et ego novis-* Apoc. 1, 8. *simus:* et, *Ego sum A et Ω*, *A* videlicet, quod deorsum respicit, et *Ω*, quod sursum obvertitur. Ut et illud impleatur: *Qui descen-* Eph. 4, 10. Eph. 1, 21. *dit, ipse est qui ascendit: supra omnem principatum et potestatem et dominationem, et nomen omne quod nominatur.* Ac ne aliud forte suspiceris, et pro eo quod dictum est, *Ego sum primus et ego no-* Isai. 44, 6. Apoc. 1, 8. *vissimus:* et, *Ego sum A et Ω:* et, *Dominus deus tuus unus est:* Deut. 6, 4. Exod. 3, 14.

ὁ ὤν, ἵνα μή τις ἀρνήσηται τὸν υἱὸν καὶ τὸ ἅγιον πνεῦμα, διὰ τοῦτό φησιν, Ὁ πατήρ μου μείζων μού ἐστι, καὶ ἵνα γινώσκωσί σε τὸν μόνον ἀληθινὸν Θεὸν, καὶ ὃν ἀπέστειλας Ἰησοῦν Χριστόν· οὐχ ὅτι οὐκ ἔστιν ὁ υἱὸς ἀληθινὸς Θεὸς, ἀλλ' ἵνα εἰς μίαν ἑνότητα ἀγάγῃ τὴν τριάδος ὀνομασίαν, καὶ ἐκκλείσῃ τὴν διάνοιαν τῶν ἀνθρώπων ἀπὸ πολυθεΐας εἰς μίαν θεότητα.

Κεφ. η'. Ἐὰν δὲ νομίσῃ ὁ πλανηθεὶς τὴν διάνοιαν τὸν ἕνα μόνον λέγεσθαι ἀληθινὸν Θεὸν, τουτέστι τὸν πατέρα, τὸν δὲ υἱὸν μὲν ὄντα, οὐκ ἀληθινὸν δὲ, πάλιν ἑτέρως τὸν τοιοῦτον ἐλέγχει, λέγων, Ἐγώ εἰμι τὸ φῶς τὸ ἀληθινὸν, ὃ φωτίζει πάντα ἄνθρωπον ἐρχόμενον εἰς τὸν κόσμον· περὶ δὲ τοῦ πατρὸς, ὅτι, Φῶς ὁ Θεὸς, καὶ οὐκ εἶπε, Φῶς ἀληθινὸν, ἵνα ἐκ τοῦ, [1] Θεὸν ἀληθινὸν, καὶ, Φῶς ἀληθινὸν, τὴν ἴσην θεότητα pag. 520. πατρὸς πρὸς υἱὸν, καὶ υἱοῦ πρὸς πατέρα νοήσωμεν, καὶ ἀπὸ τοῦ τὸν πατέρα φῶς εἶναι καὶ τὸν υἱὸν εἶναι, μὴ ἐπικεῖσθαι δὲ ἐνταῦθα Ἀληθινόν. Οὐ γὰρ ἦν χρεία εἰπεῖν, μηδεμιᾶς ἀμφιβολίας οὔσης. Ἀπὸ γὰρ τοῦ Θεὸς καὶ φῶς ἡ μία τελειότης τῆς αὐτῆς γνησιότητος, πατρὸς πρὸς τὸν υἱὸν, καὶ υἱοῦ πρὸς τὸν πατέρα, σαφῶς ἀπεφάνθη, καὶ διαλέλυταί σου ἡ πᾶσα τῆς πλάνης φρενοβλάβεια. Ἔστι γὰρ ὁ πατὴρ πατὴρ, ἔστιν ὁ υἱὸς υἱὸς, ἔστι τὸ ἅγιον πνεῦμα ἅγιον πνεῦμα, τριὰς οὖσα, μία θεότης, μία δοξολογία, μία κυριότης, ᾧ δόξα, τιμὴ, κράτος, πατρὶ ἐν υἱῷ, υἱῷ ἐν πατρὶ, σὺν ἁγίῳ πνεύματι, εἰς αἰῶνας αἰώνων, ἀμήν.

Ταύτην δὲ πάλιν τὴν αἵρεσιν ὡςπερεὶ λύβην, ἢ μόλουρον, ἢ ἔλοπα, ἢ ἕν τι τῶν ἑρπετῶν τῶν φοβερωτάτων, οὐ μὴν δὲ δυναμένων διὰ δηγμάτων βλάπτειν, ἀποσεισάμενοι καὶ δυνάμει τῆς ἁγίας τριάδος καταπεπατηκότες, ἐπὶ τὰς ἑξῆς προβαίνοντες, αὐτὸν ἐπικαλεσώμεθα ἀρωγὸν τῆς ἡμετέρας πενίας τε καὶ βραχύτητος, εἰς τὸ ἀξίως τὰ παρ' ἑκάστῃ λεγόμενά τε καὶ γινόμενα καὶ τὴν τούτων ἀντίρρησιν ποιήσασθαι βοηθῆναι.

ΚΑΤΑ ΩΡΙΓΕΝΙΑΝΩΝ
τῶν πρώτων, τῶν καὶ Αἰσχρῶν, τεσσαρακοστὴ τρίτη, ἡ καὶ ἑξηκοστὴ τρίτη.

Κεφ. α'. Ὠριγένιοι καλοῦνταί τινες, οὐ [1] πάντῃ δὲ τοῦτο τὸ γένος ὑπάρχει· καθεξῆς δὲ οἶμαι τούτων τῶν αἱρέσεων καὶ αὕτη ἡ δηλουμένη. Καλοῦνται δὲ Ὠριγένιοι· οὐ πάνυ δὲ σαφῶς ἴσμεν τίνος ἕνεκα, ἢ ἀπὸ Ὠριγένους τοῦ Ἀδαμαντίου, καλουμένου τοῦ Συντάκτου, ἢ ἄλλου τινὸς εἶναι, ἀγνοῶ. Ὅμως τοῦτο τὸ ὄνομα κατειλήφαμεν. Ἡ αἵρεσις

Cap. VIII. — 1. Θεὸν *scripsi pro* Θεοῦ, *quod vulgo reperitur.*

et, *Ego sum qui sum:* ne quis filium ac spiritum sanctum abneget, ob id, *Pater,* inquit, *meus maior me est:* et, *Ut cognoscant te solum* Ioann. 14, 28. Ioann. 17, 3. *verum deum, et quem misisti Iesum Christum.* Non quod filius verus deus minime sit, sed ut eandem in unitatem trinitatis nomen coniiciat, et a deorum multitudine ad unam divinitatem hominum animos convertat.

Quod si errore lapsus aliquis existimet, unum solum dici ve- Cap. VIII. rum deum, nimirum patrem; filium vero esse quidem, non tamen verum, alia hunc ratione convincit, dum ita loquitur: *Ego sum lux* Ioann. 8, 12. et 1, 9. *vera, quae illuminat omnem hominem venientem in hunc mundum.* De patre vero ita loquitur: *Deus lux est.* Nec dixit, *Lux vera;* ut ex eo quod et *Deum verum,* et *Veram lucem* appellavit, tam patris divinitatem filio, quam filii patri aequalem intelligeremus. Atque ex eo quod et pater lux, et deus appellatur filius, neque hic Veri nomen adiectum sit, quod quidem necesse non erat, eo quod nulla foret de ea re dubitatio. His enim vocibus, *Dei* ac *Lucis,* perfecta eademque germanitas, ut ita dicam, patris cum filio, et filii cum patre, perspicue declaratur. Sicque omnis tuae falsitatis insania refellitur. Pater siquidem pater est, et filius filius, et spiritus sanctus spiritus sanctus, eaque ipsa trinitas, deitas una, una gloria, unaque dominatio. Cui gloria, honor, imperium, patri in filio, filio in patre, cum sancto spiritu in secula seculorum, Amen.

Sed postquam haeresin istam velut lyben, aut molurum, sive elopem, aut aliud quoddam atrocissimum serpentis genus, quod tamen nihil nos morsibus suis laedere potuit, discussimus, ac sanctae trinitatis ope ac virtute protrivimus, ad reliquas oratione promota, eundem prius inopiae nostrae ac tenuitatis adiutorem deum invocemus, cuius praesidio freti quae ab unaquaque haeresi dicuntur aut fiunt simul cum eorum confutatione proponere possimus.

ADVERSUS ORIGENIANOS
priores, qui et Foedi nominantur, quae est haeresis XLIII., sive LXIII.

Nonnulli sunt, quos Origenios appellant, quae hominum secta Cap. I. non usquequaque diffunditur, proximo tamen loco post superiores illas haec haeresis occurrit. Sed quanam de caussa Origenii vocentur, nondum plane comperi; utrumnam ab Origene Adamantio, qui cognomento Syntactes, hoc est Lucubrator, est dictus, an ab aliquo altero, quod, ut dixi, penitus ignoro, nec aliud praeter ipsum

Cap. I. — 1. *Vulgo* πάντι.

δὲ παρ' αὐτοῖς νομιστεύεται, ὥςπερ ἀπεικαζομένη τῇ τοῦ Ἐπιφάνους, ἄνω μοι προδεδηλωμένου ἐν ταῖς κατὰ τοὺς Γνωστικοὺς αἱρέσεσι. Γραφὰς δὲ οὗτοι ἀναγινώσκουσι διαφόρους καινῆς καὶ παλαιᾶς διαθήκης. Ἀθετοῦσι δὲ γάμον, καὶ οὐ παύεται ἀπ' αὐτῶν ἡ λαγνεία. Μολύνουσι δὲ ἑαυτῶν τὸ σῶμα καὶ τὸν νοῦν καὶ τὴν ψυχὴν ἐν ἀσελγείᾳ. Οἱ μὲν
pag. 521. γάρ εἰσι προσχήματι μοναζόντων, αἱ δὲ σὺν αὐτοῖς οὖσαι προσχήματι μοναζουσῶν. Πεφθαρμένοι δέ εἰσι τοῖς σώμασι, τὴν μὲν ἐπιθυμίαν αὐτῶν ἐκτελοῦντες, τῷ δὲ ἔργῳ κεχρημένοι, ἵνα σεμνότερον εἴπω, τοῦ υἱοῦ τοῦ Ἰούδα τοῦ Αὐνᾶν καλουμένου. Ὡς γὰρ ἐκεῖνος τῷ σώματι μὲν τῇ Θάμαρ συνήπτετο καὶ τὴν ἐπιθυμίαν ἐξετέλει, εἰς καταβολὴν δὲ παιδοποιΐας κατὰ τὴν ὑπὸ θεοῦ δοθεῖσαν παιδοποιΐαν οὐκ ἐτελεσιούργει, ἀλλὰ ἑαυτὸν ἠδίκει ᾧ τρόπῳ τὸ πονηρὸν εἰργάζετο, οὕτω καὶ οὗτοι κέχρηνται μὲν ταῖς [2] νομιζομέναις τελοῦντες ταύτην τὴν ἀθέμιτον ἐργασίαν. Πεφιλοτίμηται γὰρ παρ' αὐτοῖς οὐχ ἡ ἁγνεία, ἀλλ' ὑποκριτικὴ μὲν ἁγνεία τῷ ὀνόματι καλουμένη, φιλοτίμησις δὲ ἕως τοῦ μὴ ἐγκυμονῆσαι [3] τὴν ὑπὸ τοῦ δοκοῦντος πεφθάρθαι γυναῖκα, [4] ἢ κατὰ τὸ μὴ παραστῆσαι τεκνογονίαν ἐν τῷ κόσμῳ, ἢ ἵνα μὴ φωραθῶσιν ὑπὸ ἀνθρώπων, βουλόμενοι ἐν τιμῇ εἶναι διὰ τὴν νομιζομένην παρ' αὐτοῖς τῆς ἁγνείας ἄσκησιν. Ὅμως τοῦτο αὐτῶν ἐστι τὸ ἔργον. Ἕτεροι δὲ αὐτὸ τοῦτο φιλοτιμοῦνται τὸ μυσαρὸν ἐπιτελεῖν, οὐχὶ διὰ γυναικῶν, ἀλλὰ καὶ ἄλλοις τρόποις, ἰδίαις χερσὶ μολυνόμενοι, καὶ ὡςαύτως μιμοῦνται τὸν προειρημένον υἱὸν τοῦ Ἰούδα, τὴν γῆν ταῖς ἀθεμίτοις αὐτῶν ἐργασίαις καὶ μυσαραῖς σταγόσιν ἐπιμολύνοντες καὶ ποσὶν [5] ἑαυτῶν φύσεις ἀνατρίβοντες ἐν τῇ γῇ, ἵνα μὴ ἁρπαγῶσι τὰ ἑαυτῶν σπέρματα ὑπὸ ἀκαθάρτων πνευμάτων εἰς ὑποδοχὴν ἐγκυμονήσεως.

Κεφ. β'. Κέχρηνται δὲ, ὡς ἔφην, διαφόροις γραφαῖς, καὶ καινῆς διαθήκης, καὶ ἀποκρύφοις τισὶ, μάλιστα ταῖς λεγομέναις Πράξεσιν Ἀνδρέου καὶ τῶν ἄλλων. Ἤδη δὲ κἀκεῖνοι αὐτοὶ ἐκαυχήσαντο πολλάκις, ὡς πεπαρρησιασμένως τοῦτο ἐπιτελεῖν. Κατηγοροῦσι δὲ δῆθεν τῶν ἐν τῇ ἐκκλησίᾳ τὰς Ἀγαπητὰς λεγομένας [1] συνεισάκτους γυναῖκας κεκτημένων, ὡς καὶ αὐτῶν τοῦτο ἐπιτελούντων κρυφῇ διὰ τὴν τῶν ἀνθρώπων αἰδῶ, ἵνα μὲν τῇ πονηρίᾳ συνθάπτωνται, τῷ δὲ προσχήματι τῶν ἀνθρώπων ἕνεκα τὸ ὄνομα σεμνύνωνται. Διελέχθησαν δὲ ἡμῖν καί τινες περί τινων τελευτησάντων, καὶ δῆθεν ὥς τινων τοῦτο ἐπιτελούντων, ὡς ὑπὸ τῶν βεβιασμένων ὑπ' αὐτῶν γυναικῶν ἀκηκοότες, ἐν οἷς καὶ

2. *Intellege* γυναιξί. *Cornarius vertit:* sic etiam hi usi sunt quidem consueta Venere hanc nefandam operationem perficientes.

3. τὴν οὐ δοκοῦσαν ἐφθάρθαι *volebat Petavius*, quod improbum est. *Cornarius:* Studium autem eo vergit, ut mulier non concipiat ab eo qui ipsam corrupisse sibi videtur. *Pro* ἕως *fortasse reponendum est* ὡς.

nomen accepi. Horum vero haeresis ad Epiphanis dogma conformata videtur, de quo in Gnosticorum secta sermonem antea fecimus. Iidem diversos ex vetere novoque testamento libros adsciscunt. Nuptias repudiant, neque tamen obscenis libidinibus modum ullum adhibent, adeoque omni genere spurcitiae et corpus suum et mentem animamque contaminant. Quidam enim ex iis monasticam vitam specie ipsa profitentur, itidemque mulieres idem vitae institutum praeferunt. Qui omnes corruptis sunt corporibus, adeo ut cum libidinem ipsi suam expleant, facinus, ut honestius dicam, illud perpetrent quod Iudae filius Onas admisisse legitur. Nam ut Iste cum Gen. 38, 9.
Thamare coibat ac libidini suae satisfaciebat, neque quicquam tamen ad propagationem sobolis, cuiusmodi hominibus e deo concessa est, efficiebat, imo vero sibi eo ipso modo, quo flagitium illud patrabat, consciscebat iniuriam: sic Origeniani in detestanda illa sua libidine committenda usitatam Venerem persequi solent. Non enim illi castitatem, sed castitatis simulationem, cui falso nomen illud tribuitur, prae se ferunt. Quae id affectat, ut, quae constuprata sit mulier, praegnans non fiat, aut ne fetus aliquid pariat, neve id homines resciscant; apud quos suo illo castimoniae, ut putant, instituto in pretio atque existimatione esse cupiunt. Atque hoc nihilominus opus illorum est ac facinus. Sed alii turpem illam flagitiosamque rem alia ratione quam cum mulieribus exercent, ac suis ipsi manibus ad foeditatem abutuntur. Nec minus isti Iudae, quem diximus, imitantur filium, dum nefariis suis sceleribus, et abominandi humoris destillatione terram commaculant, imo vero profluvium illud suum in solo pedibus exterunt, ne surreptum ab impuris spiritibus ad ullam fetus procreationem possit excipi.

Ceterum varios, uti dixi, tam veteris quam novi testamenti Cap. II.
libros adhibent, nec non et apocryphos quosdam, velut Andreae, et aliorum Actus. Iidem et de incesta illa sua Venere palam etiam gloriari non dubitant, et eam audacter ac sine ullo pudore perpetrant. Interim vero catholicos illos clericos accusant, qui Dilectas, quas vocant, et Contubernales feminas adsciscunt; quos asserunt clanculum istud ipsum propter hominum pudorem committere, ut et cum nequitia illa sepeliantur, et specie tenus, ob aliorum verecundiam, castitatis nomine glorientur. Ac nonnulli ex iis certos homines, qui iam vita functi sunt, ad me detulerunt a quibus commissum hoc flagitii genus affirmarent, idque se ab ipsis quas illi com-

4. *Verba* ἢ κατὰ --- ἐν τῷ κόσμῳ *non comparent in edit. Petavii.*

5. *Libri vulgo* ἑαυτῶν ῥύσεις ἑαυτῶν ἀνατρίβοντες *cett.*

Cap. II. — 1. *De syneisactis mulieribus v. Suicerum in Thesauro s. v., et quos citat Olearius in Philostrat. p.* 446.

ὄνομα ἐπισκόπου εἰς μέσον ἔφερον, ἐν πόλει μικρᾷ τῆς Παλαιστίνης τὸν τοῦ ἐπισκόπου κλῆρον ἐπὶ ἱκανοῖς ἔτεσι διοικήσαντος, ἐσχηκότος δὲ τοιαύτας γυναῖκας ἐξυπηρετουμένας αὐτῷ, φημὶ δὲ συνεισάκτους. Ἀλλὰ καὶ ἐξ ὁμολογητῶν τὸν τοιοῦτον ὄντα οἴδαμεν. Ὅμως τοῖς
pag. 522. εἰρηκόσι τοῦτο, καὶ ἀπὸ τῶν γυναικῶν ἀκηκοέναι φάσκουσιν, οὐ πεπιστεύκαμεν. Ἡ γὰρ ἀνάγκη τῆς τῶν εἰρηκότων κακοτροπίας ὑπέβαλλεν ἡμῖν ποτὲ μὲν πιστεύειν, ποτὲ δὲ μὴ πιστεύειν, ἐπὶ τὴν τοῦ προειρημένου γέροντος ἐπισκόπου μετὰ τὴν αὐτοῦ τελευτὴν κακοφημίαν. Ἡ γὰρ αἰτία ἡ εἰς αὐτὸν φθάσασα τοιαύτη τις γέγονεν. Ἑάλω τις τοιοῦτος ἐπὶ ἁμαρτίᾳ γυναικὸς, καὶ ὡς ἠλέγχετο ὑφ' ἡμῶν, ἀπολογίαν ταύτην ἔφερεν, ὡς τῆς συμφθαρείσης αὐτῷ γυναικὸς, καίτοι γε ἤδη πεπαλαιωμένης τὸν χρόνον καὶ ἐν ἡλικίᾳ γηραλέᾳ ὑπαρχούσης, εἰπούσης αὐτῷ τὴν τῆς κακοπραγίας ἐργασίαν, ὡς χρῆσθαι μὲν αὐτὸν ἐδίδασκεν, ἔξωθεν δὲ τὰς μυσαρὰς αὐτοῦ ῥυὰς ἐπὶ γῆς διασκεδάζειν.

Κεφ. γ'. Καὶ αὕτη μὲν ἡ τούτων μυσαρά ἐστιν ἐργασία, τὸν νοῦν αὐτῶν ἀπατῶσα, καὶ ἐκ διαβόλου τετυφλωμένη. Ὧν τὰς μαρτυρίας, δι' ὧν πίπτουσιν, εἰς μέσον φέρειν οὐκ ἀναγκαῖον ἥγημαι, ἵνα μὴ δόξωμεν δι' ὧν βουλόμεθα ἀκριβολογεῖν εἰς ἀποτροπὴν τῆς ἀθεμίτου ἀσελγείας ἑκάστης αἱρέσεως, μᾶλλον προτρέπεσθαι τῶν ἀστηρίκτων καὶ χαυνουμένων ἀεὶ τὴν διάνοιαν, τῶν τὸ πονηρὸν ἑαυτοῖς θηρᾶσθαι ὑπὲρ τὴν ἀγαθότητα ἐπιθυμούντων. Εἰς ἔλεγχον δὲ μᾶλλον τῆς δεινῆς ταύτης καὶ ἑρπετώδους αἱρέσεως ὀλίγα ἀπὸ πολλῶν παραθήσομαι.

Πόθεν εἰλήφατε, ὦ οὗτοι, τὴν τῆς ἀθεμίτου ἐργασίας ἐπίνοιαν; Πρῶτον μὲν γὰρ, ὅτι τὸ πᾶν, τίνι οὐ δῆλόν ἐστιν ὅτι δαιμόνων ἐστὶν ἡ ὑμετέρα διδασκαλία, ἠπατημένων δὲ τὸν νοῦν, καὶ πεφθαρμένων ἡ ἐπινενοημένη κακομηχανία; Εἰ γὰρ ὅλως πονηρὸν τὸ κυΐσκειν, οὐκ ἄρα διὰ τὸ τεκνογονεῖν, ἀλλὰ διὰ τὸ συνάπτεσθαι σώματι. Πῶς οὖν ἡττημένοι ἡδονῇ συνάπτεσθε σώματι; Καὶ εἰ οὐ πονηρὸν τὸ συναφθῆναι σώματι, οὐδὲ πονηρὸν τὸ τελεσιουργεῖν τὸ γεγεννημένον. Ἢ γὰρ [1] ἀποταξάμενος ἄνθρωπος μὴ γεωργεῖ τὰ ἐπὶ τῆς γῆς, ὡς ὁ Ἄβελ ἦν ποιμὴν προβάτων, Κάϊν δὲ ἐργαζόμενος τὴν γῆν· εἰ δὲ γεωργεῖ
pag. 523. τις τὴν γῆν, ὡς ὁ Νῶε, ὅτι ἐγένετο ἀνὴρ γεωργὸς, καὶ ἐφύτευσεν ἀμπελῶνα, οὐκ ἐφύτευσεν ἀμπελῶνα, [2] οὐκ ἐφύτευσεν, ἵνα βότρυν

CAP. III. — 1. *Ita correxi. Libri habent* ἀποταξάμενον ἄνθρωπον μὴ γεωργεῖν, *unde Cornarius et Petavius* δεῖ *excidisse suspicati sunt. Vertit ille:* Aut enim renuntiare oportet hominem ut terram ne colat, velut Abel erat pastor ovium *cett.*

presserant mulierculis accepisse. Inter quos quendam episcopum nominabant, qui in exiguo Palaestinae oppido multis annis ecclesiae praefuit, et contubernales istiusmodi feminas ad domesticum ministerium habuit, quem nos etiam ex confessorum numero fuisse scimus. Sed iis qui de eo istud affirmarent, et de mulierculis ipsis cognovisse dicerent, fidem nullam adhibendam putavimus. Nam eorum, qui id iactabant, improbitas necessitatem quandam attulit, ut aliquando crederemus, aliquando minime crederemus, quae ad senis illius infamiam episcopi post eius obitum referrent. Porro crimen illud, cuius insimulabatur, eiusmodi fuit. Cum ex ea factione ac grege quidam facinoris istius convictus a nobis redargueretur, hoc ad purgandum sese in medium attulit, ab ea quam constupraverat femina, quamquam effoeta iam et anus erat, foedissimae illius libidinis rationem didicisse, ab eaque uti concubitu sic edoctum, ut detestandi humoris profluvium in terram spargeret.

Atque hoc quidem turpissimum et execrandum est illorum scelus, quod et ipsorum decepit animos, et a diabolica caecitate proficiscitur. Quibusnam vero auctoritatibus testimoniisque freti ad illa delapsi sint, in medium afferre non putavi necessarium, ne dum ad cuiusque haeresis flagitiosam libidinem aversandam accuratius singula persequimur, imbecilliorum ac levitate quadam elatorum hominum animos ad ea magis incitare videamur, qui quidem malum prae bono sibi consciscere ac captare consuerunt. Verum ad uberiorem horrendae illius ac serpentiuae haeresis confutationem pauca de multis attexam. Cap. III.

Unde igitur, quaeso, tam nefarium scelus excogitare didicistis? Primum enim, ut universe dicam, quis non videt, cum daemonum propriam vestram hanc esse doctrinam, tum illud tantum tamque atrox a vobis inventum flagitium, non nisi errore depravatis hominibus ac corruptela convenire? Nam si omnino concipere malum est, profecto non ob ipsam sobolis procreationem, sed ob corporum copulationem malum esse videbitur. Quare quid vos attinet voluptate superatos commiscere corpora? Aut si corporum illa coniunctio mala non est, ne idipsum quidem quod gignitur ad exitum perducere malum est. Etenim vel abdicatis omnibus agriculturam omnino non attingere hominem oportet, quemadmodum Abel ovium fuisse Gen. 4, 2.
pastor, Cainus terram coluisse dicitur. Vel si solum exercere aliquis instituit, uti Noë fecisse dicitur, qui, ut scriptum est, *vir fuit* Gen. 9, 20.
agricola, et plantavit vineam, non ideo, puto, vineam plantavit, ut

2. *Hoc alterum* οὐχ ἐφύτευσεν *uncinis inlatum. notavit Petavius. Est autem cum emphasi*

μὴ ἐνέγκῃ, ἀλλ' ἐφύτευσε, καὶ ἔπιεν ἐκ τοῦ καρποῦ αὐτοῦ, καὶ ἐμεθύσθη, ὡς γέγραπται. Ἣν δὲ συγγνώμην τῷ γέροντι ἀπονεῖμαι. Εὐάρεστος γὰρ τῷ Θεῷ ὑπάρχων οὐ διὰ ἀσωτίαν τὴν μέθην ὑπέστη, ἀλλὰ λύπῃ φερόμενος τάχα ἐκεκάρωτο, καὶ μὴ φέρων ἐξ ἀμφοτέρων, διὰ τὸ ἀσθενὲς καὶ γηραλέον, ἀσθενείᾳ ὑπέπεσεν, οὐχ ἵνα χλευασθῇ ὑπὸ τέκνου. Ὁ δὲ καταγελάσας ἑαυτῷ εἴληφε τὴν κατάραν, ἵνα κολάζωνται οἱ ἐνσκήπτοντες τοῖς πατράσιν ὕβριν, καὶ οἱ ἐν ὑμῖν διαλογισμοὶ ἐπεγειρόμενοι κατὰ τῆς τοῦ Θεοῦ γνώσεως καὶ καλῶς τεταγμένης διατάξεως.

Κεφ. δ'. Εἰ γὰρ καὶ οὐ δεδόξασται ὁ γάμος ὡς ἡ παρθενία, ὑπὲρ αὐτὸν δὲ ὑπάρχει ἡ παρθενία, παρθενίᾳ δὲ ἀληθεύουσα ἔνδοξος καὶ ἐνάρετος κέκληται, οὐ μεμολυσμένη, καὶ ὁ σεμνὸς δὲ γάμος [1] παιδοποιΐα, οὐκ εἰς αἰσχύνην τὰ ἐκ Θεοῦ καλῶς κεκτισμένα ἀπαγορεύει, ἀλλ' οὔτε ἄλλως μεταχειρίζεται τῆς τοῦ γάμου κοινωνίας τὴν ἐκ Θεοῦ τεταγμένην ἀγωγήν. Παρθενία γάρ ἐστιν ἀληθῶς ὡς ἐκείνη ἡ ὑπὸ τοῦ ἁγίου ἀποστόλου ἐπαινουμένη ὅτι, Ἡ παρθένος καὶ ἡ ἄγαμος μεριμνᾷ τὰ τοῦ κυρίου, πῶς ἀρέσει τῷ κυρίῳ, ἵνα ᾖ ἁγία τῷ σώματι καὶ τῇ ψυχῇ· ἵνα δείξῃ ὅτι οὐδεμίαν αἰτίαν ἀμπλακημάτων κἂν ὑπονοηθῆναι ἡ μονότης ἐνδέχεται. Ἀλλὰ καὶ τὸν Ἀβραὰμ οἴδαμεν παιδοποιοῦντα, φίλον δὲ ὄντα τῷ κυρίῳ· Ἰσαὰκ δὲ καὶ Ἰακὼβ, καὶ τοὺς καθεξῆς. Καὶ οὔτε ἑαυτοὺς ἐμόλυναν ἀθεμίτοις πράξεσι, παραπτόμενοι μυσαρῶν, οὔτε ἀντιθέτως ἔσχον πρὸς τὴν ἐκ Θεοῦ καλῶς τεταγμένην διὰ σεμνοῦ γάμου παιδοποιΐαν, καὶ οὔτε οἱ ἐν αὐτοῖς ἁγνείαν τε καὶ παρθενίαν ἀσκήσαντες παρέφθειραν τὸν ἀγῶνα, καὶ ἑτέρως μετεποιήσαντο, ὡς διὰ κυβείας, τὸν ἐνάρετον τῆς ἀθλήσεως τρόπον. Καὶ Ἠλίας μὲν παντελῶς ἐν πόλεσι τάχιον οὐκ εἰσῄει, οὐδὲ μετὰ γυναικῶν συνόμιλος ἐγίνετο· ἐν δὲ ἐρημίαις διατελῶν ὑπῆρχε καὶ Ἐλισσαῖος, καὶ Ἰωάννης, καὶ πάντες [2] οἳ κατὰ τὸν μέγαν τουτονὶ χαρακτῆρα τῆς τῶν ἀγγέλων
pag. 521. μιμήσεως καλῶς κατὰ τὴν εὐαγγελικὴν διάταξιν τοῦ κυρίου ἑαυτοὺς διὰ βασιλείαν οὐρανῶν εὐνούχισαν.

Καὶ πολλὰ μὲν οὖν ἔχοντες περὶ τούτων λέγειν, καὶ ἐκ πολλῶν συστάσεων τῆς θείας γραφῆς τὴν αὐτῶν [3] διελεγχουσῶν διάνοιαν ὑπὸ

Cap. IV. — 1. *Vulgo extat* παιδοποιΐαν, *quod vitiosum est. Verbum quod intellegitur est* κέκληται.

2. οἳ κατὰ τὸν μέγαν *ego rescripsi. Nam vulgo extat* οἱ τὸν μέγαν, *quibus in verbis aliquid deesse iam Petavius est suspicatus. Cornarius vertit:* Et Helissaeus, et Ioannes, et omnes qui per magnam hanc formam imitationis Angelorum recte secundum Evangelicam

ne racemos proferret, sed et plantavit, et de fructu illius bibit, et inebriatus est, ut eo loco legitur. In quo sane venia dignus senex ille fuit. Qui cum deo gratus esset, non ex intemperantia in illam ebrietatem incidit, sed, ut opinor, ex tristitia ac moerore quidam ei somni torpor obrepsit. Cum autem utriusque vim sustinere ob imbecillitatem et aetatem non posset, in eam infirmitatem prolapsus est; nec ideo tamen dignus erat, ut ei filius illuderet. Quare qui illum derisit, in semetipsum imprecationem convertit, ut ii poenis afficiantur qui parentibus suis contumeliam imponunt, adeoque cogitationes illae, quae adversus dei cognitionem et recte constitutum ordinem insurgunt.

Enimvero licet tantus nuptiis honor quantus virginitati minime sit habendus, et haec illis anteponenda sit, cum ea tamen vera virginitas appellatur quae cum honestate est et virtute coniuncta, tum honorabiles nuptiae a liberorum procreatione non abhorrent neque ad ignominiam ea trahunt quae a deo praeclare condita sunt, imo vero non aliter praescriptum divinitus nuptialis coniunctionis modum ac rationem usurpant. Quippe virginitas revera eius instar est quam apostolus his verbis praedicat: *Virgo et innupta sollicita est de iis quae sunt domini, quomodo placeat domino, ut sit sancta corpore et anima.* Ut ostenderet nullam, ne minimam quidem, suspicionem solitarium vitae genus admittere. Verum et Abraamum scimus liberis operam dedisse, et amicum interim dei fuisse; perinde atque Isaacum et Iacobum, ac deinceps ceteros. Qui neque semetipsos execrandis flagitiis ac foedissimis usurpandis rebus inquinarunt, neque recte a deo constitutae liberorum per nuptias procreationi refragati sunt. Neque porro qui inter ipsos castimoniam ac virginitatem instituerant, certaminis leges violarunt, aut, velut quibusdam praestigiis, hanc virtutis exercitationem alio modo commutarunt. Atque Elias sane urbes ipsas propemodum ne ingrediebatur quidem, nec inter mulieres versabatur, sed in desertis locis assidue vivebat, quemadmodum Elisaeus et Ioannes, ac ceteri omnes, qui ut praeclare ex evangelico domini mandato insignem illam imitationis angelicae notam atque formam exprimerent, semetipsos propter regnum coeleste castraverunt.

[Cap. IV. — Hebr. 13, 4. — 1. Cor. 7, 34. — Matth. 19, 12.]

Postremo licet multa de his in medium afferre possimus, et infinitis scripturae testimoniis et auctoritatibus illusam a diabolo men-

Domini ordinationem seipsos propter regnum Dei castrarunt.

3. διελεγχουσῶν *mea est emendatio. Petavius volebat* διελέγχειν. *Libri habent* διελέγχουσαν. *Et Cornarius vertit:* ex multis divinae scripturae argumentis, quae ipsorum mentem redarguunt a diabolo illusam *cett.*

διαβόλου ἐμπαιζομένην, ἀρκούμεθα τοῖς ὀλίγοις τούτοις, ἐπειδὴ πάντη σαφές ἐστιν ὅτι οὐ συνέσεως παρ' αὐτοῖς ἡ ἐργασία, οὐδὲ ἐκ θεοῦ ἡ τοιαύτη γνῶσις, ἀλλὰ δαιμόνων ἐνεργείας ἡ χλεύη καὶ πτῶσις αὐτῶν τῆς ἀθεμίτου ἐργασίας γίνεται. Καὶ ταύτην δὲ παρωσάμενοι, ὥςπερ τὴν δεινὴν σκυτάλην, τὴν ἔχιδναν καλουμένην, οὖσαν μὲν τῷ σώματι βραχεῖαν, τῇ δὲ ἰοβολίᾳ δεινὸν ἆσθμα ἐμπνέουσαν, καὶ εἰς τοὺς πλησιάζοντας τὴν λύμην ἐμφυσῶσαν, ταύτην συντρίψαντες ἐπὶ τὰς ἑξῆς ἴωμεν, θεὸν ἀρωγὸν ἐπικαλεσάμενοι εἰς τὴν τῆς πάσης πραγματείας ἡμῶν ἔνθεον ἐπαγγελίαν.

ΚΑΤΑ ΩΡΙΓΕΝΟΥΣ ΤΟΥ ΑΔΑΜΑΝΤΙΟΥ,
τεσσαρακοστὴ τετάρτη, ἡ καὶ ἑξηκοστὴ τετάρτη.

Κεφ. α'. *Ὠριγένης, ὁ καὶ Ἀδαμάντιος ἐπικληθεὶς, καθεξῆς [1] τούτων ἀκολουθεῖ. Οὗτος παῖς μὲν ἦν Λεωνίδους τοῦ μακαρίτου ἁγίου μάρτυρος, καὶ αὐτὸς δὲ τὰ πλεῖστα διωχθεὶς ἐν τῇ νέᾳ αὐτοῦ ἡλικίᾳ, ἀνὴρ ὢν κατὰ τὴν τῶν Ἑλλήνων παιδείαν λόγιος, καὶ ἐν ἐκκλησίᾳ ἀνατεθραμμένος, ἐν χρόνοις Δεκίου τοῦ βασιλέως ἐγνωρίζετο ἐπὶ τῆς Ἀλεξανδρείας. Ἦν γὰρ τῷ γένει μὲν Αἰγύπτιος, ἐν Ἀλεξανδρείᾳ δὲ ἐσχηκὼς τὴν οἴκησιν, καὶ ἀνατροφὴν, τάχα δὲ ἐν Ἀθήναις φοιτήσας ἐν τοῖς παιδευτηρίοις χρόνῳ τινί. Πολλὰ δὲ λέγεται πεπονθέναι ὑπὲρ τοῦ ἁγίου λόγου τῆς πίστεως καὶ ὀνόματος τοῦ Χριστοῦ, τοῦτο μὲν ἐν τῇ πόλει πολλάκις συρόμενος, ὀνειδιζόμενος, βασάνοις ἀνηκέστοις ὑποβαλλόμενος. Καὶ γὰρ καιρῷ ποτε ξυρήσαντες αὐτὸν οἱ Ἕλληνες πρὸς τῇ ἀναβάσει τοῦ Σεραπίου καλουμένου τοῦ αὐτῶν εἰδώλου καθίσαντες τὸν αὐτὸν προςέταξαν θαλοὺς φοινίκων ἐπιδιδόναι τοῖς ἐπὶ τὸ ἀθεμιτουργεῖν καὶ προςκυνεῖν τῷ εἰδώλῳ ἀνιοῦσι. Τοιοῦτον γὰρ σχῆμα*
pag. 525. *ἔχουσιν οἱ τῶν εἰδώλων αὐτῶν ἱερεῖς. Ὁ δὲ λαβὼν μεγάλῃ τῇ φωνῇ καὶ πεπαρρησιασμένῃ τῇ διανοίᾳ, οὐ δείσας, οὐδὲ διστάσας ἐβόα λέγων, Δεῦτε, λάβετε οὐ τὸν θαλὸν τοῦ εἰδωλίου, ἀλλὰ τὸν θαλὸν τοῦ Χριστοῦ. Καὶ πολλά ἐστιν ἃ περὶ τὸν ἄνδρα ἀνδραγαθήματα ἀναφέρουσιν οἱ παλαιοὶ κατὰ παράδοσιν.*

Κεφ. β'. *Ἀλλ' οὐκ ἔμεινεν αὐτῷ τὰ τοῦ βραβείου εἰς τέλος. Διὰ γὰρ τὸ ἐξοχώτατον τῆς [1] ἁγιότητος αὐτοῦ καὶ τῆς προπαιδείας ἐπὶ πλεῖστον φθόνον διεβέβλητο, καὶ μᾶλλον τοῦτο παρώξυνε τοὺς κατὰ καιρὸν τότε τὴν ἐξουσιαστικὴν ἀρχὴν διέποντας. Κακομηχανίᾳ δὲ διαβολικῇ ἐπενόησαν οἱ τῆς κακίας ἐργάται αἰσχρότητα τῷ ἀνδρὶ [2] ἐπιποιῆσαι,*

CAP. I. — 1. τούτων *emendarunt Cornarius et Petavius. Libri habent* τοῦτον.

CAP. II. — 1. *Pro* ἁγιότητος *in margine exempli Schottiani invenio scripturam*

tem illorum redarguere, paucis illis erimus contenti; cum et alioqui manifesto constet, nulla ab prudentia illorum proficisci facinus, nec eiusmodi a deo derivatam esse scientiam, sed ex daemonum afflatu ludibrium istud omne ac nefandi sceleris crimen esse conflatum. Quocirca cum nos haeresin istam, viperae instar eius quam scytalen vocant, repulerimus, quod quidem serpentis genus cum pusillo corpore sit, molestum ac vehemens asthma veneno suo iniecit et appropinquantibus labem ac perniciem inspirat, cum hanc igitur hactenus obtriverimus, ad reliquas transeamus, si prius dei opem imploraverimus, ut divinum plane suscepti operis institutum favore suo prosequatur.

ADVERSUS ORIGENEM ADAMANTIUM, haeresis XLIV., sive LXIV.

Origenes cognomento Adamantius sequitur. Natus hic Leonida patre, beatissimo sanctissimoque martyre. Sed et ille primis aetatis suae annis multa in persecutione mala sustinuit, atque ubi virilem ad aetatem pervenit, Graecis literis apprime excultus, atque in ecclesiae gremio nutritus, Decio imperatore Alexandriae claruit. Genere quippe Aegyptius Alexandriae domicilium educationemque nactus est. Ac nescio an Athenis quoque scholas aliquamdiu frequentarit. Sed pro Christiana religione ac fide Christique nomine quamplurima perpessus esse dicitur. Nam et in urbe tractus saepius et conviciis affectus et immanissimis quaestionibus tormentisque subiectus est. Inter cetera adrasum illum aliquando Graeci pro templi Serapidis (quod illorum idolum est) gradibus collocantes palmarum surculos in eos distribuere iusserunt qui ad execrandos ritus obeundos venerandumque simulacrum adibant. Hic enim simulacrorum apud illos sacerdotibus est habitus. At Origenes ramis illis acceptis magna voce constantique animo, sine ullo metu ac dubitatione ita vociferatus est: *Adeste, capite non simulacrorum templi, sed Christi surculum.* Praeter haec alia quamplurima sunt egregia viri facinora, quae veteres de illo tradiderunt. Cap. I.

Sed in eiusmodi praemii possessione perpetuo non permansit. Cap. II. Etenim ob eximiam sanctitatem, et eruditionem, summam est invidiam adductus, eaque res magistratus ac praefectos maiorem in modum acuit. Tum illud vero diaboli calliditate improbitatis artifices commenti sunt, ut ad turpitudinis necessitatem hominem adigerent,

λογιότητος *ex cod. ms., nescio quo, annotatam.*

2. *Rescripsi* ἐπιποιῆσαι *pro* ἐπινοῆσαι *quod vulgo in libris obtinuit.*

καὶ τιμωρίαν τοιαύτην ὁρίσαι. Εἰς παράχρησιν δὴ τοῦ αὐτοῦ σώματος Αἰθίοπα αὐτῷ [3] *παρεσκεύασαν. Ὁ δὲ μὴ φέρων τὴν τῆς διαβολικῆς ἐνεργείας ἐπίνοιαν ἔρρηξε φωνὴν, τῶν ἀμφοτέρων προτεθέντων αὐτῷ πραγμάτων θῦσαι μᾶλλον ἑλόμενος. Οὐ μὴν δὲ ἑκουσίᾳ γνώμῃ μᾶλλον τοῦτο ἐπετέλεσεν, ὡς πολὺς ᾄδεται λόγος· ἀλλ' ἐπειδὴ* [4] *ὅλως καθωμολόγησε τοῦτο πρᾶξαι, βαλόντες ἐπὶ χεῖρα αὐτοῦ λίβανον εἰς τὴν τοῦ βωμοῦ πυρὰν καθῆκαν. Καὶ οὕτως τοῦ μαρτυρίου ἀπὸ τῶν κρινάντων ὁμολογητῶν τε καὶ μαρτύρων ἀπεβλήθη τότε, καὶ ἀπὸ τῆς ἐκκλησίας ἐξεώθη. Ἐν Ἀλεξανδρείᾳ δὲ τοῦτο ὑποστὰς, καὶ μὴ δυνάμενος τὴν τῶν ὀνειδιζόντων χλεύην φέρειν, ἀνεχώρησε, καὶ τὴν Παλαιστίνην, τούτεστι τῆς Ἰουδαίας κατοικεῖν γῆν εἵλετο. Ἀνελθὼν γοῦν εἰς τὰ Ἱεροσόλυμα,* [5] *καθὼς τοιοῦτος ἐξηγητὴς καὶ λόγιος, προετρέπετο ἀπὸ τοῦ ἱερατείου (φασὶ γὰρ αὐτὸν καὶ πρεσβυτερίου κατηξιῶσθαι τὸ πρὶν, πρινὴ τοῦ θῦσαι)·* [6] *προτρεπόμενος, ὡς ἔφην, αὐτὸν ἐπὶ τῆς ἐκκλησίας εἰπεῖν, καὶ πολλὰ καταναγκασάντων* [7] *τῶν τηνικαῦτα ἐν Ἱεροσολύμοις τὴν ἱερωσύνην τῆς ἁγίας ἐκκλησίας διεπόντων, ἀναστὰς ἐπὶ πόδας τὸ ῥητὸν μόνον τοῦ ψαλμοῦ τοῦ τεσσαρακοστοῦ ἐνάτου εἰπὼν, τὴν πᾶσαν διαστολὴν παρελθὼν, ὡς λέγει ὁ ψαλμὸς, Τῷ δὲ ἁμαρτωλῷ εἶπεν ὁ θεὸς, Ἵνα τί συ ἐκδιηγῇ τὰ δικαιώματά μου, καὶ ἀναλαμβάνεις τὴν διαθήκην μου διὰ στόματός σου; πτύξας τὸ βιβλίον ἐπέδωκε, καὶ ἐκάθισε μετὰ κλαυθμοῦ καὶ δακρύων, πάντων ὁμοῦ σὺν αὐτῷ κλαιόντων.*

Κεφ. γ΄. *Καὶ μετὰ χρόνον ἀπεντεῦθεν προτρεπομένων αὐτὸν πολλῶν, καὶ* pag. 526. *ἀναγκαζόντων Ἀμβροσίῳ τινὶ συντυχὼν τῶν διαφανῶν ἐν αὐλαῖς βασιλικαῖς (τινὲς δὲ τοῦτον τὸν Ἀμβρόσιον ἔφασαν οἱ μὲν Μαρκιωνιστὴν, οἱ δὲ Σαβελλιανὸν), κατήχησε γοῦν τὸν αὐτὸν ἀπὸ τῆς αἱρέσεως ἐκκλῖναι, καὶ ἀναθεματίσαι, καὶ τὴν πίστιν ἀναλέξασθαι τῆς ἁγίας θεοῦ ἐκκλησίας. Ὁ δὲ προειρημένος Ἀμβρόσιος ἐπειδὴ* [1] *ἀπὸ πολλῆς αἱρέσεως ὑπῆρχε, καὶ ἀνὴρ λόγιος καὶ σπουδαῖος περὶ τὰς θείας ἀναγνώσεις τῶν θείων γραφῶν, διὰ τὴν ἐν ταῖς θείαις βίβλοις βαθύτητα τῶν νοημάτων ἠξίωσε τὸν αὐτὸν Ὠριγένην φράσαι αὐτῷ. Ὁ δὲ βουλόμενος εἰς ἐκείνου καθῆκον καὶ προτροπὴν πάσης γραφῆς, ὡς εἰπεῖν, ἑρμηνεὺς γενέσθαι καὶ ἐξηγήσασθαι ἐπετήδευσεν, καὶ ἐν τῇ Τύρῳ τῆς Φοινίκης, ὡς λόγος ἔχει, εἰκοσιοκτὼ ἔτη, πολιτείᾳ μὲν ὑπερβαλλούσῃ, καὶ σχολῇ, καὶ καμάτῳ· τοῦ μὲν Ἀμβροσίου τὰ πρὸς τροφὴν αὐτῷ τε καὶ*

3. *Scripsi* παρεσκεύασαν. *Vulgo enim ita extat exaratum:* ὁρίσαι, εἰς παράχρησιν - - - παρασκευάσαι. *Cornarius convertit:* Per diabolicam vero malignitatem excogitaverunt malitiei operatores, quomodo turpitudinem viro excogitarent, et plagam talem decernerent, ita ut in abusum corporis ipsius Aethiopem ipsi subornarent, aut sacrificare iuberent. *Rem etiam narrat Nicetas Thesaur. Orthod. Fid. IV,* 31.

4. *Corrigendum videtur* ἀλλ' ἐπειδὴ οὐχ ὅλως, *vel* οὐδ' ὅλως. *Quod praecedentia verba suadent, et Nicetas, qui l. l.* „— quod cum paulo post, *inquit*, immutata sententia facere detrectasset, illi

atque eiusmodi poenam statuerent, ut ad illius corpori stuprum inferendum Aethiopem compararent. Ad haec Origenes fraudulentum illud diaboli consilium non sustinens vocem illam edidit qua duobus illis propositis, sacrificare maluit. Quamquam non omnino sponte illud sua praestitisse vulgo dicitur, sed ubi semel hoc se esse facturum assensus est, tus in manum illius impositum in subiectum arae focum excussisse gentiles asserunt. Hoc modo et a martyrii gloria confessorum martyrumque, qui illius temporibus erant, iudicio excidit, et ab ecclesia deiectus est. Accidit hoc Alexandriae, ubi cum exprobrantium ludibria ferre non posset, illinc abiit, et in Palaestina, sive Iudaea, domicilium constituit. Forte contigit ut Hierosolymam profectus, ut erat sacrarum literarum egregius et eruditissimus interpres, ab sacerdotum collegio (nam et ipse priusquam sacrificaret ad sacerdotii gradum pervenisse dicitur) ad verba in ecclesia facienda sollicitaretur. Cumque ab iis, uti dixi, qui tunc sacerdotalem in ecclesia dignitatem obtinebant, vi propemodum ad id agendum impelleretur, ille in pedes consurgens, reliquis versibus praetermissis, postquam hunc unum e psalmo quadragesimo nono locum attulisset: *Peccatori autem dixit deus, Quare tu enarras iustitias meas, et assumis testamentum meum per os tuum?* complicatum librum reddidit, flensque et lacrimans resedit, flentibus cum eo qui aderant universis. Psalm. 49, 16.

Cap. III. Posthaec multis hortantibus, imo cogentibus, e Ambrosii cuiusdam viri inter Palatinos primarii familiaritate usus (quem nonnulli Marcionistam, alii Sabellianum fuisse memorant) huic ipsi ut haeresin eiuraret ac damnaret, atque ecclesiae catholicae fidem amplecteretur, auctor extitit. Ambrosius vero, cum haeresin magnopere implicatus hactenus fuisset, et eruditus alioqui ac divinarum literarum inprimis studiosus esset, propter sententiarum, quae iisdem sacris codicibus continentur, profunditatem ab Origene postulavit ut ea sibi interpretatione sua patefaceret. Qui ut hortanti Ambrosio, pro eo atque illi congruebat, satisfaceret, universam scripturam interpretatione sua et expositione declarare instituit. Proindeque in urbe Tyro, quae Phoeniciae est, viginti octo annos excellenti quadam vitae ratione in otio ac commentandi labore transegit: cum et Ambrosius quae ad alendum ipsum una cum librariis ac ceteris ad-

prioribus promissis instantes, imposito manibus eius ture, sacris id imponi focis imperant.“

5. *Libri habent* καὶ ὡς *pro* καθὼς.

6. προτρεπόμενος *cod. Rhedig. Editi libri habent* προτρεπόμενοι. *Petavius coniecit* προτρεπομένων δὲ. *Mallem* προτρεπομένων οὖν, *vel* προτρεπόμενος οὖν, ὡς ἔφην.

7. τῶν, *quod abest a libris, reduxi ex vocabulo praecedenti.*

Cap. III. — 1. *Male praeter Petavium Cornarius quoque haec verba interpretatus est, reddens:* quando quidem multas haereses nosset. Αἵρεσις *h. l. est* φιλολογία *aut* φιλομαθία.

τοῖς ὀξυγράφοις καὶ τοῖς ὑπηρετοῦσιν αὐτῷ ἐπαρκοῦντος, χάρτην τε καὶ τὰ ἄλλα τῶν ἀναλωμάτων, καὶ τοῦ Ὠριγένους ἔν τε ἀγρυπνίαις καὶ σχολῇ μεγίστῃ τὸν κάματον τὸν περὶ τῆς γραφῆς διανύοντος. Ὅθεν τὸ πρῶτον αὐτοῦ ἐπιμελῶς ἐφιλοτιμήσατο συναγαγεῖν τῶν ἓξ ἑρμηνειῶν Ἀκύλα, Συμμάχου, τῶν τε Ἑβδομηκονταδύο, καὶ Θεοδοτίωνος, Πέμπτης τε καὶ Ἕκτης Ἐκδόσεως, μετὰ παραθέσεως ἑκάστης λέξεως Ἑβραϊκῆς, καὶ αὐτῶν ὁμοῦ τῶν στοιχείων, ἐκ παραλλήλου δὲ ἄντικρυς [2] δευτέρᾳ σελίδι χρώμενος κατὰ σύνθεσιν Ἑβραϊκὴν μὲν τῇ λέξει, Ἑλληνικῷ δὲ τῷ γράμματι, ἑτέραν πάλιν πεποίηκε σύνθεσιν, ὡς εἶναι μὲν ταῦτα καὶ καλεῖσθαι Ἑξαπλᾶ ἐπὶ τὰς Ἑλληνικὰς ἑρμηνείας δύο ὁμοῦ παραθέσεις τῆς Ἑβραικῆς φύσει δι' Ἑβραϊκῶν καὶ Ἑλληνικῶν στοιχείων, ὥςτε εἶναι τὴν πᾶσαν παλαιὰν διαθήκην δι' Ἑξαπλῶν καλουμένων καὶ διὰ τῶν δύο Ἑβραϊκῶν ῥημάτων. Ταύτην ὁμοῦ πᾶσαν τὴν πραγματείαν ὁ ἀνὴρ μετὰ καμάτου πεφιλοτίμητο, ἀλλ' οὐκ εἰς τέλος τὸ κλέος αὐτοῦ ἄσβεστον διήνυσε. Συμβέβηκε γὰρ αὐτῷ τὸ τῆς πολυπειρίας εἰς μέγα πτῶμα. Ἐξ αὐτοῦ γὰρ τοῦ σκοποῦ βουλόμενος μηδὲν τῶν θείων γραφῶν ἐάσαι ἀνερμήνευτον εἰς ἐπαγωγὴν ἑαυτὸν περιέβαλεν ἁμαρτίας, καὶ θανάσιμα ἐξηγήσατο ῥήματα, ἐξ οὕπερ οἱ Ὠριγενιασταὶ καλούμενοι, οὐχ οἱ [3] πρῶτοι τὴν αἰσχρουργίαν. Οὐ γὰρ ἔχω περὶ ἐκείνων λέγειν, ὡς καὶ ἤδη προεῖπον, εἰ ἐκ [4] τοῦ Ὠριγένους
pag. 527. τοῦ καὶ Ἀδαμαντίου ἐσχήκασι τὴν ἀρχὴν, ἢ ἕτερόν τινα ἀρχηγὸν ἐσχήκασιν Ὠριγένην λεγόμενον. Φασὶ δὲ καὶ τοῦτον τὸν Ὠριγένην ἐπινενοηκέναι ἑαυτῷ κατὰ τὸ [5] σῶμά τι, ὃν οἱ μὲν λέγουσι νεῦρον ἀποτετμηκέναι διὰ τὸ μὴ ἡδονῇ ὀχλεῖσθαι, μηδὲ ἐν ταῖς κινήσεσι ταῖς σωματικαῖς φλέγεσθαί τε καὶ [6] πυρπολεῖσθαι. Ἄλλοι δὲ οὐχί φασιν, ἀλλὰ ἐπενόησέ τι φάρμακον ἐπιθεῖναι τοῖς μορίοις, καὶ ἀποξηρᾶναι. Ἕτεροι δὲ καὶ ἄλλα εἰς αὐτὸν ἀναφέρειν τολμῶσιν, ὡς ὅτι καὶ βοτάνην τινὰ εὕρηκεν ἰατρικὴν μνήμης ἕνεκα. Καὶ τὰ μὲν ὑπέρογκα ὑπὲρ αὐτοῦ λεγόμενα οὐ πάνυ πεπιστεύκαμεν, ὅμως τὰ λεγόμενα ἐξειπεῖν οὐ παρελίπομεν.

Κεφ. δ'. Ἡ δὲ ἐξ αὐτοῦ φῦσα αἵρεσις πρῶτον μὲν ἐν τῇ τῶν Αἰγυπτίων χώρᾳ ὑπάρχουσα, τὰ νῦν δὲ παρ' αὐτοῖς τοῖς ἐξοχωτάτοις καὶ δοκοῦσι

2. *Epiph. de Mens. et Ponderibus cap.* 7: „Τὰς γὰρ ἓξ ἑρμηνείας καὶ τὴν Ἑβραϊκὴν γραφὴν Ἑβραϊκοῖς στοιχείοις καὶ ῥήμασιν αὐτοῖς ἐν σελίδι μιᾷ συντεθεικὼς ἄλλην σελίδα ἀντιπαράθετον δι' Ἑλληνικῶν μὲν γραμμάτων, Ἑβραϊκῶν δὲ λέξεων πρὸς κατάληψιν τῶν μὴ εἰδότων Ἑβραϊκὰ στοιχεῖα, εἰς τὸ διὰ τῶν Ἑλληνικῶν εἰδέναι τῶν Ἑβραϊκῶν λογίων τὴν δύναμιν, καὶ οὕτως τοῖς λεγομένοις ὑπ' αὐτοῦ Ἑξαπλοῖς καὶ Ὀκταπλοῖς τὰς μὲν δύο Ἑβραϊκὰς σελίδας καὶ τὰς ἓξ τῶν ἑρμηνευτῶν ἐκ παραλλήλου ἀντιπαραθεὶς, μεγάλην ὠφέλειαν γνώσεως ἔδωκε τοῖς φιλοκάλοις. Εἴθε δὲ καὶ ἐν τοῖς αὐτοῦ συντάγμασι μὴ παρέπεσε, καὶ ἑαυτὸν καὶ τὸν κόσμον ἠδίκησε, κακῶς δογματίσας τὰ

ministris necessaria erant, necnon et chartam ac reliquos sumptus benigne suppeditaret, et Origenes magnis vigiliis ingentique otio hunc enarrandae scripturae laborem prosequeretur. Primum ei studium fuit sex in unum interpretationes conferre, Aquilae, Symmachi, Septuaginta duorum, Theodotionis, una cum Editione Quinta ac Sexta; quibus sexta singulas Hebraicas dictiones propriis elementis perscriptas addidit, tum ex adverso altera in pagina contextum alterum fecit ex Hebraicis dictionibus Graecis literis exaratis. Hunc in modum volumina illa, quae Hexapla dicuntur, composuit, quae praeter Graecas editiones duas insuper Hebraici sermonis columnas continent, alteram Hebraicis ipsis, alteram Graecis elementis conscriptam; adeo ut vetus omne testamentum tam Hexaplis eiusmodi quam duplici Hebraicorum vocabulorum contextu comprehensum fuerit. Cum hoc totum opus summo ille cum labore studioque perfecisset, non perpetuo nominis sui ac gloriae integritatem retinuit, sed tanta doctrinae vis ac copia ruinae illi ac calamitatis occasionem dedit. Nam cum, ut sibi proposuerat, nullam sacrarum literarum partem, quam non explicaret, omittere vellet, in ingens se peccatum commisit, ac mortiferas quasdam voces exposuit, unde Origenistarum secta profluxit, non superiorum illorum, qui insigni turpitudine sunt. De illis enim, ut ante dixi, certi nihil affirmare possum utrum ab Adamantio Origene, an ab aliquo alio qui et Origenes ipse diceretur, initium acceperint. Ceterum eundem illum Origenem narrant quiddam in corpusculum excogitasse suum, sive nervum sibi, ut quidam existimant, inciderit, quo se illecebrarum molestia liberaret, neque turpibus corporis motibus velut incendio quodam aestuaret, sive, quod alii malunt, medicamento aliquo partibus illis imposita resiccarit. Sunt qui alia quaedam illi tribuant, veluti quod ad iuvandam memoriam medicatam quandam herbam repererit. Quae igitur grandia de illo ac magnifica produntur, non omnino fide digna censemus. Nihilominus quae communi sermone percrebuerunt, praeterire noluimus.

Quod ad haeresin illam attinet cuius auctor fuit, ea primum in Aegypto propagata hodie inter praecipuos atque eos maxime viget Cap. IV.

περὶ πίστεως καὶ τὰ πλεῖστα τῶν γραφῶν κακῶς φράσας."

3. *Petavius mancam esse orationem iudicavit. Cornarius reddidit:* non primi illi qui turpem actionem faciunt. *Libri habent* οὐχ οἱ πρῶτοι, οἱ τὴν αἰσχρουργίαν. *Delenda una erat vocula* οἱ, *quae ex voce* πρῶτοι *accreverat. Vertendum est:* non illi qui primum quoad turpitudinem locum obtinent.

4. τούτου τοῦ *cod. Venet.*

5. σῶμά τι, ὃν οἱ μὲν *mea est emendatio. Libri enim, quotquot novi, habent* κατὰ τὸ σωμάτιον. οἱ μὲν *cett.*

6. πυρπολεῖσθαι *cod. Venet. Vulgo mendose* πυρβολεῖσθαι. — *In seqq. correxi* φασιν. *Vulgo enim extat* φησιν.

τὸν μονήρη βίον ἀναδέχεσθαι, παρὰ τοῖς φύσει κατὰ τὰς ἐρημίας ἀναχωροῦσί τε καὶ τὴν ἀκτημοσύνην ἑλομένοις, δεινὴ [1] δὲ καὶ αὕτη, καὶ πασῶν τῶν παλαιῶν μοχθηροτέρα, ἡ καὶ σὺν ἐκείνοις τὰ ὅμοια φρονοῦσα. Κἂν γὰρ αἰσχρότητα ἐπιτελεῖν οὐ παρασκευάζει τοὺς αὐτῇ μαθητευομένους, ἀλλ' οὖν γε δι' αἰσχρότητος δεινὴν ὑπόνοιαν εἰς αὐτὸ τὸ θεῖον ἐνσκήπτει. Ἐκ τούτου γὰρ καὶ ὁ Ἄρειος τὰς προφάσεις εἴληφε, καὶ οἱ καθεξῆς, Ἀνόμοιοί τε καὶ ἄλλοι. Φάσκει γὰρ οὗτος, τολμήσας δῆθεν κατὰ τὴν ἀρχὴν λέγειν, πρῶτον μὲν ὅτι ὁ υἱὸς ὁ μονογενὴς ὁρᾷν τὸν πατέρα οὐ δύναται, ἀλλὰ οὔτε τὸ πνεῦμα τὸν υἱὸν δύναται θεάσασθαι, οὔτε μὴν ἄγγελοι τὸ πνεῦμα, οὔτε οἱ ἄνθρωποι τοὺς ἀγγέλους. Καὶ αὕτη πρώτη αὐτοῦ ἡ πτῶσις. Ἐκ γὰρ τῆς οὐσίας τοῦ πατρὸς τοῦτον εἰςηγεῖται, κτιστὸν δὲ ἅμα. Βούλεται δὲ ὡς κατὰ χάριν τὸν υἱὸν αὐτὸν καλεῖσθαι λέγειν. Εἰσὶ δὲ καὶ ἄλλαι αὐτοῦ πτώσεις μείζους. Τὴν ψυχὴν γὰρ τὴν ἀνθρωπείαν λέγει προϋπάρχειν, ἀγγέλους δὲ ταύτας εἶναι καὶ δυνάμεις ἄνω, ἐν ἁμαρτίαις δὲ ἀμπλακησάσας, καὶ τούτου ἕνεκεν εἰς τιμωρίαν εἰς τοῦτο τὸ σῶμα κατακεκλεισμένας, πεπέμφθαι δὲ ἀπὸ θεοῦ εἰς τιμωρίαν, ὅπως ἐνταῦθα πρώτην κρίσιν ὑποδέξονται. Διόπερ, φησὶ, καὶ δέμας κέκληται τὸ σῶμα, διὰ τὸ δεδέσθαι τὴν ψυχὴν ἐν τῷ σώματι· τὴν παλαιὰν Ἑλλήνων μυθώδη
pag. 528. *ὑπόνοιαν φανταζόμενος. Εἰς ταῦτα δὲ καὶ μύθους ἐκτίθεται. Ψυχὴν γὰρ, φησὶ, διὰ τοῦτο καλοῦμεν, διὰ τὸ ἄνωθεν πεψύχθαι. Μαρτυρίας δὲ κατὰ τὸν ἴδιον νοῦν ἐπιπλάττεται ἀπὸ τῶν θείων γραφῶν, οὐχ οὕτως ἐχούσας, οὐδὲ οὕτως δεδομένας. Τὸ γὰρ εἰπεῖν, φησὶ, τὸν προφήτην, Πριν ἢ ταπεινωθῆναί με ἐγὼ ἐπλημμέλησα, ἐξ αὐτῆς, φησὶ, τῆς ψυχῆς ὁ λόγος, ὡς ἄνω ἐν οὐρανῷ ἐπλημμέλησε, πριν ἢ ἐν τῷ σώματι τεταπεινῶσθαι. Καὶ [2] τῷ εἰπεῖν, φησὶν, Ἐπίστρεψον ψυχή μου εἰς τὴν ἀνάπαυσίν σου, ὡς τοῦ ἀνδραγαθήσαντος ἐνταῦθα ἐν ἀγαθοεργίᾳ ἐπιστρέφοντος εἰς τὴν ἄνω ἀνάπαυσιν, διὰ τὴν αὐτοῦ τῆς ἐργασίας δικαιοπραγίαν. Καὶ πολλὰ ἔστιν ἄλλα τοιαῦτα λέγειν. Τὸ κατ' εἰκόνα δέ φησιν ἀπολωλεκέναι τὸν Ἀδάμ. Ἐντεῦθέν φησι καὶ τοὺς χιτῶνας τοὺς δερματίνους ἐπισημήνασθαι τὴν γραφὴν ὅτι, Ἐποίησεν αὐτοῖς, φησὶ, χιτῶνας δερματίνους, καὶ ἐνέδυσεν αὐτούς. Τὸ σῶμα, φησὶν, ἐστί. Καὶ πολλή τίς ἐστι παρ' αὐτοῦ ἡ ᾀδομένη χλεύη, τήν τε τῶν νεκρῶν ἀνάστασιν ἐλλιπῆ ποιεῖται, πὴ μὲν λόγῳ παριστῶν ταύτην, πὴ δὲ ἐξαρνούμενος τελεώτατα, ἄλλοτε δὲ καὶ μέρος [3] ἐξαῦθις ἀνίστασθαι. Ἀλληγορεῖ δὲ λοιπὸν ὅσαπερ δύναται, τόν τε Παράδεισον, τά τε τούτου ὕδατα, καὶ τὰ ἐπάνω τῶν οὐρανῶν, καὶ τὸ ὕδωρ τὸ ὑποκάτω τῆς γῆς. Ταῦτα δὲ καὶ τὰ τούτοις ὅμοια φλυαρῶν οὐ*

Cap. IV. — 1. δὲ *rescripsi pro* τε, *quod habes in libris omnibus.*
2. *Repone* τό.
3. *Scripsi* ἐξαῦθις *pro* ἐξ αὐτῆς *quod in libris vulgo obvium. Olim placuit* ἐξ αὐτῶν.

qui monasticum vitae genus specie ipsa profitentur, quippe se et in solitudines abdiderunt, et paupertatem profitentur, pestifera illa quidem, ac veteres omnes improbitate superans, quarum errores complectitur. Nam licet nullum sectatoribus suis usum turpitudinis imponat, absurdam tamen impiamque de deo sententiam per summam turpitudinem inserit. Ex hoc enim fonte erroris sui ansam Arius accepit, ac reliqui deinceps omnes, velut Anomoei, et id genus alii. Principio eo temeritatis progressus est, ut asserat unigenitum filium patrem videre non posse, neque spiritum filium, neque angelos spiritum, neque homines angelos. Atque hic primus illius lapsus fuit. Ita enim ex patris substantia filium esse censet, ut nihilominus creatus fuerit. Quem quidem sola id gratia consecutum existimat, ut filius diceretur. Sed aliis longe gravioribus erroribus implicatus est. Nam animam hominis ante corpus extitisse putat, et easdem angelos esse virtutesque superiores, quae quod peccata contraxerint, supplicii caussa in hoc corpus inclusae sunt, proindeque ad poenas subeundas a deo relegari, ut hic iudicii prioris damnationem sustineant. Quam ob caussam, ait, et corpus ΔΕΜΑΣ appellari, quod corpori illigata sit anima. In quo vetera Graecorum somnia ac nugas retexit. Quin nonnullas ad eandem sententiam fabulas accommodat. Nam animam ob id, inquit, ΨΥΧΗΝ dicimus quod coelitus afflata sit. Ad haec certas ad opinionis falsae praesidium auctoritates affert, quas scripturis sacris perperam affingit, quae nec ita sese habent, ac longe aliter sunt editae. Quod enim a propheta dictum est, *Priusquam humiliarer, ego deliqui*, verba Ps. 118, 67.
esse animae ipsius affirmat, cum in coelo antea deliquisset quam ad hoc corpus abiiceretur. Quod vero alibi scriptum est, *Convertere* Ps. 115, 7.
anima mea in requiem tuam, eo referendum putat, quod qui strenue atque egregie se in hoc mundo gesserit, ob praeclara sua facta vitamque ex iustitia temperatam ad supremam illam coelestemque requiem sese convertat. Sexcenta ad eum modum commemorari possunt. Illud porro divinae, quod habebat, imaginis decus Adamum perdidisse narrat. Hinc est, inquit, quod pellicearum tunicarum in scriptura fit mentio: *Fecit illis tunicas pelliceas, et induit ipsos.* Gen. 3, 21.
Quod de corpore accipit. Omnino infinita alia sunt ab eo decantata dogmata risu ac ludibrio digna. Nam et mortuorum resurrectionem mancam ac defectam asserit. Quam quidem partim verbis affirmat, partim funditus tollit. Alias vero partem duntaxat hominis excitari putat. Demum quaecumque potest ad allegorias transfert; velut Paradisum, et aquas quae in eo sunt, quaeque et supra coelestes

διαλείπει. Ἤδη δὲ καὶ ἐν ἄλλοις τισὶ τόποις τὰ τοιαῦτα περὶ αὐτοῦ μνησθέντες διεξεληλύθαμεν.

Κεφ. ε'. *Οὐδὲν δὲ καὶ νῦν λυπήσει αὖθις ἐν τῇ κατ'* [1] *αὐτὸν αἱρέσει περὶ τῆς αὐτοῦ περιπετείας καὶ ὑποθέσεως διηγήσασθαι, καὶ ἐξ αὐτοῦ τῶν ὑπ' αὐτοῦ ὑποβαλλομένων τὴν ἀνατροπὴν ποιήσασθαι. Πολλὴ γὰρ ἡ τούτου ὕστερον γενομένη ἀτοπία, καὶ ἐπιτήδευσις παραπεποιημένης ἐννοίας, καὶ ἔξω βεβηκυῖα τῆς ἀληθείας. Ἔδοξε γὰρ κατὰ αἱρέσεων πασῶν λέγειν τῶν πρὸ αὐτοῦ, καὶ ἀνατρέπειν ἑκάστην, ὕστερον δὲ καὶ αὐτὸς αἵρεσιν οὐ τὴν τυχοῦσαν ταύτην τῷ βίῳ ἐξήμεσε. Καὶ πρῶτον μὲν οὖν τὰ ὑπ' αὐτοῦ ῥηθέντα εἰς ἔλεγχον τῆς αὐτοῦ παραπεποιημένης* [2] *ἐπιπλάστου ἐννοίας παραθήσομαι, ἔπειτα δὲ καὶ τὰ κατ' αὐτοῦ ῥηθησόμενα τῆς ἡμῶν μετριότητος ὑποδείξω. Καὶ ἔστι τάδε ὅσαπερ ἐν τῷ πρώτῳ ψαλμῷ εἰςηγήσατο τῷ βίῳ. Ἐν πάσῃ γὰρ*
pag. 529. *γραφῇ ἀεὶ ὀλισθαίνων κατὰ λέξιν ἐν τοῖς ἀναγκαίοις παρέπεσεν. Ἐπειδὴ δὲ ὄγκος πολύς ἐστι (λέγεται γὰρ πολλὴν πεποιηκέναι σύνταξιν· εἰς ἑκάστην* [3] *γὰρ γραφὴν, ὡς ἔφην), οὐ παρῃτήσατο εἰπεῖν ἃ αὐτῷ ἔδοξε. Καὶ ὅσα μὲν ἐν προςομιλίαις καὶ διὰ τῶν προοιμίων εἰς ἤθη τε καὶ εἰς φύσεις ζώων τε καὶ τῶν ἄλλων εἴρηται, μέσος φερόμενος πολλάκις χαρίεντα διηγήσατο· ὅσα δὲ εἰς δόγματα ἐδογμάτισε, καὶ περὶ πίστεως καὶ μείζονος θεωρίας, τῶν πάντων ἀτοπώτατα τῶν πρὸ αὐτοῦ καὶ μετ' αὐτὸν εὑρίσκεται, πλὴν τῶν ἐν ταῖς αἱρέσεσιν αἰσχρουργιῶν. Ἔδοξε γὰρ καὶ ἀσκητῶν βίον ἐπανῃρῆσθαι, ὡς καὶ ἄνω μοι προδεδήλωται. Διὸ καὶ τὸν θώρακα αὐτοῦ φασί τινες ἀπὸ ὑπερβολῆς πολιτείας, ἀσιτίας τε καὶ ἀποχῆς ἐμψύχων, πεπτωκέναι. Φέρε δὴ οὖν αὐτὰς τὰς αὐτοῦ λέξεις παραθησόμεθα ἐκ τοῦ πρώτου ψαλμοῦ καὶ τῶν ἐν αὐτῷ θεωριῶν καὶ ὧν ἐδογμάτισεν, αὐτοῖς τοῖς λόγοις, ἵνα μή τινες εἴπωσι τὰ κατ' αὐτοῦ ὑφ' ἡμῶν λεγόμενα σεσυκοφαντῆσθαι. Καὶ οὐχ ὅτι πάντως μόνον ἐν τῷ πρώτῳ ψαλμῷ ἐξέπεσε τῆς ἀληθείας, ὡς πολλάκις εἶπον, ἀλλὰ καὶ ἐν ἑκάστῃ ἐξηγήσει. Διὰ δὲ τὸν ὄγκον τῆς αὐτοῦ πραγματείας ἀπὸ τοῦ προειρημένου ψαλμοῦ συλλέξαντες ἐνταῦθα* [4] *ἀπὸ τῆς μιᾶς ἢ δύο, ἢ τριῶν, λέξεων τὸ πᾶν τὸ περὶ τὴν πίστιν τῆς μοχθηρίας αὐτοῦ* [5] *ἀποκαλύψομεν, καὶ ταὐτόν γε εἰπεῖν ἀναγκαίως ἐπιμελησόμεθα. Καὶ ἔστιν εὐθὺς ἑκάστης λέξεως τὸ ἐδάφιον οὕτως ὅπως γνῴης, ὦ φιλόκαλε ἀκροατὰ, ὅτι φανερώτατα τὸν*

Cap. V. — 1. *Mutavi* αὐτὴν, *quod vulgo extat, in* αὐτόν.

2. *Fortasse* καὶ ἐπιπλάστου.

3. *Hoc alterum* γὰρ *ne spurium sit vocabuloque sequenti* γραφὴν *originem suam debeat suspicor.*

4. *Fortasse* ἀπό του μιᾶς.

5. *Vulgo legitur* ἀποκαλύψωμεν, καὶ ταὐτόν τε εἰπεῖν.

orbes et sub terra collocatur. Haec et his simila nugari non desinit, quorum mentionem iam aliis in locis aspersimus.

Hoc vero loco quo adversus hanc haeresin praecipue disputamus, temerarias illius opiniones ac dogmata repetere non gravabimur, et ab eodem ipso confictarum ab eo fabularum refutationem arcessere. Longius quippe deinceps hominis absurditas pravarumque opinionum et a veritate remotissimarum affectatio progressa est. Qui cum adversus superiores omnes haereses disputasse ac singulas evertisse visus sit, postea tamen suam et ipse haeresin, et quidem haud vulgarem in orbem terrarum evomuit. Libet vero, ad commentitiam illius opinionem convincendam, quae ab eo dicta sunt primo loco subiicere, deinde quae ab tenuitate nostra adversus illum dicenda fuerint afferre. Ea vero sunt, quae ad primum psalmum in medium adduxit. Nam cum in omni scriptura perpetuo sit lapsus, in praecipuis ac necessariis potissimum singulis paene dictionibus aberrat. Verum illud eo facimus, quod scriptorum illorum ingens quaedam moles est. Nam infinita scripsisse dicitur, cum ad singulos scripturae libros quae sibi viderentur effutire non dubitaverit. Ceterum quae in sermonibus ad populum habitis ac prooemiis de moribus et animalium natura celerisque id genus disseruit, media quadam insistens via scite atque eleganter plerumque disputavit. Quae vero de dogmatibus elucubravit, deque fide ac reliquis maiori contemplatione dignis, longe ceteris eorum omnium decretis qui aut antecesserunt aut post illum extiterunt ineptiora et absurdiora videntur, si duntaxat aliarum haereseon flagitia ac foeditates excipias. Ac videtur sane et ascetarum idem ille institutum amplexus, quemadmodum antea docui. Ob id stomachum illius ferunt propter exquisitam quandam vitae rationem et inediam atque ab animatis omnibus temperantiam concidisse. Sed iam illius verba proferamus ex eius ad priorem psalmum commentariis deprompta, et ex considerationibus ad eundem editis, dogmatumque tractationibus, totidem quibus scripsit ille verbis, ne quis nos illius dictis calumniam fecisse dicat. Atque ex hoc potissimum loco transferre voluimus; non quod in his duntaxat ad priorem psalmum commentariis a veritate ceciderit, ut persaepe testatus sum, nam in omnibus plane aberravit, sed quod innumera sint ab eo monumenta relicta, nonnullis ex eo illo psalmo collectis, ex una aut altera, vel tribus certe vocibus omnem illius in his quae ad fidem pertinent improbitatem aperiemus, ac necessario eadem quibus ille usus est verba referemus. Est igitur uniuscuiusque dictionis velut solum ac fundamentum huiusmodi, ut illud, studiose auditor, intelligas, manifestissime filium dei creaturam ab

υἱὸν τοῦ Θεοῦ κτίσμα ἐδογμάτισε, καὶ ἀπὸ τῆς περὶ τοῦ υἱοῦ τόλμης γνώμης ὅτι καὶ τὸ πνεῦμα τὸ ἅγιον κτιστὸν εἰςηγήσατο. Ἀπ' ἀρχῆς οὖν ἀναλέξωμεν τὸν ψαλμὸν, ἕως αὐτῆς τῆς λέξεως, ὡς αὐτὸς Ὠριγένης ἔφη.

ΤΩΝ ΩΡΙΓΕΝΟΥΣ ΕΙΣ ΤΟΝ Α' ΨΑΛΜΟΝ.

Κεφ. ς'. Κεκλεῖσθαι καὶ ἐσφραγίσθαι τὰς θείας γραφὰς οἱ θεῖοί φασι λόγοι, τῇ κλειδὶ τοῦ Δαβὶδ, τάχα δὲ καὶ σφραγῖδι, περὶ ἧς εἴρηται τὸ ἐντύπωμα σφραγῖδος ἁγίασμα κυρίῳ, τουτέστι τῇ δυνάμει τοῦ δεδωκότος αὐτὰς Θεοῦ, τῇ ὑπὸ τῆς σφραγῖδος δηλουμένῃ. Περὶ μὲν οὖν τοῦ κεκλεῖσθαι καὶ ἐσφραγίσθαι ὁ Ἰωάννης ἀναδιδάσκει ἐν τῇ Ἀποκαλύψει λέγων, Καὶ τῷ ἀγγέλῳ τῆς ἐν Φιλαδελφείᾳ ἐκκλησίας γράψον, Τάδε λέγει ὁ ἅγιος ὁ ἀληθινὸς, ὁ ἔχων τὴν κλεῖν τοῦ Δαβὶδ, ὁ ἀνοίγων, καὶ οὐδεὶς κλείσει, καὶ κλείων, καὶ οὐδεὶς ἀνοίξει· οἶδά σου τὰ ἔργα· ἰδοὺ, δέδωκα θύραν ἐνώπιόν σου ἀνεῳγμένην, ἣν οὐδεὶς δύναται κλεῖσαι αὐτήν. Καὶ μετ' ὀλίγα, Καὶ εἶδον ἐπὶ τὴν δεξιὰν τοῦ καθημένου ἐπὶ [1] τὸν θρόνον βίβλιον γεγραμμένον ἔσωθεν, καὶ ὄπισθεν κατεσφραγισμένον σφραγῖσιν ἑπτά· καὶ εἶδον ἄγγελον ἰσχυρὸν κηρύσσοντα φωνῇ μεγάλῃ, Τίς ἄξιος ἀνοῖξαι τὸ βίβλιον, καὶ λῦσαι τὰς σφραγῖδας αὐτοῦ; καὶ οὐδεὶς ἠδύνατο ἐν τῷ οὐρανῷ, οὔτε ἐπὶ τῆς γῆς, οὔτε ὑποκάτω τῆς γῆς ἀνοῖξαι τὸ βιβλίον, οὔτε βλέπειν αὐτό· καὶ ἔκλαιον, ὅτι οὐδεὶς ἄξιος εὑρέθη ἀνοῖξαι τὸ βίβλιον, οὔτε βλέπειν αὐτό· καὶ εἷς ἐκ τῶν πρεσβυτέρων λέγει μοι, Μὴ κλαῖε, ἰδοὺ, ἐνίκησεν ὁ λέων ὁ ἐκ τῆς φυλῆς Ἰούδα, ἡ ῥίζα Δαβὶδ, ἀνοῖξαι τὸ βιβλίον, καὶ τὰς ἑπτὰ σφραγῖδας αὐτοῦ. Περὶ δὲ τοῦ ἐσφραγίσθαι μόνον ὁ Ἡσαΐας οὕτως· Καὶ ἔσται ὑμῖν τὰ ῥήματα ταῦτα πάντα, ὡς οἱ λόγοι τοῦ βιβλίου τούτου τοῦ ἐσφραγισμένου, ὃ ἐὰν δῶσιν αὐτὸ ἀνθρώπῳ ἐπισταμένῳ γράμματα, λέγοντες, Ἀνάγνωθι ταῦτα, καὶ ἐρεῖ, Οὐ δύναμαι ἀναγνῶναι, ἐσφράγισται γάρ· καὶ δοθήσεται τὸ βιβλίον τοῦτο εἰς χεῖρας ἀνθρώπου μὴ ἐπισταμένου γράμματα, καὶ ἐρεῖ, Οὐκ ἐπίσταμαι γράμματα. Ταῦτα γὰρ οὐ μόνον περὶ τῆς Ἀποκαλύψεως Ἰωάννου καὶ τοῦ Ἡσαΐου νομιστέον λέγεσθαι, ἀλλὰ καὶ περὶ πάσης θείας γραφῆς, ὁμολογουμένως καὶ παρὰ τοῖς μετρίως ἐπαΐειν λόγων θείων δυναμένοις, [2] πεπληρωμένης αἰνιγμάτων καὶ παραβολῶν, σκοτεινῶν τε λόγων, καὶ ἄλλων ποικίλων εἰδῶν ἀσαφείας, δυςλήπτων τῇ ἀνθρωπίνῃ φύσει. Ὅπερ διδάξαι βουλόμενος καὶ ὁ σωτήρ φησιν, ὡς τῆς κλειδὸς οὔσης παρὰ τοῖς Γραμματεῦσι καὶ Φαρισαίοις, οὐκ ἀγωνιζομένοις τὴν ὁδὸν εὑρεῖν τοῦ ἀνοῖξαι, τὸ, Οὐαὶ ὑμῖν τοῖς νομικοῖς, ὅτι ἤρατε τὴν κλεῖδα τῆς γνώσεως· αὐτοὶ οὐκ εἰςήλθετε, καὶ τοὺς εἰςερχομένους οὐκ ἀφίετε εἰςελθεῖν.

pag. 530.

CAP. VI. — 1. Repono τοῦ θρόνου.

illo praedicari, et ex illa in filium temeritate cognoscas etiam spiritum sanctum creatum ab eodem censeri. Quocirca psalmum illum ab initio repetemus, totidemque verbis quibus Origenes scripsit.

EX ORIGENIS COMMENTARIIS AD PSALMUM PRIMUM.

Clausas obsignatasque scripturas esse sacras divina testantur Cap. VI.
oracula, idque Davidis clave, ac forsitan et sigillo, de quo scriptum est, *Figura sigilli sanctitas domino*. Quod de virtute dei, qui Exod. 28, 36.
ea largitus est, intelligi debet, quae videlicet per sigillum adumbratur. Etenim clausas atque obsignatas esse scripturas Ioannes in Apocalypsi declarat his verbis: *Et angelo ecclesiae, quae Philadel-* Apoc. 3, 7.
phiae est, scribe, Haec dicit sanctus verus, qui habet clavem David, qui aperit, et nemo claudet, et claudit, et nemo aperiet: novi opera tua: potui fores coram te apertas, quas nemo claudere potest. Deinde paulo post: *Et vidi ad dexteram sedentis in throno librum scriptum* Apoc. 5, 1.
intus et a tergo, obsignatum signaculis septem. Et vidi angelum proclamantem voce magna, Quis est dignus aperire librum et solvere signacula eius? Et nemo poterat in coelo neque in terra neque subter terram aperire librum, nec aspicere illum. Et flebam, quoniam nemo dignus inventus est aperire librum, neque aspicere illum. Et unus de senioribus dixit mihi, Noli flere: ecce vicit leo de tribu Iuda, radix David, aperire librum, et septem signacula eius. De sola vera obsignatione ita loquitur Isaias: *Et erunt vobis verba haec omnia, sicut* Isai. 29, 11.
sermones libri huius obsignati, quem si dederint homini scienti literas, dicentes, Lege ista, et respondebit, Non possum legere, est enim obsignatus. Et dabitur liber hic in manus hominis nescientis literas; et dicet, Nescio literas. Haec enim non ad Apocalypsin solum Ioannis aut Isaiae vaticinia pertinere putandum est, sed de universa scriptura sacra penitus accipienda sunt. Quod sane apud illos in confesso est qui divinarum literarum notitiam vel mediocriter assecuti sunt. Quae quidem aenigmatum involucris ac parabolis, tenebrosisque sermonibus ac diversis aliis obscuritatis generibus, quae hominis ingenio difficile comprehenduntur, refertae sunt. Quod et salvator ostendere volens clavem apud scribas et Pharisaeos esse dixit, qui ut viam ad aperiendum invenirent, minime contenderent. Et, *Vae vobis*, inquit, *Legisperitis, quoniam tulistis clavem scientiae,* Luc. 11, 52.
neque ipsi intrastis, et intrantes non permittitis ingredi!

2. *Libri habent* πεπληρωμένοις.

Κεφ. ζ'. *Ταῦτα δὲ ἡμῖν ἐν προοιμίῳ λέλεκται εἰς μέγιστον ἀγῶνα, καὶ* pag. 531. *ὁμολογουμένως ὑπὲρ ἡμᾶς καὶ τὴν ἕξιν ἡμῶν, ἀναγκαζομένοις ὑπὸ τῆς πολλῆς σου φιλομαθείας καὶ δυςωπουμένοις ὑπὸ τῆς χρηστότητος καὶ τῆς μετριότητός σου, ἱερὲ Ἀμβρόσιε, κατελθεῖν. Καὶ ὅτι γε ἐπὶ πολὺ ἀναδυόμενόν με διὰ τὸ εἰδέναι τὸν κίνδυνον, οὐ μόνον τοῦ λέγειν περὶ τῶν ἁγίων, ἀλλὰ πολλῷ πλεῖον τοῦ γράφειν καὶ τοῖς μεθ' ἡμᾶς καταλιπεῖν, παντοδαπῶς κατεπᾴδων φιλικῶς καὶ κατὰ προκοπὴν θεότητος εἰς τοῦτο ἤγαγές με, μάρτυς ἔσο μοι πρὸς θεὸν μεθ' ὅλου τοῦ βίου καὶ περὶ τῶν ὑπηγορευμένων* [1] *ἐξεταζομένῳ, ποίᾳ τε προθέσει τοῦτο γεγένηται. Καὶ πὴ μὲν ἐντυγχάνομεν, πὴ δὲ ἤτοι βιαζόμεθα βιαιότερον, ἢ δοκοῦμέν τι λέγειν. Ἐξιχνεύσαμεν δὲ τὸ γεγραμμένον οὐ καταφρονοῦντες τοῦ, Ὅτε λέγεις περὶ θεοῦ, κρίνῃ ὑπὸ θεοῦ, καλῶς εἰρημένου, καὶ* [2] *τοῦ, Περὶ θεοῦ καὶ τἀληθῆ λέγειν κίνδυνος οὐ μικρός. Ἀξιοῦμεν τοίνυν, ἐπεὶ μηδὲν χωρὶς θεοῦ καλὸν εἶναι δύναται, καὶ μάλιστα νόησις γραφῶν θεοπνεύστων, ὅπως τῷ πατρὶ τῶν ὅλων θεῷ διὰ τοῦ σωτῆρος ἡμῶν καὶ ἀρχιερέως* [3] *γενητοῦ θεοῦ προςιέναι* [4] *αἰτήσεις δοθῆναι ἡμῖν πρῶτον καλῶς ζητεῖν. Ἐπίκειται γὰρ τοῖς ζητοῦσιν ἐπαγγελία τοῦ εὑρίσκειν· τάχα οὐδὲ τὴν ἀρχὴν εἰς ζητοῦντας λογιζομένων παρὰ θεῷ τῶν οὐχ ὁδῷ ἐπὶ τοῦτο προιόντων.*

ΕΩΣ ΩΔΕ ΤΑ * ΑΠΟ ΩΡΙΓΕΝΟΥΣ.

Κεφ. η'. *Ἀρχή μοι λέγειν πρὸς τὸν κομπώδη καὶ* [1] *δοκήσει σοφὸν, καὶ ἐρευνητὴν τῶν ἀνερευνήτων, καὶ ἐκβιβαστὴν τῶν ἐπουρανίων, τουτονὶ τὸν φλυαρίας ἐμπλήσαντα τὸν βίον, ὡς καὶ ὁ κρείττων ἡμῶν κατ' αὐτοῦ εἴρηκε, πρῶτον περὶ γενητοῦ θεοῦ. Καὶ ὅτι μὲν ὁμολεξίαι τε καὶ ὁμωνυμίαι πολλαὶ ἐν τῷ βίῳ εἰσὶ, πάντη τοῦτο δῆλόν ἐστι. Καὶ εἰ μὲν ὑπὸ ἄλλου ἡ λέξις ἐλέγετο, ἦν εἰπεῖν ὅτι κατὰ ὀρθὴν διάνοιαν καὶ τοῦτο εἴρηται. Ὁπότε δὲ ἐν πολλοῖς τόποις εὕρομεν αὐτὸν τὸν μονογενῆ θεὸν ἀπαλλοτριοῦντα τῆς τοῦ πατρὸς θεότητός τε καὶ οὐσίας, ὁμοῦ τε καὶ τὸ πνεῦμα τὸ ἅγιον, τούτου χάριν* [2] *τῷ γενητὸν θεὸν εἰρηκέναι αὐτὸν σαφές ἐστιν ὅτι κτιστὸν ὁρίζεται. Ὡς γάρ τινες ἡμᾶς*

Cap. VII. — 1. *Rescripsi* ἐξεταζομένῳ, *Petavium secutus. Vulgo* ἐξεταζομένων.

2. *Scripsi* τοῦ *pro* τὸ, *quod vulgo extat.*

3. „genitum deum“ *convertit Petavius, sed perperam, ut recte monuit Gataker. Adverss. Miscell. Posth. cap.* 36. *pag.* 801. *Hoc enim, inquit, Epiphanius Origeni obicit, quod* γενητὸν *dixerit, cum* γεννητὸν *debuisset, perinde ac si* γενητὸν, *h. e.* factum, *et* γεννητὸν, *h. e.* genitum, *idem prorsus valerent, quod Epiphanius disertissime pernegat. Miror sane, cum Petavius in Animadv. ad haec Epiphanii verba discrimen illud vocabulorum* γενητὸς *et* γεννητὸς *minime*

Haec a nobis velut praefandi gratia proposita sunt, qui in maximum certamen, quodque vires nostras ac facultatem sine ulla dubitatione superat, ab ingenti tuo, Ambrosi vir sanctissime, erga literas studio concitati fuimus, et ut in illud descenderemus humanitate tua ac moderatione perpulsi. Quandoquidem diu me comperta periculi magnitudine recusantem non modo disputare de sacris literis, sed et multo magis scribere ac posteris relinquere modis omnibus atque illecebris demulsisti et ad hoc quibusdam divinitatis progressionibus adduxisti. Tu igitur testis mihi apud deum eris, tum cum de vita mea ac scriptis inquiret, quonam animi consilio sit illud a me susceptum. Ac nonnunquam quidem veritatem assequimur, nonnunquam aut violentius perrumpimus, aut dicere aliquid videmur. Porro quod scriptum est vestigavimus, non ita ut praeclare illud dictum contemneremus, *Cum de deo dicis, a deo iudicaris:* item illud, *De deo etiam vera dicere non mediocre periculum est.* Quamobrem cum nihil sine deo esse possit egregium, praesertimque divinarum literarum intelligentia, abs te etiam atque etiam petimus, ut parentem omnium deum per salvatorem nostrum ac pontificem genitum deum obsecrare velis, idque ab eo nobis impetrare, ut inprimis recte quaerere possimus. Quaerentibus enim proposita est assequendi promissio. Ac nescio an qui ad illud via ac ratione minime contendunt inter eos qui quaerunt apud deum non habeantur. Cap. VII.

HACTENUS ORIGENIS VERBA.

Adversus arrogantem hunc hominem et opinione sui inflatum, eorumque quae investigari nequeunt, scrutatorem, qui coelos ipsos praetergressus est, quique ineptissima loquacitate orbem terrarum implevit, quemadmodum longe nobis praestantior alius in illum antea dixit, prima de genito deo tractanda disputatio est. In quo illud observandum est, quamplurimas in humana consuetudine similitudines vocum et homonymias esse; id quod omnibus, opinor, est manifestum. Ac si ab alio quopiam vocabulum illud usurparetur, recto ac sincero animo pronuntiatum esse existimare possemus. Nunc cum in aliis plerisque locis deprehendamus unigenitum deum a paterna divinitate atque substantia ab eodem auctore segregari, necnon et spiritum sanctum, propterea *γεννητὸν*, hoc est productum deum, idcirco dixisse illum apparet, quod creatum statueret. Quod enim Cap. VIII.

neglexisse sibi testis sit, quod in ipsa interpretatione ita peccare potuit.

4. αἰτήσης *edit. princ.*

* ἀπ' *cod. Rhedig.*

Cap. VIII. — 1. *In margine exempli Schottiani annotatam invenio scripturam* δοχησίσοφον, *at nescio unde.*

2. *Vulgo* τὸ.

βούλονται σοφίζεσθαι καὶ λέγειν ἴσον τὸ γενητὸν εἶναι τῷ γεννητῷ,
pag. 532. *οὐ παραδεκτέον δὲ ἐπὶ θεοῦ λέγειν, ἀλλ' ἢ ἐπὶ τὰ κτίσματα μόνον. Ἕτερον γάρ ἐστι γενητὸν, καὶ ἕτερον γεννητόν. Τὸ γοῦν παρ' αὐτῷ ῥηθὲν, ἤτοι γενητὸν θεὸν, πρῶτον ἐρωτῶμεν, ποίοις τρόποις ἔκτισται ὁ παρὰ σοὶ διὰ τῆς λέξεως ταύτης τιμώμενος θεὸς, πῶς δὲ ἔτι προσκυνητὸς ἔσται, εἰ ἔσται ποιητός. Ἄφελε γὰρ τὴν μέμψιν τὴν παρὰ τῷ ἁγίῳ ἀποστόλῳ ἐπὶ τοῖς τὴν κτίσιν θεολογοῦσι, καὶ ἐπίδος μοι θεὸν προσκυνούμενον κτιστὸν κατὰ τὴν εὐσεβῆ πίστιν, τὴν μηκέτι κτίσει προσκυνοῦσαν, ἀλλὰ τῷ κτίσαντι, καὶ ἔσται παρὰ σοὶ εὔλογος ἡ τοῦ πεπλανημένου σου λόγου ἀπὸ τῆς τῶν πατέρων εὐσεβείας ἀκολουθία. Ἀλλὰ οὐ μὴν δύνασαι τοῦτο παραστῆσαι. Εἰ δὲ καὶ ἐτόλμας ἀποσυλῆσαί ποθεν καὶ βιάσασθαι, οὐδὲ ἐν τούτῳ τὸν εὔλογον λογισμὸν τῶν θεοσεβῶν παρεκτρέπειν εἰς τοσαύτην φαυλότητα, ὦ θεήλατε. Ἀντιμάχεται γάρ σοι καὶ τὸ φρόνημα καὶ ὁ λόγος. Πᾶν γὰρ τὸ κτιστὸν οὐ προσκυνητὸν, ὡς ἔφην· εἰ δὲ ὅλως προσκυνητὸν, πολλῶν ἄλλων ὑπαρχόντων κτιστῶν, οὐδὲν ἂν διοίσει τὸ καὶ ἡμᾶς κατὰ τοῦ ἑνὸς κτιστοῦ τὰ ὅλα προσκυνεῖν σύνδουλα ὄντα καὶ τῇ αὐτῇ ἀγωγῇ τῆς ὀνομασίας ὑποπεπτωκότα.*

Κεφ. ϡ'. *Ἴδωμεν δὲ διὰ τῶν τεσσάρων εὐαγγελίων, δι' ὧν τὴν πᾶσαν ἡμῶν ζωὴν ᾠκονόμησεν ἐλθὼν ὁ θεὸς λόγος, εἴπου εἴρηκεν ὁ Χριστὸς, Ὁ θεός με ἔκτισεν, ἢ, Ὁ πατήρ μου ἔκτισέ με. Ἴδωμεν δὲ εἰ καὶ ὁ πατὴρ ἀπεφήνατο ἐν ἑνὶ τῶν εὐαγγελίων ὅτι, Ἔκτισα τὸν υἱὸν, καὶ ἀπέσταλκα ὑμῖν. Ἀλλὰ περὶ τούτου ἕως ὧδε τὰ νῦν ἐχέτω. Περὶ γὰρ μαρτυριῶν πολλάκις περὶ τῶν τὸ κτίσμα παρεισαγόντων πολλὰ ἐξεθέμεθα. Οὐδὲν δὲ λυπήσει καὶ ἐν τῷ παρόντι δεῖξαι τὸ εὔληπτον τοῦ λόγου, καὶ εἰπεῖν πρὸς τοῦτον τὸν ἐθελόσοφον, Πῶς δύναται κτιστὸς, ὦ οὗτος, εἶναι ὁ λέγων, Ἐγὼ ἐν τῷ πατρὶ, καὶ ὁ πατὴρ ἐν ἐμοὶ, καὶ, Οἱ δύο ἕν ἐσμεν; Πῶς δὲ δύναται ἄλλος εἶναι ὁ τὴν ἴσην τιμὴν πρὸς πατρὸς ἔχων; Οὐδεὶς γὰρ οἶδε τὸν υἱὸν, εἰ μὴ ὁ πατὴρ, οὐδὲ τὸν πατέρα, εἰ μὴ ὁ υἱός. Καὶ τὸ, Ὁ ἑωρακὼς ἐμὲ ἑώρακε τὸν πατέρα. Πάλιν δὲ ὡσαύτως ὅσα αὐτῷ περὶ ἀναστάσεως ἀμφιβάλλεται, ἐπιλαβόμενοι τῆς ἀκολουθίας, αὖθις ἐροῦμεν ἐκ τῶν αὐτοῦ ῥητῶν.*
pag. 533. *Ἀπὸ μιᾶς δὲ λέξεως τὸ πᾶν τῆς γνώμης αὐτοῦ ἀποδείξομεν, καὶ τὸ ἄπιστον τῆς δόξης τοῦ αὐτοῦ δόγματος ἀποκαλύψομεν. Εἰ καὶ διὰ πλάτους αὐτῷ εἴρηται πολλάκις περὶ τούτου καὶ ἐν πολλαῖς βίβλοις*

argutiis circumvenire nos suis, ac dicere nonnulli volunt, idem esse *γεννητὸν* cum *γεννητῷ* cum de deo agitur, nequaquam audiendum est, sed creatis duntaxat in rebus. Aliud enim est *γενητὸν*, aliud *γεννητόν*. Quod igitur ab eo dictum est *γενητὸν*, hoc est *productum deum*, primum illud sciscitemur. Quinam creari potuit is qui a te eiusmodi vocabulo honoris caussa afficitur deus? Adorandus vero quomodo tandem erit, si factus est? Volo enim illam apostoli re- Rom. 1, 25.
prehensionem removeas qua eos prosequitur qui creatis rebus divinitatem tribuerent. Ac talem mihi deum exhiberi volo qui adoratione dignus sit, qui idem recta sinceraque fide, quae quidem creatori soli, non item creatis ab illo rebus adorationem impertit, creatus aliquando censeatur. Hoc si demonstrare potueris, tum demum mendax illud tuum confictumque dogma rationi consentaneum, nec ab antiquorum patrum pietate alienum, esse videbitur. Verum nunquam illud nobis ostendes. Ac tametsi intervertere quaedam et ad tuam sententiam perperam accommodare ausus fueris, non in hoc tamen religiosorum coniunctam cum recta ratione sententiam ad tantam pravitatem, hominum furiosissime, detorquere poteris. Nam et sensus tibi refragatur et ratio. Etenim quicquid creatum est, adorari, ut dixi, non potest. Sin adoratione dignum omnino videtur, cum alia quamplurima creata sint, profecto nihil interest, quin et nos cum unico creatore cetera adoremus omnia quae servili nobiscum conditione, eademque nominis ratione continentur.

Age vero videamus in quatuor evangeliis, quibus vitam omnem Cap. IX.
nostram verbum deus ad nos veniens administrari voluit, nuncubi Christus ita locutus sit: *Deus me creavit*, vel, *Pater meus creavit me?* aut utrum pater in ullo unquam evangelio pronuntiaverit, *Ego creavi filium, et misi ad vos.* Sed de his hactenus. Nam quod ad testimonia pertinet, nos quamplurima saepe adversus illos attulimus qui creaturam nobis obtrudebant. Nihil tamen in praesentia palam facere pigebit quam facile redargui error ille possit, atque ita hominem illum, qui sapiens sibi videtur, aggredi. Potest, mi homo, creatus ille esse qui dixit, *Ego in patre et pater in me est*, et, *Ambo unum sumus?* Potest vero diversus esse qui aequalem cum patre honorem obtineat? *Nemo enim novit filium nisi pater, neque patrem* Ioann. 14, 10. et 10, 30.
nisi filius. Tum illud, *Qui videt me, videt et patrem.* Quae vero Matth. 11, 27.
adversus resurrectionem ab eodem disputata sunt, servato ordine ex Ioann. 14, 9.
ipsismet illius verbis paulo post adferemus, atque ex unica voce totam illius sententiam aperiemus, et quantum sit in eo dogmate infidelitatis monstrabimus. Quamquam autem hoc argumentum saepe ille copiose tractaverit, variisque in libris ingentes nugas effutierit,

πεφλυάρηται, ὅμως τὴν ἔλεγξιν παραθήσομαι ἀφ' ὧν ἐν τῷ πρώτῳ Ψαλμῷ ἐξηγήσατο κατὰ τῶν τὴν ἀνάστασιν τῆς βεβαίας ἐλπίδος ἡμῶν πεπιστευκότων.

Κεφ. ι'. Καὶ ἔστιν ὡς λέγει, Διὰ τοῦτο οὐκ ἀναστήσονται ἀσεβεῖς ἐν κρίσει. Εἶτα, ὡς ἔθος ἐστὶν αὐτῷ ἀπὸ τῶν ἐκδόσεων φαντάζειν, Ὁμοίως, φησὶ, Θεοδοτίων, Ἀκύλας, Σύμμαχος. Εἶτα ἐπιφέρει κατὰ τῶν υἱῶν τῆς ἀληθείας σκωπτωδῶς.

Ἐντεῦθεν, φησὶν, οἱ ἁπλούστεροι τῶν πεπιστευκότων ὁρμώμενοι νομίζουσι τοὺς ἀσεβεῖς τῆς ἀναστάσεως μὴ τεύξασθαι καὶ τῆς θείας κρίσεως μὴ καταξιοῦσθαι, τί νοοῦντες τὴν ἀνάστασιν καὶ ποταπὴν τὴν κρίσιν φανταζόμενοι οὐ πάνυ σαφηνίζοντες. Κἂν δόξωσι περὶ τούτων ἀποφαίνεσθαι, ἡ βάσανος αὐτοὺς διελέγξει, τὸ ἑξῆς ἀκολούθως σώζειν οὐ δυναμένους, μὴ κεκρατηκότας τὸν περὶ ἀναστάσεως καὶ κρίσεως τρόπον. Ἐὰν οὖν πυνθανώμεθα τίνος ἀνάστασις γίνεται, ἀποκρίνονται, φησὶν, ὅτι τῶν σωμάτων ὧν περικείμεθα νῦν. Εἶτα προςεπερωτησάντων ἡμῶν πότερον τῆς οὐσίας ὅλης αὐτῶν, ἢ οὐχὶ, πρὶν βασανίσαι λέγουσιν ὅτι τῆς ὕλης. Ἐὰν δὲ προςαπορήσωμεν συμπεριφερόμενοι τῇ ἀκεραιότητι αὐτῶν, καὶ οὐδὲν περὶ τοῦ ῥευστὴν εἶναι τὴν οὐσίαν ἐξετάζοντες, εἰ συναναστήσεται τὰ ἀπορρεύσαντα ἐν φλεβοτομίαις αἵματα καὶ αἱ ἐκτακεῖσαι ἐν νόσοις σάρκες, καὶ τρίχες πᾶσαι αἱ πώποτε γενόμεναι, ἢ μόναι αἱ πρὸς τῇ ἐξόδῳ θλιβόμεναι, ὁτὲ μὲν προςκόπτουσι καὶ τῇ γινομένῃ ἐξετάσει, οἰόμενοι δεῖν ἐπιτρέπειν τῷ θεῷ ὃ βούλεται περὶ τούτων ποιεῖν, ὁτὲ δὲ δοκοῦντες συγκαταβαίνειν τὰς ἐπὶ τέλει ταύτης τῆς ζωῆς τρίχας φασὶν ἡμῖν συναναστήσεσθαι, οἱ δὲ γενναιότεροι αὐτῶν, ἵνα μὴ ἀναγκάζωνται τὰ αἵματα συναγαγεῖν
pag. 534. τῷ λόγῳ, τὰ πολλάκις ἀποκριθέντα τῶν σωμάτων ἡμῶν, καὶ τὰς μεταβαλλούσας σάρκας ἐν νόσοις εἰς ἱδρῶτας ἢ οἵαν δήποτε ὕλην, φασὶ τὰ ἐπὶ τέλει ἡμῶν ἀνίστασθαι σώματα.

Κεφ. ια'. Ταῦτά ἐστι τὰ τοῦ προειρημένου ἐθελοσόφου ἐπαπορητικὰ πρὸς τὴν ἀλήθειαν λεξείδια· ἃ ἀναγκαίως παρεθέμην εἰς παράστασιν τοῖς βουλομένοις εἰδέναι τὸν πάντα νοῦν αὐτῶν τῆς περὶ ἀναστάσεως ἀπιστίας. Καὶ γὰρ καὶ ἄλλα ἔχει μεθ' ἕτερα πολλὰ, ἐν ταύτῃ τῇ τοῦ Ψαλμοῦ ἀκολουθίᾳ. Φάσκει γὰρ, Διὰ τοῦτο οὐκ ἀναστήσονται οἱ ἀσεβεῖς ἐν κρίσει. Ἐντεῦθεν δὲ ἐπιλαμβάνεται καὶ ἐπέκεινα τῶν τὴν ἀσφαλῆ ἀνάστασιν ὁριζόντων καὶ τὴν βεβαίαν ἐλπίδα τῆς τῶν νεκρῶν ἀναστάσεως πιστευόντων, ὡς ἀκεραίων ὄντων, πολλὰ μοχθηρὰ ἐπει-

iis tamen ad illum refellendum ero contentus quae in commentariis in priorem Psalmum adversus illos disseruit qui resurrectionem certa nobis spe fiduciaque propositam esse sibi persuadent.

Est autem hic locus, *Propterea non resurgent impii in iudicio.* Deinde quemadmodum collatis editionibus fucum facere solet, Ita, inquit, Theodotio, Aquila, et Symmachus. Tum demum adversus veritatis filios cavillando ista subiicit. Cap. X. Psalm. 1.

Huius, inquit, loci auctoritate freti simpliciores quidam ex fidelibus negant malos resurrectionis compotes futuros, aut dei iudicio dignandos, neque cuiusmodi resurrectionem, aut quale sibi iudicium fingant, aperte satis exprimunt. Ac licet suam de his sententiam aperire videantur, ipsa illos inquisitio convincet ostendetque nec quod consequens est ac cohaerens servari ab illis posse, nec resurrectionis ac iudicii modum et rationem intelligit. Igitur si interrogemus cuiusnam sit futura resurrectio, Corporum, respondet, quae nos modo circumdant. Instantibus nobis, totius illorum substantiae necne futura sit, antequam diligenter istud expenderint, totius fore pronuntiant. Quod si nos ad illorum simplicitatem accommodantes, neque quicquam de fluxa ac mutabili corporum natura disputantes, dubitando rursum interrogemus, num una sanguis ille omnis resurgat, qui secta identidem vena defluxerit, ac quicquid praeterea carnis morborum vis absumpserit, necnon et pili omnes qui unquam enati sunt, an ii duntaxat qui sub obitum nostrum effloruerint, nonnunquam ad eam quaestionem offendunt ac deo permittendum esse dicunt, ut quicquid voluerit de ea constituat, interdum vero velut assentiendo solos illos nobiscum resurrecturos esse pilos asserunt quos sub vitae exitum habuerimus. At qui magis inter illos strenui sunt, ne sanguinis copiam omnem qui ex corporibus nostris plerumque secretus est, itidemque carnem omnem quae per morbos in sudorem aut aliam eiusmodi materiam abiit, in unum conferre sua oratione cogantur, qualia sub mortem extiterint resurgere corpora nostra praedicant. Ex Origenis Commentario.

Haec opinione sua sapientis illius hominis adversus veritatem propositae obiectiunculae sunt; quae mihi necessario proferendae fuerint, ut quam ille de resurrectione parum sane ac fideliter senserit, eius rei intelligendae cupidis planum omnino facerem. Nam et alia ad eundem Psalmum deinceps ad hunc modum disserit. Sic enim loquitur: *Propterea non resurgent impii in iudicio.* Tum eos redarguere pergit qui certam esse resurrectionem definiunt, et excitandos ad vitam mortuos constanti spe ac fide profitentur. Quos quidem nimium ille simplices putat, ac multa adversus illos nefaria Cap. XI.

πῶν, καὶ σοφιστικήν τινα ὑπόνοιαν ὑφηγησάμενος, οὔ τι πιστικὸν, ἀλλὰ συλλογιστικὸν πᾶν ὁτιοῦν εἰς καταστροφὴν τῶν αὐτῷ πεισθέντων, ἐκ τῶν κατὰ φύσιν ἡμῖν συμβαινόντων ἀνατρέψαι ἐπειράθη τῆς αὐτῆς ἀναστάσεως ἡμῶν ἐν ἀληθείᾳ ἐλπίδος τὴν ὁμολογίαν. Ἐγὼ δὲ τῶν καλῶς ἤδη κεκμηκότων καὶ δικαιότατα ἀνατρεψάντων τὴν πᾶσαν αὐτοῦ ἐπινενοημένην ῥητορικὴν κακουργίαν, μὴ ἐν τόλμῃ καλλίων βουλόμενος εἶναι, οἷα δὴ βραχὺς ὑπάρχων, ἀρκεσθῆναι ἐνόμισα καλῶς ἔχειν τοῖς ὑπὸ τοῦ μακαρίτου Μεθοδίου εἰς τὸν περὶ ἀναστάσεως λόγον κατὰ τοῦ αὐτοῦ Ὠριγένους εἰρημένοις, ἅτινα ἐνταῦθα κατὰ λέξιν παραθήσομαι. Καὶ ἔστι τὰ ὑπὸ Μεθοδίου οὕτως ὡς καὶ αὐτὸς ἔταξα.

ΤΩΝ ΩΡΙΓΕΝΟΥΣ ΕΠΙΤΟΜΗ ΕΚ ΤΩΝ ΜΕΘΟΔΙΟΥ *.

Κεφ. ιβ'. *Ἐντεῦθεν οἱ ἁπλούστεροι τῶν πεπιστευκότων ὁρμώμενοι νομίζουσι τοὺς ἀσεβεῖς τῆς ἀναστάσεως μὴ τεύξεσθαι, τί νοοῦντες τὴν ἀνάστασιν καὶ ποταπὴν τὴν κρίσιν φανταζόμενοι οὐ πάνυ σαφηνίζοντες. Κἂν γὰρ δοκοῦσι περὶ τούτων ἀποφαίνεσθαι, ἡ βάσανος αὐτοὺς διελέγξει, τὰ ἑξῆς ἀκολούθως σώζειν μὴ δυναμένους. Ἐὰν οὖν πυνθανόμεθα* (pag. 535.) *τίνος αὐτῶν ἡ ἀνάστασις γίνεται, ἀποκρίνονται ὅτι τῶν σωμάτων ὧν νῦν περικείμεθα. Εἶτα προςεπερωτησάντων ἡμῶν, πότερον τῶν οὐσίας αὐτῶν ὅλης, ἢ οὐχὶ, πρὶν βασανίσαι λέγουσιν ὅτι ὅλης. Ἐὰν δὲ προςαπορήσωμεν συμπεριφερόμενοι τῇ ἀκεραιότητι αὐτῶν, εἰ συναναστήσεται τὰ ἀπορρεύσαντα ἐν φλεβοτομίαις αἵματα, καὶ [1] αἱ σάρκες, καὶ [2] αἱ τρίχες αἱ πώποτε γενόμεναι, ἢ μόναι αἱ πρὸς τῇ ἐξόδῳ θλιβόμεναι, εἰς τὸ [3] τὸν θεὸν ποιεῖν ἃ βούλεται [4] προςτρέχουσιν, οἱ δὲ γενναιότεροι αὐτῶν, ἵνα μὴ [5] ἀναγκάζωνται τὰ αὐτὰ αἵματα συναγαγεῖν τῷ λόγῳ, ἃ πολλάκις ἀποκριθῆναι τῶν σωμάτων ἡμῶν συνέβη, φασὶ τὸ ἐπὶ τέλει ἡμῶν ἀναστήσεσθαι σῶμα. Προςηπορήσαμεν δὲ διὰ τὸ τρεπτὴν εἶναι τὴν σωματικὴν φύσιν καὶ τοιαῦτα. Ὥςπερ εἰς τὸ ἡμέτερον σῶμα αἱ τροφαὶ κατατάττονται καὶ μεταβάλλουσι τὰς ὁμοιότητας, οὕτως καὶ τὰ ἡμέτερα σώματα μεταβάλλονται, καὶ ἐν τοῖς σαρκοβόροις οἰωνοῖς καὶ θηρίοις γίγνονται μέρη τῶν ἐκείνων σωμάτων, καὶ πάλιν ἐκεῖνα ὑπὸ ἀνθρώπων ἢ ἑτέρων ζώων ἐσθιόμενα ἀντιμεταβάλλει καὶ γίνεται ἀνθρώπων ἢ ἑτέρων ζώων σώματα· καὶ τούτου*

* *S. Methodii De Resurrectione opusculum in compendium redegit Photius Cod. CCXXXIV. Fragmenta libri collegit Galland. Bibl. Patr. tom. III. p. 773 sqq.*

CAP. XII. — 1. αἱ *om. cod. Venet.* 2. αἱ *om. cod. Venet.* 3. τὸν θεὸν *correxit Galakerus Adverss. Misc. Posth. cap. 36. pag. 801. Codd. Venet. et Rhedig. et editi libri praebent* τῷ θεῷ, *unde Petavius, respiciens ad locum gemellum cap. 10., suspicatus est* τῷ θεῷ ποιεῖν ἐπιτρέπειν ἃ βούλε-

depromens, et sophistica quadam cavillatione aggrediens, neque quicquam ex Christiana fide petitum, sed ratiocinationibus collectum nihil non ad eos quibus persuadere potuerit evertendos afferens, ex iis ipsis quae naturaliter nobis eveniunt id assequi conatus est, ut resurrectionis nostrae cum spe certa coniunctam professionem funditus tolleret. Ego vero iis ipsis qui ante me in eum laborem incubuerunt, et oratoriis lenociniis fucatam hominis nequitiam iustissimis rationibus diluerunt, praestantior videri nequaquam affectans, utpote qui mediocri sim ingenio praeditus, contentum me iis esse oportere putavi, quae beatus Methodius in oratione quam de Resurrectione scripsit, adversus eundem Origenem disseruit. Quae quidem hic ad verbum omnia transcribam. Sic igitur Methodius, ut infra scriptum est, loquitur.

EPITOME DOGMATUM ORIGENIS EX METHODIO.

Hoc igitur loco qui ex fidelibus simpliciores sunt maxime freti, Cap. XII. impios negant resurrectionis compotes futuros, neque quid per resurrectionem intelligant satis explicant. Nam etsi suam de his sententiam pronuntiare videantur, ex ipsa tamen inquisitione constabit minime illos quae consequentia sunt posse servare. Quare si eos interrogemus, cuiusnam resurrectio futura sit, corporum utique respondent, quibus modo circumdati sumus. Sed instantibus nobis totiusque substantiae necne esse debeat, antequam diligenter expendant, totius esse definiunt. Quod si nos ad illorum simplicitatem accommodantes iterum dubitando percontemur, num una sanguis ille restituatur, qui secta identidem vena defusus est, nec non et caro omnis, ac pili, qui unquam enati sunt, an ii duntaxat qui sub exitum nostrum effloruerint, eo confugiunt ut deo permittendum esse dicant ut quae velit efficiat. At qui magis inter illos strenui sunt, ne sanguinis copiam omnem, qui ex corporibus nostris plerumque secretus est, in unum conferre oratione sua cogantur, eiusmodi resurgere corpora praedicant, qualia morientibus nobis extiterint. Contra quos illud insuper obiicimus, cum sit corporum natura mutabilis, quemadmodum in corpus nostrum alimenta digeruntur similitudinesque transmutant, ita et corpora nostra converti, et a carnivoris avibus ferisque depasta corporum illorum partes effici. Quae quidem rursum ab hominibus aut aliis animalibus devorata vicissim mutantur, et hominum vel aliorum animalium corpora fiunt, qua re

ται. *Mihi olim placuit, quod multo facilius est*, τῷ ϑεῷ ποιεῖν εἶναι ἃ βούλεται. *Cf. cap.* 13: „ἐπὶ τὸ πάντα δυνατὰ εἶναι τῷ ϑεῷ καταφεύγουσιν.“

4. προτρέχουσιν *cod. Venet. Vulgo* προστρέχουσιν.

5. *Editi libri vitiose* ἀναγκάζονται.

ἐπὶ πολὺ γιγνομένου ἀνάγκη τὸ αὐτὸ σῶμα πλειόνων ἀνθρώπων πολλάκις γενέσθαι μέρος. Τίνος οὖν ἔσται σῶμα ἐν τῇ ἀναστάσει; Καὶ οὕτως εἰς βυθὸν φλυαρίας ἡμᾶς [6] ἀλόγου συμβήσεται ἐμπίπτειν.

Κεφ. ιγ΄. Καὶ μετὰ ταύτας τὰς ἀπορίας ἐπὶ τὸ πάντα δυνατὰ εἶναι τῷ θεῷ καταφεύγουσι, καὶ λέξεις τῶν γραφῶν δυναμένας κατὰ τὴν πρόχειρον ἐκδοχὴν ὑποβάλλειν τὸ νοούμενον αὐτοῖς προφέρονται. Οἷον τὴν ἐν τῷ Ἰεζεκιήλ· Καὶ ἐγένετο ἐπ' ἐμὲ χεὶρ κυρίου, καὶ ἐξήγαγέ με ἐν πνεύματι, καὶ ἔθηκέ με ἐν μέσῳ πεδίου, καὶ τοῦτο ἦν μεστὸν ὀστέων ἀνθρώπων, καὶ περιήγαγέ με ἐπ' αὐτὰ κυκλόθεν κύκλῳ· καὶ ἰδού, πολλὰ σφόδρα ἐπὶ προσώπου τοῦ πεδίου, καὶ ἰδού, αὐτὰ ξηρὰ λίαν· καὶ εἶπε πρός με, Υἱὲ ἀνθρώπου, εἰ ζήσεται τὰ ὀστέα ταῦτα; καὶ εἶπον, Κύριε ὁ θεὸς σὺ ἐπίστασαι ταῦτα· καὶ εἶπε πρός με, Προφήτευσον υἱὲ ἀνθρώπου· καὶ εἶπον πρὸς αὐτά, Τὰ ὀστέα τὰ ξηρὰ ταῦτα, ἀκούσατε λόγον κυρίου· τάδε λέγει Ἀδωναΐ κύριος τοῖς ὀστέοις τούτοις· Ἰδοὺ ἐγὼ εἰςάγω εἰς ὑμᾶς πνεῦμα ζωῆς, καὶ δώσω εἰς ὑμᾶς
pag. 536. νεῦρα, καὶ ἐπάξω ἐφ' ὑμᾶς σάρκας, καὶ ἐκτενῶ ἐφ' ὑμᾶς δέρμα, καὶ δώσω τὸ πνεῦμά μου ἐφ' ὑμᾶς, καὶ ζήσεσθε, καὶ θήσομαι ὑμᾶς ἐπὶ τὴν γῆν ὑμῶν, καὶ γνώσεσθε ὅτι ἐγώ εἰμι κύριος. Τούτῳ μὲν οὖν πιθανωτέρῳ χρῶνται τῷ ῥητῷ. Καὶ ἄλλα δὲ λέγουσιν εὐαγγελικά, οἷον ὡς τό, Ἐκεῖ ἔσται ὁ κλαυθμὸς καὶ ὁ βρυγμὸς τῶν ὀδόντων, καὶ τό, Φοβήθητε τὸν δυνάμενον καὶ ψυχὴν καὶ σῶμα ἀπολέσαι ἐν γεέννῃ, καὶ τὸ ἐν τῷ Παύλῳ, Ζωοποιήσει τὰ ὑμῶν σώματα, διὰ τὸ ἐνοικοῦν αὐτοῦ πνεῦμα ἐν ὑμῖν.

Κεφ. ιδ΄. Χρὴ δὲ πάντα τὸν φιλαλήθη κατ' [1] αὐτὸν τούτοις τὸν νοῦν ἐπιστήσαντα περὶ τῆς ἀναστάσεως ἀγωνίσασθαι, [2] σῶσαί τε καὶ τὴν τῶν ἀρχαίων παράδοσιν, καὶ φυλάξασθαι ἐμπεσεῖν εἰς φλυαρίαν πτωχῶν νοημάτων, ἀδυνάτων τε ἅμα καὶ θεοῦ ἀναξίων. Τοῦτο οὖν εἰς τὸν τόπον διαληπτέον, ὅτι πᾶν σῶμα ὑπὸ φύσεως συνεχόμενον τῆς καταταττούσης ἔξωθέν τινα δίκην τροφῆς εἰς αὐτό, καὶ ἀποκρινούσης ἀντὶ τῶν ἐπειςαγομένων ἕτερα, ὥςπερ τὰ τῶν φυτῶν καὶ τῶν ζώων, τὸ ὑλικὸν ὑποκείμενον οὐδέποτε ἔχει ταὐτόν. Διόπερ οὐ κακῶς ποταμὸς ὠνόμασται τὸ σῶμα, διότι ὡς πρὸς τὸ ἀκριβὲς τάχα οὐδὲ δύο ἡμερῶν τὸ πρῶτον ὑποκείμενον ταὐτόν ἐστιν ἐν τῷ σώματι ἡμῶν, καί τοί γε τοῦ οἷον ἢ Παύλου ἢ Πέτρου ἀεὶ τοῦ αὐτοῦ ὄντος, οὐ τοῦ κατὰ ψυχὴν [3] μόνου, ἧς ἡ οὐσία οὔτε ῥεῖ καθ' ἡμᾶς, οὔτ' ἐπειςαγόμενόν τι

6. ἀλόγου *emendatio est Gatakeri l. l. Vulgo extat* ἀλόγους. *Petavio placuit* ἀλόγως.

Cap. XIV. — 1. *Frustra, inquit Gatakerus l. l., lectionem hanc sollicitant* κατ' αὐτῶν *adscribendo, cum scriptura sincera sit:* „Oportet veri amantem quemque apud se (κατ' αὐτὸν *vel* κατ' αὐτόν, *nam utrumvis ferri potest*), istis ubi animum adiecerit cett.“ *Coniectura* κατ' αὐτῶν, *pro* κατ' αὐτόν, *Petavii est.*

saepius repetita necesse est idem corpus complurium hominum saepius esse partem. Cuiusnam igitur in resurrectione corpus esse debebit? Ita nos velut ratione destituti in altissimas quasdam nugas atque ineptias devolvimur.

Ceterum post haec a nobis obiecta eo demum se referunt, ut omnia deo possibilia esse dicant, atque ad opinionem suam quaedam scripturae testimonia quae primo, obvioque sensu illorum confirmare dogma videntur, accommodare nituntur. Quale est Ezechielis illud: *Et facta est super me manus domini, et eduxit me in spiritu, et posuit me in medio campi, hic erat plenus ossibus hominum, et circumduxit me ad ea per circuitum: et ecce multa valde in superficie campi, et ecce ipsa arida valde, et dixit ad me, Fili hominis, si vivent ossa haec. Et dixi, Domine deus, tu ista nosti: et dixit ad me, Prophetiza fili hominis: et locutus sum ad haec, Ossa arida audite verbum domini, haec dicit dominus deus ossibus istis, Ecce enim inducam in vos spiritum vitae, et ponam in vobis nervos, et inducam in vos carnes, et extendam super vos cutem, et dabo spiritum meum in vos, et vivetis, et ponam vos in terra vestra, et cognoscetis quia ego sum dominus.* Hoc igitur probabilius ceteris testimonium est, quae commemorare solent; praeter quod nonnulla ex evangeliis expromunt. Velut: *Ibi erit fletus, et stridor dentium.* Item: *Timete eum qui potest et animam et corpus perdere in Gehennam.* Tum illud ex Paulo: *Vivificabit mortalia vestra corpora, propter inhabitantem eius spiritum in vobis.*

Cap. XIII. Ezech. 37, 1 sqq. Matth. 8, 12. Matth. 10, 28. Rom. 8, 11.

Verum omnes eos necesse est, qui veritatis studio ducuntur, cum ad ea animum adiecerint, adversus istos de resurrectione contendere, ut et quae a veteribus tradita sunt retineantur, idque caveamus, ne in sensuum inanissimorum ineptias descendamus, eorum scilicet quae neque fieri possunt et divina maiestate sunt indigna. Quocirca sic ad eum locum ratiocinari convenit. Corpus omne, quod quidem natura continetur, quae extrinsecus aliquid ei alimenti instar adsciscit, proque iis quae sufficiuntur excernit alia, cuiusmodi sunt stirpium corpora et animalium pars illa cum materia concreta, nunquam unum idemque remanere. Unde non male fluvius quidam corpus esse dicitur. Quoniam si accurate consideremus, ne biduo quidem prior materia in corporibus nostris eadem constansque perseverat, cum interim Paulus exempli gratia, vel Petrus, idem nihilominus persistat, non modo si eius animam spectes, cuius substantia neque fluxa est in nobis, neque quicquam extrinsecus inve-

Cap. XIV.

2. *Verte potius* et vindicare veterem quoque traditionem.

3. μόνον *placuit Gatakero.*

ἔχει ποτὲ, κἂν ῥευστὴ ἦν ἡ φύσις τοῦ σώματος, τῷ τὸ εἶδος τὸ χαρακτηρίζον τὸ σῶμα ταὐτὸν εἶναι, ὡς καὶ τοὺς τύπους μένειν τοὺς αὐτοὺς, [4] τοὺς τὴν ποιότητα Πέτρου καὶ Παύλου τὴν σωματικὴν παριστάνοντας, καθ' ἣν ποιότητα καὶ οὐλαὶ ἐκ παίδων παραμένουσι τοῖς σώμασι, καὶ ἄλλα τινὰ ἰδιώματα, [5] φακοὶ, καὶ [6] ἐπὶ τούτοις εἴ τί ἐστιν ὅμοιον, τοῦτο τὸ εἶδος καθ' ὃ εἰδοποιεῖται ὁ Πέτρος καὶ ὁ Παῦλος, τὸ σωματικὸν ὃ ἐν τῇ ἀναστάσει περιτίθεται πάλιν τῇ ψυχῇ ἐπὶ τὸ κρεῖττον μεταβάλλον, οὐ πάντως [7] δὲ τὸ ἐκεῖ ἐντεταγμένον τὸ κατὰ τὴν πρώτην ὑποκείμενον. Ὥςπερ δὲ τὸ εἶδός ἐστι μέχρι τοῦ
pag. 537. πέρατος, κἂν οἱ χαρακτῆρες δοκῶσι πολλὴν ἔχειν παραλλαγὴν, οὕτως νοητέον καὶ ἐπὶ τοῦ παρόντος εἶδος ταὐτὸν εἶναι τῷ μέλλοντι, πλείστης ὅσης ἐσομένης τῆς ἐπὶ κάλλιον μεταβολῆς. Ἀναγκαῖον γὰρ τὴν ψυχὴν ἐν τόποις σωματικοῖς ὑπάρχουσαν κεχρῆσθαι σώμασι καταλλήλοις τοῖς τρόποις. Καὶ ὥςπερ ἐν θαλάσσῃ ζῆν ἡμᾶς ἐνύδρους γενομένους εἰ ἐχρῆν, πάντως ἂν ἔδει παραπλησίαν ἔχειν καὶ τὴν ἄλλην ἰχθύων κατάστασιν, οὕτως μέλλοντας κληρονομεῖν βασιλείαν οὐρανῶν καὶ ἐν τόποις διαφέρουσιν ἔσεσθαι, ἀναγκαῖον χρῆσθαι σώμασι πνευματικοῖς, οὐχὶ τοῦ εἴδους τοῦ προτέρου ἀφανιζομένου, κἂν ἐπὶ τὸ ἐνδοξότερον γένηται αὐτοῦ ἡ τροπή· ὥςπερ ἦν Ἰησοῦ εἶδος, καὶ Μωσέως, καὶ Ἠλίου, οὐχ ἕτερον ἐν τῇ μεταμορφώσει παρ' ὃ ἦν.

Κεφ. ιε'. Μὴ πρόςκοπτε τοίνυν, εἰ τὸ πρῶτον ὑποκείμενον ἄν τις λέγοι μὴ ἔσεσθαι ταὐτὸν τότε, ὅπου ὁ λόγος τοῖς ἐφιστάνειν δυναμένοις δείκνυσιν, ὅτι οὐδὲ νῦν δύναται δύο ἡμερῶν εἶναι τὸ πρῶτον ὑποκείμενον. Ἄξιον δὲ ἐπιστῆναι καὶ τὸ ἑτεροῖον μὲν σπείρεσθαι, ἑτεροῖον δὲ ἀνίστασθαι. Σπείρεται γὰρ σῶμα ψυχικὸν, ἐγείρεται σῶμα πνευματικόν. Καὶ ἐπιφέρει [1] πάλιν ὁ ἀπόστολος, σχεδὸν τὴν γηΐνην ποιότητα [2] ἡμᾶς διδάσκων ἀποτίθεσθαι μέλλειν ἡμᾶς, τοῦ εἴδους σωζομένου κατὰ τὴν ἀνάστασιν· Τοῦτο δέ φημι, ἀδελφοὶ, ὅτι σὰρξ καὶ αἷμα βασιλείαν θεοῦ κληρονομῆσαι οὐ δύνανται, οὐδὲ ἡ φθορὰ τὴν ἀφθαρσίαν. Ἴσως μὲν γὰρ ἔσται [3] περὶ τὸν ἅγιον [4] διακρατούμενον ὑπὸ τοῦ [5] εἰδοποιοῦντός ποτε τὴν σάρκα, σὰρξ δὲ οὐκέτι, ἀλλ' ὅπερ ποτὲ ἐχα-

4. τοὺς *scripsi cum Petavio pro* εἰς, *quod vulgo praebent libri.*
5. *Vulgo distinctum est:* φακοὶ, καὶ ἐπὶ τούτοις εἴ τί ἐστιν ὅμοιον τοῦτο τὸ εἶδος *cett.*
6. *Fortasse* ἔτι.
7. *Sic correxi. In libris vulgo est* τόδε ἔτι.

Cap. XV. — 1. πάλιν *reposui ex auctoritate cod. Veneti. Vulgo* πᾶσιν.
2. ἡμᾶς *om. cod. Venet.*
3. περὶ τὸ ἅγιον *cod. Ven., quod etiam ferri possit. Vulgo* περὶ τοῦ τὸν ἅγιον. περιττὸν τὸ τῶν ἁγίων *coniec. Petavius.*
4. διακρατούμενοι *cod. Venet.*
5. εἰδοποιοῦντος *cod. Venet. Et Ga-*

ctum accipit, sed ob id praeterea, quod tametsi velut in perpetua fluxione sit natura corporis, eadem forma permaneat, quae corporis nostri quasi nota quaedam est propria. Non aliter atque eaedem figurae manent quae Petri Paulique corporum qualitates conformando exhibent, per quam etiam qualitatem accidit ut et cicatrices iam tum a pueris in corporibus permaneant, aliaque nonnulla quae singulorum propria sunt, cuiusmodi sunt lentigines. Ad haec licet similis corporea illa forma sit qua Petrus Paulusque potissimum constituitur, idque ipsum quod in resurrectione animae denuo tribuitur, sed in melius conversum, non tamen eadem est illa materia quae corpori primum insita fuerat. Ac quemadmodum species ipsa ad ultimum usque eadem est, etsi ingens propriarum formarum notarumque videatur esse diversitas, ita et in eo de quo agimus intelligendum est praesentem corporis speciem eandem esse cum futura, cum eo tamen, ut incredibilis in melius sit futuro mutatio. Necesse enim est animam corporeis in locis haerentem consentaneis sibi uti corporibus. Atque ut si in aquatilium naturam conversos vitam in mari degere nos oporteret, necessarium foret nos alia corporum constitutione, piscium que simili esse praeditos, ita qui coelorum regni hereditatem adituri sunt ac diversis in sedibus habitaturi, spiritalia quoque corpora habeant necesse est, non quod prior extinguatur species, tametsi in illustrius quiddam gloriosiusque mutetur.
Quemadmodum Iesu ac Moysis et Eliae species in transformatione Matth. 17.
non alia quam quae initio erat, extitit.

Non te igitur offendat, si quis primam subiectam materiam non Cap. XV.
eandem tunc futuram dixerit, cum ne biduo quidem modo eandem illam permanere posse ratio ipsa declaret, si quis mentem velit advertere. Animadversione praeterea dignum et illud est diversum
seminari corpus, diversumque resurgere: *Seminatur enim corpus* 1.Cor.15,44.
animale, resurget corpus spiritale. His omnibus eiusmodi ab apostolo subiiciantur quibus nos terrenam qualitatem sic esse posituros docet, ut ipsa in resurrectione species salva integraque permaneat.
Hoc autem dico, fratres, quoniam caro et sanguis regnum dei possi- Ibid. 50.
dere nequeunt, neque corruptio incorruptionem. Etsi enim fortasse eximium quiddam sanctorum corpori tribuendum erit, ut id carnis ipsa proprietas conservet, caro tamen amplius non erit, sed quod

takero hoc placuerat, qui Advv. Miscell. cap. 36. pag. 802. triplicem proposuit emendationem, esse videlicet reponendum Ἴσως μὲν γὰρ περίεσται τι τῶν ἁγίων, διακρατούμενον ὑπὸ τοῦ ἰδιοποιοῦντος *cett., vel potius* Ἴσως μὲν γὰρ περίεσταί τι τῶν γηΐνων, διακρατούμενον ὑπὸ τοῦ ἰδιοποιοῦντος *vel* εἰδοποιοῦντος *cett. Pro* εἰδοποιοῦντος *enim, quod nunc ex cod. Veneto reposui, vulgo extat* ἰδιοποιοῦντος. *Verto:* Fortasse enim sanctum, qui ab eo qui olim carnem con-

ρακτηρίζετο ἐν τῇ σαρκὶ, τοῦτο χαρακτηρισθήσεται ἐν τῷ πνευματικῷ σώματι.

Καὶ πρὸς τὰ ῥήματα δὲ τῶν γραφῶν ἃ παρατίθενται οἱ ἀδελφοὶ ἡμῶν, ταῦτα ἔστιν εἰπεῖν. Καὶ πρῶτον ἐν τῷ Ἰεζεκιὴλ [6] ἐπίστησον, ἐφ' οἷς βούλονται οἱ ἁπλούστεροι, κατὰ τὰς λέξεις ταύτας οὐδὲ ἀνάστασις σαρκῶν ἔσται, ἀλλὰ ὀστέων μόνον καὶ δερμάτων καὶ νεύρων. Ἅμα δὲ καὶ ὑποδεικτέον αὐτοῖς ὅτι συναρπάζοντα ὡς μὴ νενοηκότες τὸ γεγραμμένον. Οὐ γὰρ εἰ ὀστᾶ ὀνομάζεται, πάντως τὰ ὀστᾶ ταῦτα
pag. 538. νοητέον· ὥςπερ οὐδὲ ἐν τῷ, Διεσκορπίσθη πάντα τὰ ὀστᾶ μου, καὶ, Ἴασαί με, ὅτι ἐταράχθη τὰ ὀστᾶ μου, φανεροῦ ὄντος τοῦ μὴ λέγεσθαι τὰ ὀστᾶ κατὰ τὴν κοινὴν ἐκδοχήν. Ἐπιφέρεται γοῦν τῷ λόγῳ ὅτι, Αὐτοὶ λέγουσιν, ὅτι ξηρὰ γέγονε τὰ ὀστᾶ ἡμῶν. Ἆρά γε λέγουσι, Ξηρὰ γέγονε τὰ ὀστέα ἡμῶν, θέλοντες ἀνίστασθαι συναχθέντα; Ἀλλὰ τοῦτο ἀμήχανον. Λέγοιεν δ' ἂν, Ξηρὰ γέγονε τὰ ὀστέα ἡμῶν, ἐν αἰχμαλωσίαις γενόμενοι, καὶ πᾶσαν ζωτικὴν νοτίδα ἀποβεβληκότες. Ἐπιφέρουσι γοῦν τὸ, Ἀπόλωλεν ἡ ἐλπὶς ἡμῶν, διαπεφωνήκαμεν. Οὐκοῦν ἡ ἐπαγγελία τῆς ἀναστάσεως τοῦ λαοῦ ἐστιν ἀπὸ τοῦ πτώματος καὶ τῆς οἱονεὶ νεκρότητος ἣν νενέκρωνται, διὰ τὰ ἁμαρτήματα τοῖς ἐχθροῖς παραδοθέντες. Καὶ οἱ ἁμαρτωλοὶ δὲ ὑπὸ τοῦ σωτῆρος λέγονται εἶναι τάφοι γέμοντες ὀστέων καὶ πάσης ἀκαθαρσίας. Πρέπει δὲ τῷ θεῷ ἀνοίγειν τὰ μνημεῖα ἑκάστου, καὶ ἐξάγειν ἐκ τῶν μνημείων ἡμᾶς ἐζωοποιημένους, ὥςπερ ὁ σωτὴρ τὸν Λάζαρον εἵλκυσεν ἔξω.

Κεφ. ιϛ'. Τὸ δὲ, Ἐκεῖ ἔσται ὁ κλαυθμὸς καὶ ὁ βρυγμὸς τῶν ὀδόντων, πρὸς αὐτοὺς ἀπορητέον ὅτι ὡς ἐν τούτῳ τῷ βίῳ πᾶν μέλος εἴς τινα χρείαν ὁ δημιουργὸς κατεσκεύασεν, οὕτως καὶ τοὺς ὀδόντας εἰς τὸ διακόπτεσθαι τὴν στερεὰν τροφήν. Τίς οὖν χρεία τοῖς κολαζομένοις ὀδόντων; Οὐ γὰρ εἰς τὴν Γέενναν ὄντες κατ' αὐτοὺς φάγονται. Καὶ δεικτέον ὅτι οὐ πάντα παραλαμβάνεσθαι δεῖ κατὰ τὸ κείμενον. Ὀδόντας γοῦν, φησὶν, ἁμαρτωλῶν συνέτριψας, καὶ, Τὰς μύλας τῶν λεόντων συνέθλασεν ὁ κύριος· τίς δὲ οὕτως ἠλίθιος, ὡς ὑπολαμβάνειν ὅτι τηρῶν τὰ σώματα τῶν ἁμαρτωλῶν ὁ θεὸς τοὺς ὀδόντας αὐτῶν συντρίβει μόνον; Ὥςπερ οὖν εἴ τις θέλων ταῦτα οὕτως ἔχειν θλιβόμενος εἵλκετο

figuravit conservatur, circumdabit amplius non caro quidem, sed quod *cett.* *Verba* ὑπὸ τοῦ εἰδοποιοῦντος *Gatakerus una cum Petavio non de deo, carnis figuratore, intellexit, sed est interpretatus* „quod figuram et speciem carni tribuebat.“

6. *Rescripsi* ἐπίστησον ἐφ' οἷς *cett.*

in carne velut propria quaedam nota erat impressum, hoc idem in spiritali corpore consignandum erit.

Quod vero ad eos scripturae locos attinet qui a fratribus nostris obiiciuntur, ita breviter occurrere possumus, atque inprimis ei quem ex Ezechiele proferunt. Etenim si rudiorum mentem ac scopum velimus attendere, quem in prophetae verbis sibi proposuerunt, consequens est ne ullam quidem carnis resurrectionem videri, sed ossium duntaxat, cuticularum atque nervorum. Sed et illud demonstrandum ipsis est, temere illos in errorem abripi, dum scripti sententiam nequaquam percipiunt. Neque enim cum ossa nominantur, haec ipsa quae habemus ossa par est accipi, uti neque in his locis ubi scriptum est, *Dispersa sunt omnia ossa mea.* Tum: *Sana me, quoniam conturbata sunt ossa mea.* Cum sit manifestum non secundum vulgarem notionem ossium nomen usurpari. Proinde statim eadem in oratione subiungitur, *Eo quod ipso dicunt, Quoniam arida* Ps. 21, 15. Ps. 6, 3. *facta sunt ossa nostra.* Num hoc igitur dicunt, *Arida facta sunt* Ezech. 37, 21. *ossa nostra,* quod eadem in unum collecta volunt resurgere? Atqui fieri istud non potest. Quare arida ideo sua dicunt ossa quod in captivitatibus diu habiti vitalem omnem humorem amiserint. Unde et illud inferunt: *Periit spes nostra, abscissi sumus.* Quocirca re- Ibid. surrectionis illa populo facta promissio ab illa ruina ac velut enecatione, qua extincti sunt, cum propter scelera in hostium potestatem traditi sunt, quaedam est excitatio futura. Quin etiam peccatores a salvatore sepulchra esse dicuntur ossibus, atque omni immunditia plena. Sed illud divinae maiestati convenit, ut singulorum sepulchra patefaciat, et nos ad vitam instauratos e monumentis educat, perinde ac Lazarum foras salvator extraxit.

Iam vero quod hunc locum obiiciunt, *Ibi erit fletus et stridor* Cap. XVI. Matth. 8, 12. *dentium,* sic adversus illos disputandum est. Cum in hac vita membrum omne ad usum aliquem a summo illo opifice sit conditum, tum vero dentes solido cibo comminuendo sunt facti. Quid igitur dentibus opus illis est qui apud inferos cruciantur? Non enim, opinor, quicquam illic manducaturos esse dixerint. Ad haec docendi sunt, non omnia perinde accipienda esse ac scripta sunt. Quare alio loco scriptum est: *Dentes peccatorum contrivisti.* Item: *Molas leonum* Ps. 3, 7. Ps. 57, 6. *confregit dominus.* Nam quis adeo stolidus est ut sibi persuadeat deum reservatis peccatorum corporibus solos dentes conterere? Ut igitur qui haec ita se habere velit in angustias coniectus ad allego-

Vulgo: ἐπὶ τὸ ὅσον ἐφ' οἷς βούλονται *cett. Petavius ariolatus est* ἔπει ὅσον ἐφ' οἷς βούλονται *cett. Quod non intellego. Vox* ἐπίστησον *quam facile potuerit corrumpi in* ἐπὶ τὸ ὅσον *in aperto est.*

ἐπ' ἀλληγορίαν, οὕτως ζητητέον τῶν κολαζομένων τὸν βρυγμὸν τῶν ὀδόντων [1] τῆς ψυχῆς, δύναμιν μασητικὴν ἐχούσης, ἥτις ἐν καιρῷ τοῦ ἐλέγχου περὶ τῶν ἁμαρτημάτων κατὰ τὸν συγκρουσμὸν τῶν ὀδόντων, [2] ὡς ἐφρόνησε, βρύξει τοὺς ὀδόντας. Τὸ δὲ, Φοβήθητε τὸν δυνάμενον καὶ ψυχὴν καὶ τὸ σῶμα ἀπολέσαι ἐν Γεέννῃ, τάχα μὲν διδάσκει ὅτι ἀσώματος ἡ ψυχὴ, τάχα δὲ δῆλοι καὶ ὅτι χωρὶς σώματος οὐ κολασθήσεται. Περὶ οὗ φυσιολογοῦντες τὰ περὶ τοῦ εἴδους καὶ τοῦ πρώ- pag. 539. *του ὑποκειμένου εἰρήκαμεν. Καὶ τὸ παρὰ τῷ ἀποστόλῳ δὲ, Ζωοποιήσει καὶ τὰ θνητὰ ἡμῶν σώματα, θνητοῦ ὄντος τοῦ σώματος καὶ οὐ μετέχοντος τῆς ἀληθινῆς ζωῆς, δύναται παριστάνειν, ὅπου τὸ σωματικὸν εἶδος, περὶ οὗ εἰρήκαμεν, τῇ φύσει θνητὸν ὂν, ὅταν Χριστὸς φανερωθῇ ἡ ζωὴ ἡμῶν, καὶ αὐτὸ μεταβάλλει ἀπὸ τοῦ εἶναι σῶμα θανάτου, ζωοποιηθὲν διὰ τὸ πνεῦμα τὸ ζωοποιοῦν ἐκ τοῦ πνευματικὸν γεγονέναι. Καὶ τὸ, Ἐρεῖ δὲ, Πῶς ἐγείρονται οἱ νεκροὶ, ποίῳ δὲ σώματι ἔρχονται; γυμνῶς παρίστησιν ὅτι τὸ πρῶτον ὑποκείμενον οὐκ ἀναστήσεται. Εἰ γὰρ καλῶς ἐλάβομεν τὸ παράδειγμα, ῥητέον ὅτι ὁ σπερματικὸς λόγος ἐν τῷ κόκκῳ τοῦ σίτου δραξάμενος τῆς παρακειμένης ὕλης καὶ δι' ὅλης αὐτῆς χωρήσας, περιδραξάμενος αὐτῆς τοῦ αὐτοῦ εἴδους, ὧν ἔχει δυνάμεων ἐπιτίθησι τῇ ποτε γῇ καὶ ὕδατι καὶ ἀέρι καὶ πυρὶ, νικήσας τὰς ἐκείνων ποιότητας, [3] ἃς μεταβάλλει ἐπὶ ταύτην ἧς ἐστιν αὐτὸς δημιουργὸς, καὶ οὕτως συμπληροῦται ὁ στάχυς εἰς ὑπερβολὴν διαφέρων τοῦ ἐξ ἀρχῆς κόκκου, μεγέθει καὶ σχήματι καὶ ποικιλίᾳ.*

* ΠΡΟΚΛΟΥ. ΤΟΥ ΑΥΤΟΥ.

Κεφ. ιζ. *Ἃ μὲν οὖν Ὠριγένης εἰς τὴν περὶ ἀναστάσεως ἐγχειρῶν πραγματείαν ἐσπούδασε, ποικιλωτάτην ἐπιδεικνύμενος θεωρίαν, εἰσὶ τοσαῦτα ὡς ἐν ἐπιτομῇ. Ἐνθυμοῦ δὲ καὶ τὰ τούτοις ἀναθεωρῶν ἐφεξῆς. Λείπεται γὰρ τὰς ἀπὸ τῶν γραφῶν ἔτι πρὸς τοῖς εἰρημένοις μαρτυρίας παραλαβεῖν, ἵν' ὥςπερ ἀνδριὰς πάντα τὰ μέρη συμμέτρως ὁ λόγος*

Cap. XVI. — 1. τῆς ψυχῆς δύναμιν μασητικὴν οὐκ ἐχούσης *volebat Gatakerus Adverss. Misc. Posth. cap.* 36. *pag.* 803. *Sed mutanda erat sola interpunctio, cum verba* τὸν βρυγμὸν τῶν ὀδόντων *cum* τῆς ψυχῆς *omnino iungenda esse sententia adstruat. Hoc enim vult scriptor, quemadmodum is qui scripturae locos istos tam presse interpretetur fieri non possit quin demum ad allegoricam interpretationem vel ingratis trahatur, ita etiam allegorice statuendum esse de stridore dentium in iis qui summis suppliciis afficiuntur, ut sit non corporis dentium stridor, sed animae, velut corporeae, velut commandendi vim habentis, quae videlicet tempore ultimi iudicii, prout sensit cum inter vivos esset, horrebit, inque modum corporis quasi dentibus stridebit.*

2. ὡς ἔχφρων ὢν *vel* ὡςεὶ ἔχφρων ᾖ

ricum sensum vel invitus trahitur, sic de stridore dentium in his qui suppliciis afficiuntur inquirere idem oportet, quatenus anima commandendi nonnullam vim habet, qua ultimo illo iudicii tempore, cum de peccatis quaestio habebitur, perinde ut collidi dentes solent, ita tum dentibus quodammodo stridebit. Illud vero, *Timete eum qui* Matth. 10, 28.
potest et animam et corpus perdere in Gehennam, forte id unum nos docet, expertem esse corporis animam; aut illud insuper, animam sine corpore nullas poenas esse persoluturam. De quo corpore quae ad speciem ac primam subiectam materiam attinebant, paulo ante naturali ratione disseruimus. At vero dictum illud apostoli, *Vivifi-* Rom. 8, 11.
cabit et mortalia nostra corpora, cum nostrum mortale sit corpus, nec verae vitae particeps, istud ipsum declarare potest, corpoream hanc speciem de qua antea diximus, quae natura mortalis est, *cum* Col. 3, 4.
Christus apparuerit vita nostra, et ipsam ab eo statu, quo peccati corpus erat, esse mutandam, posteaquam scilicet ac vivifico spiritu ad vitam restituta fuerit atque in spiritalem naturam transierit. Praeterea istud ipsum: *Sed dicet aliquis, Quomodo resurgunt mortui, aut* 1.Cor.15,35.
quali cum corpore venient? palam illud ostendit, primam subiectam materiam nullo modo resurgere. Nam si recte propositum ab apostolo exemplum accipimus, dicendum est, seminis naturam, quae frumenti grano insita est, vicina correpta materia totam illam pervadere, atque illius pariter correpta specie vires suas in id quod ante terra, aqua, aër ignisque fuerat transfundere, earumque superatis qualitatibus in illam ipsam cuius est artifex convertere, atque hoc modo perfici spicam, quae a priore grano mirum in modum et magnitudine et figura et varietate dissideat.

EX EODEM PROCLO.

Haec sunt, ut in compendium redigam, quae contra resurre- Cap.XVII.
ctionem Origenes magno studio disseruit, in eoque argumento summam tractandi varietatem adhibuit. Tu vero quae deinceps sequuntur diligenter considera. Hoc enim restat, ut allatae e sacris literis auctoritates ad ea quae dicta sunt adiungantur, ut tanquam statua quaedam, sic oratio nostra suis omnibus proportione servata parti-

placuit Gatakero l. l., qui vertit: „Quaerendum idem (nempe allegoricum aliquid) in stridore dentium, quum anima utique mandendi vim nulla habeat, qua quis tempore illo quo de peccatis coarguetur, prout collidi solent dentes (inter mandendum scilicet), ac si amens esset dentibus stridebit."

3. ἅς, *quod vulgo desideratur, repetii ex vocabulo eo quod praecedit* ποιότητας.

* *De hac inscriptione, quae vulgo indistincte legitur, ita ut quae huc usque disputata sunt non Methodii, sed Procli esse videantur, cuique diffisus Cornarius vertit,* „Hactenus Methodius Origenis verba retulit: sequuntur nunc Procli verba, quae item Methodius recenset," *recte statuit Petavius in Animadv. ad h. l.*

ἑαυτοῦ λαβὼν ὅλως ἐκ πλήρους ᾖ κατεσκευασμένος, ἀλλὰ μηδὲν ἔχων ἐνδεὲς τῶν εἰς σχῆμα καὶ κάλλος συναγομένων. Τί οὖν αἱ γραφαὶ συνᾴδουσι τούτοις, ἐπικρατύνουσαι πρὸς συμπλήρωσιν διαγωγῆς κρείττονος τὸν ἄνθρωπον, φραστέον. Ταύτας γὰρ ἐάν τις οἷός τε ᾖ, μὴ παρακόπτων τοῦ δέοντος, ἀκριβῶς νοεῖν, εἴσεται τὴν ἀνάστασιν ἐπὶ τούτου μὴ χρῆναι παραλαμβάνεσθαι τοῦ σώματος, ἅτε ἀδυνατοῦντος ἀτρέπτου δι' αἰῶνος μένειν, ἀλλὰ ἐπὶ τοῦ πνευματικοῦ, ἐν ᾧ αὐτὸς
pag. 549. ὁ καὶ νῦν ἐν τούτῳ διασωζόμενος χαρακτὴρ τηρηθήσεται· ἵν' [1] ἕκαστος ἡμῶν καὶ κατὰ τὴν μορφὴν ὁ αὐτὸς ᾖ, καθάπερ ἐλέχθη καὶ Ὠριγένει. Οὕτω γὰρ ἐκεῖνος ἔσεσθαι τίθεται τὴν ἀνάστασιν. Ῥευστοῦ γὰρ ὄντος τοῦ σώματος τοῦ ὑλικοῦ, καὶ μηδέποτε μένοντος ἐφ' ἑαυτῷ, κἂν τὸ βραχὺ, ἀλλὰ προςγινομένου καὶ ἀπογινομένου περὶ τὸ εἶδος τὸ [2] χαρακτηρίζον τὸν ἄνθρωπον, ὑφ' οὗ καὶ συγκρατεῖται τὸ σχῆμα, [3] ἀνάγκη, φησὶ, τὴν ἀνάστασιν ἐπὶ μόνου τοῦ εἴδους σώζεσθαι [4] δεῖν προςδοκᾶν. Καὶ ἵνα μὴ εἴπῃς ὅτι, [5] Καὶ λανθάνει
pag. 561. [6] σκοτεινῶς. Ἐκεῖνος γὰρ τοῦτο [7] διέλαβεν· ἐγὼ δέ σοι σαφέστερον ὧδε τὸν νοῦν τοῦτον ἐξηγήσομαι. Ἤδη γὰρ πάντως ἑώρακας δέρμα ζώου, ἢ ἄλλο τι τοιοῦτον γεμισθὲν ὕδατος, ὅπως ἐὰν πρὸς ὀλίγον κενούμενον πρὸς ὀλίγον πληροῖτο, ἀεὶ τὸ εἶδος τὸ αὐτὸ δείκνυσιν. Οἷον γὰρ ἂν ᾖ τὸ περιέχον, ἀνάγκη πρὸς αὐτὸ καὶ τὸ ἐντὸς σχηματίζεσθαι. Φέρε γὰρ, ὑπεκρέοντος τοῦ ὕδατος εἴ τις προςβάλλει τοσοῦτον ὅσον ἐκχεῖται, μὴ ἐῶν τὸν ἀσκὸν ἀθρόως κενωθῆναι τοῦ ὕδατος, εἰ μὴ ἀνάγκη τοιοῦτο φαίνεσθαι τὸ προςτιθέμενον οἷον καὶ τὸ πᾶν, διὰ τὸ εἶναι καὶ τὸ περιέχον τὸ αὐτὸ [8] περὶ ὃ εἰςρεῖ καὶ ἀπορρεῖ, τὸ ὕδωρ. Καὶ δὴ καὶ τὸ σῶμα τούτοις ὁ ἐθέλων ἀπεικάζειν οὐκ αἰδεσθήσεται. Ὡςαύτως γὰρ καὶ τὰ ἀπὸ τῆς τροφῆς ἀντειςαγόμενα ἀντὶ τῶν ὑπεξεωθεισῶν σαρκῶν εἰς τὸ σχῆμα τοῦ περιέχοντος εἴδους μεταβαλοῦνται, καὶ ὁπόσον μὲν ἂν κατὰ τοὺς ὀφθαλμοὺς διαχυθῇ, τοῖς ὀφθαλμοῖς ἔοικεν, ὁπόσον δὲ κατὰ τὸ πρόςωπον, τῷ προςώπῳ, ὁπόσον δὲ κατὰ τὰ ἕτερα, τούτοις· ὥςτε τὸν αὐτὸν ἕκαστον φαίνεσθαι, οὐκ οὐσῶν τῶν σαρκῶν ἐν ταὐτῷ τῶν πρώτων ὑποκειμένων, ἀλλὰ τοῦ εἴδους, καθ' ὃ εἰδοποιοῦνται τὰ προςγινόμενα. Καὶ τοίνυν εἰ μή ἐσμεν οἱ αὐτοὶ, κἂν ἐπὶ ὀλίγας ἡμέρας, τῷ σώματι, ἀλλὰ τῷ εἴδει ἐν τῷ σώματι, τοῦτο γὰρ μόνον ἕστηκεν ἀπὸ γενέσεως, — πολλῷ οὖν

Cap. XVII. — 1. ἕκδετος *cod. Venet.*

2. χαρακτηριάζον *cod. Venet.*

3. *Vocem* ἀνάγκη *in cod. Rhedig. et edit. princ., nullo lacunae signo, excipiunt verba* τῶν εἰρημένων *cett., quae sunt cap.* 24. (*cap.* 46. *pag.* 570. *D. edit. Petav.*) *Petavius* (*cf. eius Animadv. ad h. l.*) *ordinem turbatum bene agnovit; cui nunc demum, ope cod. Veneti, mederi licuit.*

4. δεῖν *cod. Venet. Vulgo* δεῖ.

5. καὶ λανθάνει *cod. Venet.* οὐχ ἀεὶ μανθάνει *vulgata scriptura est.* εἰς ἀεὶ (*vel etiam* οὕτως ἀεὶ) μανθάνει *Gataker. Advv. Miscell. cap.* 36. *pag.* 804., *qui* μανθάνειν docere *interpretatur.*

bus constans absoluta sit penitusque perfecta, neque quicquam in illa ad figuram pulchritudinemque desideretur. Igitur quemadmodum cum his sacrae literae consentiant, atque ad melioris vitae complementum hominem confirment, oratione declarandum est. Illas enim qui integras nec opportunis partibus defectas intelligentia penetrare poterit, resurrectionem is sciet nequaquam ad hoc corpus oportere referri, quod in sempiternum immutabile esse non potest, sed ad spiritale potius, in quo eadem, quae mortali huic inest, nota ac figura conservabitur, adeo ut unusquisque nostrum, quod ad formam corporis attinet, idem existat, ut et Origenes affirmat. Ita enim futuram et ille resurrectionem existimat. Cum enim corpus hoc materiae concretum fluxum sit, nec in suo unquam statu vel brevissimo spatio consistat, sed perpetuam accessionem decessionemque circa illam formam habeat, quae est hominis nota ac velut character quidam proprius, a quo figura ipsa continetur, resurrectionem, inquit, soli hominis formae convenire putandum est. Ac ne illud fortasse dicas, obscure istum discenda illa proposuisse, hoc ipsum ille disputavit. Ego vero clarius illorum verborum sensum hunc in modum aperiam. Vidisti, opinor, aliquando pellem animalis, aut simile quiddam aqua repletam. Hoc si paulatim exinanitum paulatim impleatur, eandem perpetuo formam retinet. Cuiusmodi enim est id quod continet, necesse est ei quod intus est conformari. Age enim, cum aqua diffluit, si quis tantundem effundat quantum elabitur, neque utrem aquae confertum exhauriri patiatur, necesse est tale videri quod additur quale est totum eo quod idem illud ipsum est quod continet, fluente ac diffluente liquore. Qui igitur corpus cum his rebus conferre voluerit, citra pudorem ullum hoc faciet. Eodem quippe modo alimentum, quod amissarum carnium loco substituitur, in continentis formae figuram speciemque mutatur. Ex quo quicquid in oculos diffunditur, oculorum fit simile, ut et vultus quod in vultum dispergitur, ac ceterorum similia redduntur hoc modo, quae per illa dissipantur. Ex quo fit ut idem esse cuilibet videatur, cum interim carnes, quae prima erat corporis materia, non eundem statum retineant, sed forma duntaxat, a qua ea configurantur quae ad corpus accedunt. Iam vero si ad paucissimos dies non iidem, quod ad corpus attinet, maneamus, sed sola quae corpori insidet forma — id enim unum ab ortu constans ac stabile remanet, — multo magis

6. σκοτεινῶς *cod. Rhedig. edit. princ. et edit. Petav.* σκοπεῖ ὡς *cod. Venet.*

7. δὲ ἔλαθεν *cod. Venet.* — „distinxit" *vertit Cornarius, quod Petavius* „disputavit".

8. περὶ ὃ εἴςρεῖ *emendavit Gatakerus Advv. Misc. Posth. cap.* 36. *pag.* 804. *Vulgo scriptum est* περιθεὶς, ῥεῖ.

μᾶλλον οὐδὲ τότε ο αὐτοὶ κατὰ τὴν αὐτὴν σάρκα ἐσόμεθα, ἀλλὰ κατὰ τὸ εἶδος τὸ καὶ νῦν ἀεὶ διασωζόμενον ἐν ἡμῖν καὶ μένον. Ὃ γὰρ ἐκεῖ τὸ δέρμα, τοῦτο τὸ εἶδος ἐνθάδε, ὃ δὲ ἐκεῖ τὸ ὕδωρ ἐπὶ τῆς εἰκόνος, τοῦτο ἐνταῦθα τὸ προςγινόμενον καὶ ἀπογινόμενον. Ὥςπερ οὖν νῦν τοῦ σώματος οὐκ ὄντος τοῦ αὐτοῦ ὅμως ὁ χαρακτὴρ ὁ κατὰ τὴν αὐτὴν μορφὴν ὁ αὐτὸς σώζεται, οὕτως εἰ καὶ ὄντος τοῦ σώματος τοῦ αὐτοῦ, εἰς τὸ ἐνδοξότερον τὸ εἶδος αὐξηθὲν οὐκέτι ἐν φθαρτῷ, ἀλλ' ἐν ἀπαθεῖ καὶ πνευματικῷ δειχθήσεται σώματι, ὥςπερ οἷον τῷ Ἰησοῦ κατὰ τὴν μεταμόρφωσιν ἦν, ὅτε εἰς τὸ ὄρος ἀνέβη μετὰ Πέτρου καὶ τοῦ Μωϋσέως καὶ τοῦ Ἠλίου τῶν ὀφθέντων αὐτῷ.

Κεφ. ιη'. (λϛ'.) Καὶ ταῦτα μὲν μέχρι τοιούτου διεσκέφθω. [1] Οὕτως γὰρ ὡς ἐν κεφαλαίῳ τῶν Ὠριγένους δογματισμῶν ὁ νοῦς. Ἐὰν δέ τις τῶν ἀμ-
pag. 561. φισβητούντων προβαλλόμενος τὸ σῶμα τοῦ Χριστοῦ, διὰ τὸ πρωτότοκον τῶν νεκρῶν καὶ ἀπαρχὴν αὐτὸν εἰρῆσθαι τῶν κεκοιμημένων, λέγοι ὅτι καθάπερ ἐκεῖνος ἀνέστη, καὶ τὰ πάντα ὡςαύτως ἐκεῖνο δεῖν προςδοκᾶν ἀναστήσεσθαι, ἵνα ὥςπερ Χριστὸς ἐγήγερται, οὕτως καὶ ὁ θεὸς τοὺς κοιμηθέντας διὰ τοῦ Ἰησοῦ ἄξει σὺν αὐτῷ, ἐγήγερται δὲ τὸ τοῦ Ἰησοῦ καὶ τὰς σάρκας ἃς εἶχε, καὶ τὰ ὀστᾶ, καθάπερ ἐπείσθη καὶ Θωμᾶς, — λέξωμεν, Ἀλλὰ τὸ τοῦ Χριστοῦ σῶμα οὐκ ἦν ἐκ θελήματος ἀνδρὸς, ἡδονῆς ὕπνῳ συνελθούσης, ἐν ἀνομίαις συλληφθὲν καὶ κισσηθὲν ἐν ἁμαρτίαις, ἀλλὰ ἐκ πνεύματος ἁγίου καὶ δυνάμεως ὑψίστου καὶ παρθένου, τὸ δὲ σὸν ὕπνος ἐστὶ καὶ ἡδονὴ καὶ ῥύπος. Καὶ διὰ τοῦτο καὶ ὁ σοφὸς Σειρὰχ, Ἐν γὰρ τῷ ἀποθνήσκειν ἄνθρωπον, ἀποφθέγγεται, κληρονομήσει ἑρπετὰ καὶ θηρία καὶ σκώληκας. Καὶ ἐν ὀγδοηκοστῷ Ψαλμῷ ἑβδόμῳ, Μὴ τοῖς νεκροῖς ποιήσεις θαυμάσια, ἢ ἰατροὶ ἀναστήσουσι, καὶ ἐξομολογήσονταί σοι; μὴ διηγήσεταί τις ἐν τάφῳ τὸ ἔλεός σου, καὶ τὴν ἀλήθειάν σου ἐν τῇ ἀπωλείᾳ; μὴ γνωσθήσεται ἐν τῷ σκότει τὰ θαυμάσιά σου, καὶ ἡ δικαιοσύνη σου ἐν γῇ ἐπιλελησμένῃ; Καὶ ἕτερα δὲ ῥήματα τοιαῦτα τῷ βουλομένῳ συνάγειν ἐκ τῶν γραφῶν πάρεστιν ὅσα, ἵνα μὴ πάντων ἡμεῖς εἰς πλῆθος μνημονεύοντες πολυπλασίονα τῶν εἰρημένων αὐξήσωμεν λόγον.

* ΛΟΙΠΟΝ ΜΕΘΟΔΙΟΥ.

Κεφ. ιθ'. (μ'.) Ὡς οὖν ἐπαύσατο [1] μόγις καὶ ὁ Πρόκλος, καὶ σιγὴ τῶν παρόντων ἦν ἐπὶ πολὺ, καταβληθέντων [2] ἱκανῶς πρὸς ἀπιστίαν, καὶ ἐγὼ ᾐσθόμην ὅτι τῷ ὄντι πεπαυμένος [3] εἴη, [4] ἠρέμα τὴν κεφαλὴν ἐπάρας καὶ ἀναπνεύσας, ὥςπερ οἱ πλέοντες τοῦ κύματος ἤδη λωφῶντος, ὑποτρέμων ἔτι καὶ σκοτιζόμενος (ἐβεβλήμην γὰρ, ὡς πρὸς ὑμᾶς εἰρήσθω,

CAP. XVIII. — 1. *Forlasse* Οὗτος.
* *Inscriptio haec* Λοιπὸν Μεθοδίου *desideratur in cod. Rhedig.*
CAP. XIX. — 1. μόλις *cod. Venet.*

non iidem, quod ad carnem spectat, illo tempore esse poterimus, sed forma tantum, quae in nobis perpetuo modo conservatur ac persistit. Nam quod in superiori illa similitudine pellis est, idem est hoc loco forma; quod autem illic aqua, id ipsum in proposito nostro illud est cuius accessio fit aut decessio. Quare quemadmodum, etsi non idem modo corpus est, eadem nihilominus formae species ac figura retinetur, ita licet non idem corpus existat, forma ipsa praestantiorem in statum evecta non iam in corruptibili corpore, sed passionis experte spiritalique comprehendetur. Cuiusmodi Iesus habuit, Matth. 17. Marc. 9.
post transfigurationem hanc quando in montem cum Petro, Moyse et Elia, qui tum illi apparuerunt, ascendit.

Sed de his hactenus; haec enim est Origenis dogmatum summa Cap. XVIII.
comprehensio. Quod si quis adversariorum Christi corpus obiiciat, (XXXIX.)
eo quod *primogenitus mortuorum ac primitiae dormientium* appelletur, Apoc. 1, 5. et
itaque colligat, quemadmodum ille resurrexit, ita et resurrectura 1. Cor. 15, 20.
cetera videri, ut *quomodo Christus resurrexit, sic et deus mortuos per* 1. Thess. 4, 14.
Iesum adducat, cum ipso porro Iesu corpus sic esse a mortuis excitatum, iisdem uti carnibus ossibusque constaret, id quod Thomae persuasum fuerit, nos ea sic respondeamus, Christi corpus non *ex* Ioann. 1, 13.
voluntate viri ac voluptate somnique congressione in iniquitatibus esse Sap. 7, 2. Luc. 1, 35.
susceptum, et in peccatis genitum, sed de spiritu sancto et altissimi virtute ac virgine procreatum, tuum autem somno ac voluptate sordibusque constare. Quam ob caussam sapiens ille Sirach pronuntiat: *Cum enim morietur homo, hereditabit serpentes, et bestias, et* Sir. 10, 11.
vermes. Ad haec LXXXVII. Psalmo: *Numquid mortuis facies mi-* Ps. 87, 10.
rabilia, aut medici suscitabunt et confitebuntur tibi? Numquid narrabit aliquis in sepulchro misericordiam tuam, et veritatem tuam in perditione? numquid cognoscentur in tenebris mirabilia tua, et iustitia tua in terra oblivionis? Eiusmodi et alia scripturae verba cuilibet colligere licet; ne si omnia copiose complecti ac commemorare velimus, maiorem in modum excrescat oratio.

SEQUITUR EX METHODIO.

Cum Proclus aegre dicendi finem fecisset, diu iis qui aderant Cap. XIX. (XL.)
tacentibus et ad infidelitatem abunde prostratis, posteaquam desiisse illum animadverti, sensim caput attollens ac respirans, ut ii qui in mari navigant, ubi sedari tempestas coepit, tremens adhuc nihilominus, ac vertigine correptus (ut enim quod res est ingenue vobis

2. ἱκανῶν *cod. Venet.*
3. εἴη *cod. Ven. Vulgo* εἴην.
4. ἠρεματικὴν *cod. Ven., fortasse pro* ἠρέμα τι τήν.

τῇ δεινότητι [5] τῶν λόγων κατηντλημένος), τρέπομαι πρὸς τὸν Αὐξέντιον, καὶ καλέσας αὐτὸν, Ὦ Αὐξέντιε, νομίζω, ἔφην, μὴ μάτην λελέχθαι τὸ ποιητικὸν,

[6] Σύν δύο ἐρχομένω.

Καὶ γὰρ οἱ ἀνταγωνισταὶ δύο. Διὸ σθένος [7] ἀμφότεροι [8] ἀμφοτέρων ἐπέχομεν. Συναντιλήπτορα γὰρ καὶ συναγωνιστὴν αἱροῦμαί σε τῆς πρὸς αὐτοὺς μάχης, μὴ ἡμῖν ὁ Ἀγλαοφῶν μετὰ Πρόκλου καὶ Ὠριγένους τοῖς [9] ἀνατρεπτικοῖς καθ' ἡμῶν ὡπλισμένος λόγοις [10] ἐκπέρσῃ τὴν ἀνάστασιν. Ἄγε οὖν ἀντιπαραταξώμεθα [11] τοῖς σοφίσμασιν αὐτῶν, μηδὲν τῶν ἀντιλογικῶν, οἷς δειλοὶ βάλλονται, φοβηθέντες. Καὶ γὰρ οὐδὲν ἐν αὐτοῖς ὑγιὲς οὐδὲ πάγιον, ἀλλὰ φαντασία μόνον εὐπρεπὴς ῥημάτων, πρὸς κατάπληξιν τῶν ἀκουόντων, καὶ πειθὼ κατεσκευασμένη, οὐ τῆς ἀληθείας, οὐδὲ τοῦ συμφέροντος χάριν, ἀλλὰ τοῦ δεῖξαι τοῖς παροῦσι τοὺς λόγους σοφούς. Ἐντεῦθεν γοῦν τοῖς πολλοῖς οἱ ἐκ τῶν εἰκότων ἔσθ' ὅτε λόγοι πρὸς κάλλος καὶ ἡδονὴν πεποικιλμένοι μᾶλλον τῶν εἰς ἀκρίβειαν ἐξητασμένων νομίζονται σπουδαιότεροι, τῶν διδασκάλων οὔτε πρὸς τὸ βέλτιστον ἁμιλλωμένων ἔτι καὶ σεμνὸν, ἀλλὰ πρὸς τὸ ἀρέσαι καὶ εὐημερῆσαι, καθάπερ οἱ σοφισταὶ, οἳ μισθὸν αἱροῦνται τῶν λόγων, ἐπευωνιζόμενοι τῆς σοφίας ἐπαίνοις. Τὸ μὲν οὖν παλαιὸν βραχὺ παντελῶς τὸ περὶ τὴν ἐξήγησιν ἦν, φιλοτιμουμένων μὴ τέρπειν, ἀλλὰ ὠφελεῖν τοὺς παρόντας τῶν τότε· ἀφ' οὗ δὲ λοιπὸν εἰς ῥαστώνην ἐπετράπη πᾶσιν ἑρμηνεύειν ἐξεῖναι τὰς γραφὰς, καὶ πάντες εἰς τὸ ποιῆσαι μὲν τὸ καλὸν ἠμβλύνθησαν, πλησθέντες οἰήματος, περὶ τὸ λογικεύεσθαι δὲ προέκοψαν καλλωπιζόμενοι, ὡς πάντα γινώσκειν ὑπάρχοντες δεινοὶ, διδάσκεσθαι μὲν ὁμολογεῖν χρήζειν αἰδεσθέντες, φιλονεικεῖν δὲ μᾶλλον καὶ προπηδᾶν, ὡς οἱ διδάσκαλοι, — θρασυνθέντες γοῦν ἐντεῦθεν τοῦ μὲν εὐλαβοῦς καὶ πρᾴου καὶ πάντα δύνασθαι ποιεῖν τὸν θεὸν ὧν ἐπηγγείλατο [12] πιστεύειν ὠλίσθησαν, εἰς δὲ ζητήσεις κενὰς καὶ βλασφημίας ἥκασι, μὴ νοήσαντες ὡς οὐ τὰ ἔργα τῶν λόγων ἐπετηδεύθη χάριν, ἀλλὰ τῶν ἔργων οἱ λόγοι, ὥςπερ ἰατρικῆς δι' ὧν τοὺς κάμνοντας δεῖ σώζεσθαι τῶν λόγων ἔργοις κυρουμένων, ἵν' ἡρμοσμένων ἡμῶν πάντα συμφώνως ὁ νοῦς εἴη τοῖς ἀρίστοις λόγοις τὰ ἤθη τῇ γλώσσῃ συνῳδὰ παρέχων, δίκην

pag. 563.

5. κατηντλημένος, τῷ λόγῳ τρέπομαι cod. Venet.

6. σὺν δύο ἐρχομένω cod. Venet. σύν τε δυοῖν ἐρχομένοιν vulgo extat.

7. ἀμφότεροι om. cod. Venet.

8. ἀμφοτέρων περ σχῶμεν cod. Venet. Bene.

9. ἀνατρεπτικοῖς cod. Venet. Vulgo ἅμα τρεπτικοῖς, vitiose.

10. ἐκπέρσῃ cod. Venet. ἐκπέσῃ vitiosa reliquorum librorum scriptura est.

11. τῶν σοφισμάτων αὐτῶν cod. Ven.

12. πιστεύειν ego. τὸ πιστεύειν habent libri. Petavius suspicabatur τοῦ πιστεύειν.

fatear, tanta dicendi copia ac facultate perculsus ac velut obrutus fueram) ad Auxentium conversus et eum appellans, Auxenti, inquam, non temere poëticum illud usurpatum arbitror,

Dum iuncti properant ambo. Il. K, 224.

Duo quippe adversarii sunt. Quare amborum vires ambobus nobis sustinendae sunt. Te enim pugnae adversus illos et certaminis adiutorem et opitulatorem eligo, ne Aglaophon cum Proclo et Origene aptis ad refellendum rationibus instructus resurrectionem evertat. Igitur sophisticis illorum calumniis resistendum nobis est, neque illorum rationes, quae ignavos impetunt, ullo modo metuendae. Nihil enim in his sanum est atque firmum, sed verborum duntaxat ornatus ad pompam et ad audientium admirationem instructus, ac persuadendi quoddam lenocinium non veritatis, neque utilitatis ullius, sed ostentationis caussa comparatum, ut callidos ac solerter excogitatos sermones auditoribus exhibeant. Atque hinc nonnunquam accidit ut quae ex verisimilibus deductae sunt orationes, et ad speciem ac voluptatem ornatae, aliis praestantiores videantur, quae ad accuratissimam veritatis normam exactae sunt. Ex quo fit ut et doctores non iam ei quod optimum sit gravitatisque plenum studeant, sed id duntaxat quod placet, quodque secundo favore fertur, respiciant, uti sophistae facere consueverunt, qui orationum suarum mercedem accipientes doctrinae et eruditionis suae laudibus tanquam vili quodam pretio redimuntur. Ac priscis quidem temporibus summa erat in explicando brevitas, cum in id illi potissimum incumberent, non ut oblectarent, sed ut prodessent auditoribus. Posteaquam vero explanandarum scripturarum nullo cuique negotio facultas est concessa, universique fastu ac sui opinione inflati ad id quod rectum est obtusi atque hebetes facti sunt, magnos vero in ratiocinandi subtilitate progressus fecerunt ac fucum in dicendo consectati sunt, perinde ac rerum omnium scientia praediti, cum et doceri se opus habere confiteri erubescerent, et contentiose iurgari ac prosilire praeceptorum instar mallent, tum demum accidit ut temeritate quadam elati ab religiosa mansuetaque animi affectione ac credulitate illa desciscerent, qua deum posse quicquid promiserit efficere sibi persuaderent, contra vero ad inanes quaestiones ac blasphemias deduci se paterentur; ne illud quidem animadvertentes, non opera ipsa sermonum, sed sermones operum gratia comparari, ut in medicina usu venire cernimus, in qua nimirum sermones factis illis comprobantur quibus aegrotum repraesentari salutem oportet. Quo videlicet aptissimo quodam concentu temperati eiusmodi mentem habeamus, quae praestantissimis sermonibus consentaneos mores prae

λύρας, ἀλλὰ μὴ ἄμουσα καὶ ἀσύμφωνα. Ἐπὶ γὰρ τῷ κτήσασθαι κατα ἀλήθειαν ἀγωνίζεσθαι δεῖ τὸ δίκαιον ἀσκεῖν, καὶ οὐκ ἐπὶ τῷ δοκεῖν, χωλῶς ἐπιβαίνοντα σοφίας, καὶ πρὸς δόξαν μᾶλλον ἢ πρὸς ἀλήθειαν ἁμιλλώμενον, πρόθυρα καὶ προσχήματα καὶ πᾶσαν ὑποδυσάμενον τῆς ὑποκρίσεως τὴν σκευήν.

Κεφ. κ'. (μα'.) pag. 564. *Εἰσὶ γὰρ, εἰσὶν [1] οἱ λόγων τραγικῶς κεκοσμημένων [2] προβολεῖς καθάπερ γυναῖκες [3] αἱ ἔξωθεν ὡραϊζόμεναι πρὸς ἀπάτην ἐντέχνως, ἐὰν μή τις πεφυλαγμένως αὐταῖς τῶν ἔτι νεωτέρων προςβλέψῃ τῇ πίστει, καὶ νηπτικῶς. Ὅθεν εὐλαβητέον πρὸ τοῦ καταμαθεῖν ἀσφαλῶς εἰς τὴν καρδίαν εἰςδέξασθαι [4] τὸν τοιοῦτον λόγον. Καὶ γὰρ φθάνουσιν οἱ ἐξαπατῶντες πολλάκις τοὺς διδάσκοντας· καθάπερ καὶ αἱ [5] Σειρῆνες τοὺς φεύγοντας αὐτὰς κρύπτουσι μακρόθεν τὸ μισάνθρωπον τῇ καλλιφωνίᾳ. Ἢ πῶς, ὦ Αὐξέντιε; ἔφην ἐγὼ σοὶ ταὐτὰ [6] τίθεσθαι. Καὶ ὃς [7] ἀπεκρίνατο, Οὕτως καθάπερ καὶ σύ. Οὐκοῦν πάντως τῶν ἑτεροδόξων τοὺς σοφιστὰς μιμητὰς εἰδώλων ἀληθείας εἶναι λέγομεν, ἀλήθειαν [8] μὴ γινώσκοντας, καθάπερ ζωγράφους. Καὶ γὰρ οὗτοι μιμεῖσθαι μὲν ναυπηγοὺς καὶ πλοῖα καὶ κυβερνήτας ἐπιχειροῦσι, ναυπηγεῖν καὶ κυβερνᾶν μὴ γινώσκοντες. Οὐκοῦν ἀποξέοντες θέλεις τὰ χρώματα πείθωμεν αὐτῶν τὰ θαυμάζοντα τὰς τοιαύτας γραφὰς παιδία ὅτι οὔτε τὸ πλοῖον πλοῖόν ἐστιν, οὔτε ὁ κυβερνήτης κυβερνήτης, ἀλλὰ τοῖχος ἔξωθεν πρὸς τέρψιν χρώμασι καὶ γραφαῖς κεκοσμημένος, καὶ ὅτι μιμηταὶ μὲν εἰδώλου πλοίου καὶ κυβερνήτου οἱ δημιουργήσαντές εἰσιν ἀπὸ τῶν χρωμάτων ταῦτα, καὶ οὐ [9] πλοίου; Μακρὸν [10] τῷ ἀκοῦσαι ποθοῦντι τὸ προοίμιον, ἀλλὰ ὠφέλιμον, ἔφην, ὦ ἄριστε. Τὰ γὰρ ἀπὸ τῶν θεοπνεύστων γραφῶν ῥήματα, οἷς ἐπιχρωματίζοντες ποικίλλουσιν ἑαυτῶν πρὸς ἀπάτην οὗτοι τὴν δόξαν, δικαιοσύνην αὐθαδῶς καὶ ἀλήθειαν ὀνομάζοντες, οὐ γινώσκοντες ὅλως δικαιοσύνην, εἴ τις ἀφέλοιτο, πόσον οἴει γυμνωθέντας αὐτοὺς τῶν τοιούτων ὀνομάτων χλευασθήσεσθαι; Πάνυ πολὺ, ἔφη. Πότερον οὖν, ὦ Αὐξέντιε, ἣν δὲ*

CAP. XX. — 1. *Libri habent* οἳ, *quod correxi.*

2. προβολεῖς *mea est emendatio. Libri omnes praebent* προςβολαῖς. *Petavio placuit* προβολαῖς. *Vocabulo* προβολεὺς *ipse Epiphanius usus est haer.* 31, 2. *et* 12.

3. αἱ *om. cod. Venet.*

4. τὸν *om. cod. Venet.*

5. σιρῆναι *cod. Venet.* Sirena *Latinam vocabuli formam tuetur pars codd. mss. Tertull. Apolog. cap. 7., item Gloss. Vet. Latin. edit. ab Ang. Maio in Auctt. Class. e Vatic. Codd. editis tom. VII. testimoniis trinis:* „Sirena, umbra in mari, hoc est lamia.“ „Sirenae, bestiae electissimae maris.“ „Sirenarum cantus, hoc iuxta physicos, qui dicunt Sirenas esse mortiferas, in mari clamitantes vocibus diversis, ut navigantes dum audierint seducantur. Hae a capite usque ad umbilicum hominum figuras tenent, ab umbilico vero ad caudam volatiles.“

6. Πῶς -- σὺ ταῦτα τίθεσαι; *correxit Gatakerus Advv. Misc. Posth. cap.* 36. *pag.* 805. *Codd. Venet. et Rhedig. et uterque editus praebent:* ἢ πῶς, ὦ

se ferat, lyrae cuiusdam instar, non abhorrentes atque discordes. Quippe ad id, ut revera compotes simus, non ut esse videamur, omni est nobis animi contentione colenda iustitia, ut non veluti claudicando sapientiae studium capessamus, neque ad gloriam magis quam ad veritatem enitamur, aut sic, tanquam eximiam quandam faciem et inanem speciem obducamus, omnemque simulationis ornatum apparatumque subeamus.

Sunt enim profecto, sunt qui orationis tragicam ad pompam exornatae artificio sese venditant; uti mulieres facere solent, quae ad illiciendum ac decipiendum externum corporis cultum ac lenocinium adhibent, nisi summa cum animi cautione, fide ac sobrietate muniti ad illas adolescentes oculos adiiciant. Quocirca diligenter cavendum est ne, antequam totam rem accurate perceperimus, eiusmodi sermones ad animos nostros adhaerescere patiamur. Saepe enim accidit ut deceptores doctorum operam antevertant. Non aliter ac Sirenes crudelitatem suam et in homines odium iis qui sese fugiunt suavitate vocis occultant. Quod nisi ita est, inquam, Auxenti, quae tua est de ea re sententia? Eadem quae tua, respondit. Proinde contrariae opinionis sophistas omnes simulacrorum veritatis imitatores esse dicimus, ac veritatis ipsius ignaros, cuiusmodi sunt pictores. Nam et isti navium architectos et naves ipsas ac gubernatores exprimere imitando student, cum fabricandarum navium gubernandique sint imperiti. Visne igitur, ut abrasis coloribus pueris picturarum illarum admiratione defixis persuadeamus, neque navem esse quae navis videtur, neque gubernatorem qui gubernator appareat, sed parietem esse picturis ac coloribus extrinsecus ad voluptatem ornatum? Quod autem, optime vir, inquam, simulacri duntaxat navis ac gubernatoris, non navis ipsius, imitatores sint qui eiusmodi opera colorum varietate finxerunt, longum est quidem iis qui audire cupiunt exordium, sed tamen utile. Etenim si divinarum scripturarum verba, quibus opinionem suam ad illudendum tanquam vario colorum genere distinguunt, ac iustitiam veritatemque arroganter nominant, iustitiae penitus ignari, sed si quis illa detrahat, quam tu ridiculos fore illos existimas istiusmodi vocabulis exutos? Mirum in modum, inquit. Tum ego, Num tu viae illius dux esse Cap. XX. (XLI.)

Αὐξέντιε, ἔφην ἐγὼ, σοὶ ταῦτα τίθεσθαι; *quod emendavi signum interrogationis post* Αὐξέντιε *collocando,* ταὐτὰ *rescribendo. Petavius suspicatus est deesse aliquid.*

7. ἀπεκρίνετο *cod. Venet.*

8. οὐ *cod. Venet.*

9. *Vulgo post* κεκοσμημένος *est distinctum, sed interrogationis notam post* καὶ οὐ πλοίου *figendam bene observavit Gatakerus l. l.*

10. τῷ *rescripsi pro* τὸ, *quod vulgo extat, Gatakeri ingenium secutus. Est enim proverbium* Μακρὸν τὸ προοίμιον τῷ ἐπιθυμοῦντι ἀκοῦσαι, *quod habes ap. Platonem Polit. lib. IV,* 9. *p.* 432.

ἐγὼ, σὺ βούλει ταύτης ἡγεμονεύειν τῆς ὁδοῦ, ἢ ἐγὼ ἡγήσομαι; Δίκαιον, ἔφη, σοὶ ἡγεῖσθαι. Σὺ γὰρ κατάρχεις τοῦ λόγου.

Κεφ. κα'. (μβ'.) Οὐκοῦν ἐλέγετο (φέρε γὰρ πρὸς μέρος ἐξ ἀρχῆς ἀκολούθως τὸν Ἀγλαοφῶντος ἐξετάσωμεν νοῦν) ἡ ψυχὴ τὸ σῶμα διὰ τὴν παράβασιν ὃ περικείμεθα τοῦτο ἀνειληφέναι χρόνοις τοῖς ἄνω χωρὶς αὐτοῦ μακαρίως διάξασα. Τοὺς γὰρ δερματίνους εἶναι χιτῶνας σώματα, εἰς ἃ pag. 565. ἐνεῖρχθαι συνέβη τὰς ψυχὰς, δίκην ὅπως ὧν ἔδρασαν νεκροφοροῦσαι παράσχωσιν; ἢ οὐ ταῦτα πρῶτον ἦν ἐν ἀρχῇ τὰ λεχθέντα ὑπὸ σοῦ, ἰατρέ; [1] ἄγ' εἰς ὑπόμνησιν, ἐάν τίς σοι φαίνομαι μὴ μεμνημένος. [2] Οὐδὲν νῦν ὑπομνήσεως εἰς τοῦτο δέῃ. Αὐτὰ ταῦτα γὰρ ἦν ἐν πρώτοις ἡμῖν τὰ εἰρημένα. Τί δὲ, οὐχὶ καὶ τοῦτο ἐν τοῖς ἑξῆς ἐλέγετο πολλαχῶς ὑπὸ σοῦ, ὡς ἐμποδὼν πρὸς τὴν κατάληψιν ἡμῖν τὸ σῶμα τῶν ὄντως ὄντων καὶ γνῶσιν διὰ τὰς πρὸς τὸ κοσμεῖν ἀσχολίας αὐτὸ καὶ θεραπεύειν γίνεται, καὶ τὰς ἄλλας τὰς περὶ τὴν ἐπιθυμίαν τῆς γαστρὸς προςβολὰς, ἔτι τε βλασφημιῶν καὶ παντοίων αἴτιον ἁμαρτημάτων, διὰ τὸ μὴ δύνασθαι καθ' ἑαυτὴν δίχα σώματος ὅλως ἁμαρτῆσαι τὴν ψυχὴν, καὶ διὰ τοῦτο μετὰ τὴν ἐντεῦθεν ἀποδημίαν ἐκτὸς ἁμαρτημάτων ὅπως ἔσοιτο καὶ παρακοῆς ἐν τοῖς οὐρανοῖς, ἔνθα καὶ τὰς διατριβὰς ἕξει μετὰ τῶν ἀγγέλων, ἐλευθέραν αὐτὴν καὶ γυμνὴν χρῆναι διαμεῖναι σώματος, ἐπειδήπερ τὸ σῶμα τοῦ χραίνεσθαι τοῦτο καὶ ἁμαρτάνειν παραίτιον αὐτῇ καὶ συνεργὸν γίνεται; Ἄνευ γὰρ σώματος ἀμήχανον ἁμαρτῆσαι ψυχήν. Ὅθεν ἵνα τὸν ἄπειρον ἀναμάρτητος αἰῶνα τηρηθῇ, οὐκέτι τὸ ταλαντεῦον αὐτὴν εἰς τὴν φθορὰν κάτω καὶ τὴν ἀδικίαν σῶμα λήψεσθαι. [3] Ἐλέχθη καὶ τοῦτο. [4] Τί δὲ, καὶ καλῶς σοι τοῦτο καὶ ὀρθῶς, ἔφην, ἥγησαι λελέχθαι; Καὶ τί σοι, ἔφη, τοῦτο [5] διαφέρειν; ἀλλὰ οὐκ [6] ἐξελέγξεις τὸν λόγον. [7] Οὐδὲν, ἦν δὲ ἐγὼ, ἀλλὰ δι' ἃ εἴρηκας ὅπως ἐξετάζηται ὁ λόγος. Καλῶς καὶ ὀρθῶς, ἔφη. Καλῶς δέ σοι δοκεῖ τίθεσθαι καὶ ὀρθῶς, ὃς ἑαυτῷ τὰ ἐναντία λέγων καὶ ἀσύμφωνα; [8] Οὔδ' [9] ὁπωςτιοῦν. Ἀμούσως γὰρ οὕτως σοι φαίνεται τὴν ἀλήθειαν ὑποκρίνεσθαι; Πάντων μάλιστα, ἔφη. Οὐκ ἄρα ἀποδέχῃ τὸν τὰς ἁμαρτίας ἐντείνοντα πρὸς τὸ ψευδὲς μέλος τῶν λόγων; [10] Οὐδ' [11] ὁπωςτιοῦν. Οὐκοῦν οὐδὲ σεαυτοῦ λέγοντος ἀμούσως οὐδ' ὁτιοῦν [12] ἀποδέξῃ; δοὺς γὰρ ἀσωμάτως ἡμαρτηκέναι τὰς ψυχὰς, ἀπο-

Cap. XXI. — 1. ἄγ' εἰς ὑπόμνησιν ἐάν τι *emendavit Petavius, probavit Gatakerus l. l. p.* 805. *Libri vulgo:* ἀλλ' εἰς ὑπόμνησιν ἐάν τις.

2. Οὐδὲν *emendavit Gatakerus l. l. Vulgo* οὐδὲ.

3. Ἀλλ' ἐλέχθη *cod. Venet. Bene.*

4. Τί δὴ, καὶ *coniec. Gatakerus l. l.*

5. „Fort. διαφέρει. Sed parum commoda haec lectio videtur.“ *Petavius.* διαφέρει *probavit etiam Gatakerus l. l. Retinui infinitivum, quem firmant codd. Venet. et Rhedig. atque editi libri. Non enim incommode adstruitur ille ad* ἥγησαι *aliquod, ex altero* ἥγησαι *in praecedente enunciatione repetendum. Quin etiam si pro absoluto, quem dicunt, caperetur defendere eum haberes.*

6. ἐξελέγξεις *cod. Venet. Vulgo* ἐλέγξῃς.

mavis, Auxenti, an me potius ducem adhibere? Aequum est ducem te esse, respondit: tu enim ei sermoni praeisti.

πρὸς ἐπιστροφὴν δίκην πληγῶν ηὑρέθη, οὐχ ὁ τῆς ἁμαρτίας, ὦ σοφώτατοι, ἀλλ' ὁ τῆς διαζεύξεως τῆς σαρκὸς, καὶ τοῦ χωρισμοῦ. Αὐτεξούσιος γὰρ ὢν καὶ αὐτοκράτωρ ὁ ἄνθρωπος, καὶ αὐτοδέσποτον βούλησιν καὶ αὐτοπροαίρετον πρὸς τὴν αἵρεσιν, ὡς ἔφην, τοῦ καλοῦ λαβὼν, ἀκούσας τε, Ἀπὸ παντὸς ξύλου τοῦ ἐν τῷ Παραδείσῳ φάγεσθε, ἀπὸ δὲ τοῦ ξύλου τοῦ γινώσκειν καλὸν καὶ πονηρὸν οὐ φάγεσθε ἀπ' αὐτοῦ· ᾗ δ' ἂν ἡμέρᾳ φάγητε ἀπ' αὐτοῦ, θανάτῳ ἀποθανεῖσθε, [5] ἐνδοὺς ἀπ' αὐτοῦ εἰς τὸ φαγεῖν τῷ [6] διαβόλῳ, δεδελεασμένῃ σοφίᾳ [7] ποικίλως πρὸς παρακοὴν [8] πείθοντι, ἠθέτησε τὴν ἐντολὴν τοῦ θεοῦ· καὶ ἐγένετο τοῦτο αὐτῷ εἰς σκάνδαλον [9] καὶ παγίδα καὶ σκῶλον. Οὐ γὰρ ἐποίησεν ὁ θεὸς κακὸν, οὐδὲ ἔστι τὸ σύνολον ὅλως ἐκ παντὸς τὸ παράπαν αἴτιος [10] κακοῦ· ἀλλὰ πᾶν ὅπερ ἂν αὐτεξούσιον οὕτως ὑπ' αὐτοῦ γεγονὸς [11] ᾖ πρὸς τὸ φυλάξασθαι καὶ τηρῆσαι νόμον, ὃν αὐτὸς δικαίως διεστείλατο, μὴ [12] τηρῆσαν λέγεται κακόν. Βαρυτάτη δὲ βλάβη τὸ παρακοῦσαι θεοῦ τοὺς ὅρους τῆς κατὰ τὸ αὐτεξούσιον ὑπερβάντα δικαιοσύνης. Ὅθεν ἐπειδὴ κατερυπώθη καὶ κατεμιάνθη τῆς ἀποφάσεως ἀποστατήσας ὁ ἄνθρωπος τοῦ θεοῦ, καὶ κηλῖδας ἐναπεμάξατο κακίας πολλὰς, ἃς ὁ ἄρχων οὗτος ἀπεκύησε καὶ πατὴρ τῆς πλάνης, πόνον κατὰ τὴν γραφὴν συλλαβὼν, ἵνα τὸν ἄνθρωπον πρὸς ἀδικίαν ἀεὶ φαντάζειν ἔχῃ καὶ κινεῖν, ὁ θεὸς ὁ παντοκράτωρ ἀθάνατον κακὸν ἐξ ἐπιβουλῆς ἰδὼν γεγενημένον, καθάπερ καὶ ὁ διάβολος πλάνος ἦν, τοὺς δερματίνους χιτῶνας διὰ τοῦτο κατεσκεύασεν, οἱονεὶ νεκρότητα περιβαλὼν αὐτὸν, ὅπως διὰ τῆς λύσεως τοῦ σώματος πᾶν τὸ ἐν αὐτῷ γεννηθὲν κακὸν ἀποθάνῃ.

pag. 548. Κεφ. λ'. (κγ'.) [1] *Προηπόρηται δὲ ἤδη καὶ ἀπεδείχθη τοὺς δερματίνους χιτῶνας μὴ εἶναι τὰ σώματα. Ὅμως δὲ καὶ πάλιν (οὐ γὰρ ἅπαξ ῥητέον)* [2] *φράζωμεν. Αὐτὸς πρὸ τῆς κατασκευῆς αὐτῶν ὁ πρωτόπλαστος ὁμολογεῖ καὶ ὀστᾶ ἔχειν καὶ σάρκας, ὁπότε δὴ τὴν γυναῖκα αὐτῷ προςαχθεῖσαν θεασάμενος, Τοῦτο νῦν ὀστοῦν, ἐφώνησεν, ἐκ τῶν ὀστῶν μου, καὶ σὰρξ ἐκ τῆς σαρκός μου·* [3] *αὕτη κληθήσεται γυνὴ, ὅτι ἐκ τοῦ ἀνδρὸς αὐτῆς ἐλήφθη· ἕνεκεν τούτου καταλείψει ἄνθρωπος τὸν πατέρα αὐτοῦ καὶ τὴν μητέρα, καὶ προςκολληθήσεται* [4] *τῇ γυναικὶ αὐτοῦ, καὶ ἔσονται οἱ δύο εἰς σάρκα μίαν. Οὐ γὰρ δὴ ἀνέξομαι φληναφούντων τινῶν καὶ βιαζομένων ἀπηρυθριασμένως τὴν γραφὴν, ἵνα*

5. ἐνδοὺς *omiss. in edit. Petavii.*
6. διαβόλῳ δεδελεασμένη σοφία *cod. Venet. et Leontius. Vulgo extat* διαβόλῳ δὲ δελεασαμένη ἡ σοφία. *Galakerus correxit:* διαβόλῳ δὲ δελεαζόμενος τῇ σοφίας.
7. ποικιλότητι *Galakerus l. l. p.* 803.
8. πείθοντι *cod. Venet. et Leontius. Vulgo* πείσοντι. *Galakerus* πείσαντι.
9. καὶ παγίδα καὶ σκῶλον *cod. Venet. et Leontius. Vulgo extat* καὶ εἰς παγίδα καὶ εἰς σκῶλον.
10. τοῦ κακοῦ *cod. Rhedig.*
11. ᾖ *emendavi cum Gallandio Bibl. Patr. tom. III, p.* 772., *ubi extat et. Vulgo scriptum est* ἦ. *Et apud Leon-*

mors est, cum plagarum instar ad coercendos pueros reperta sit. Non peccatorum dico mortem, o sapientissimi homines, sed eam qua animus a corporis consortio separatur. Nam cum liber ac sui iuris esset homo factus, et ad honesta capessenda sui ipsius arbitrii consiliique voluntatem accepisset, ac mandatum istud audiisset, *De omni ligno Paradisi comedetis, de ligno autem scientiae boni aut mali non comedetis: quacumque autem die comedetis de illo, morte moriemini*, per sese ad comedendum inductus ac diaboli calliditate, qui ad violandum imperium variis modis incitabat, velut inescatus dei praeceptum transgressus est, idque ipsum scandali instar et laquei et offensionis extitit. Malum enim deus non fecit, nec ullo modo auctor illius est. Sed quicquid arbitrii sui potestate praeditum ab eo factum est, ut quam legem iustissime praescripserit observare possit, nisi eam servaverit, malum appellatur. Est autem gravissimum hoc damnum inprimis, dei mandata negligere, ac iustitiae, quae adiuncta libertati est, limites praeterire. Unde posteaquam a dei sententia deficiens homo inquinatus est, ac delicti sordibus obsolevit, vitiique quamplurimas expressit in sese maculas, quas princeps ille et erroris parens indiderat, qui *laborem*, ut scriptura loquitur, *concepit*, ut hominem ad improbitatem perpetuo fraudibus suis trahere ac circumvenire queat, omnipotens deus aeternum illum daemonis fraudibus malum esse factum videns, ut et impostor diabolus erat, propterea *pelliceas et illas tunicas* fecit, quo illum velut morte quadam indueret, ut ea corporis dissolutione quicquid in eo mali productum fuerat intermoreretur.

Gen. 2, 16. Ps. 7, 14.

Cap. XXX. (XXIII.)

Illud vero iam antea disputatum est monstratumque pelliceas tunicas aliud esse praeter corpora. Sed nihilominus idem rursus (dicendum enim saepius est) hoc loco repetamus. Primus igitur ipse parens, antequam eae tunicae consuerentur, ossa se et carnem habere confitetur, cum nimirum perductam ad sese mulierem contemplatus, *Hoc nunc os*, inquit, *ex ossibus meis, et caro de carne mea: haec vocabitur mulier, quoniam de viro sumpta est: propter hoc relinquet homo patrem et matrem suam, et adhaerebit uxori suae, et erunt duo in carnem unam*. Neque enim certos homines ferre possum, qui consulto nugantur ac scripturas impudentissime detorquent, quo

Gen. 2, 23.

tium. Idem vitium iam supra occurrit. — τὸ σύνολον ὅλως ἐκ παντὸς τὸ παράπαν *reperitur etiam supra cap.* 27. *Cf. cap.* 51., *et capp.* 32 *et* 37.

12. τηρῆσαι *Leontius.*

Cap. XXX. — 1. *Excerpsit priorem huius capitis partem, usque ad verba* μετὰ τὸ ἐκπεσεῖν, *Leontius l. l. V. quae annotavit Ang. Maius l. l. pag.* 50.

2. φράσωμεν *habet Excerptum Sirmond. ap. Galland. B. P. tom. III. p.* 772.

3. καὶ πάλιν *addit Exc. Sirm. ap. Galland.*

4. πρὸς τὴν γυναῖκα *habet Excerptum Anonymi Sirmondiani ap. Galland. l. l.*

αὐτοῖς δὴ σαρκὸς μὴ εἶναι [5] προχωρήσῃ ἡ ἀνάστασις, ὀστᾶ νοητὰ καὶ σάρκας νοητὰς ὑποτιθεμένων, καὶ ἄλλοτε ἄλλως ἄνω καὶ κάτω μεταβαλλομένων ἀλληγορίαις· καὶ ταῦτα οὕτω, ὡς γέγραπται, παραλαμβάνεσθαι κρατύνοντος τοῦ Χριστοῦ τὴν γραφὴν, ἔνθα πυνθανομένοις τοῖς Φαρισαίοις περὶ χωρισμοῦ γυναικὸς ἀποκρίνεται [6] ὅτι, Ἀπ' ἀρχῆς ὁ κτίσας ἄρσεν καὶ θῆλυ [7] ἐποίησε, καὶ εἶπεν, Ἕνεκεν τούτου καταλείψει ἄνθρωπος τὸν πατέρα [8] καὶ τὴν μητέρα, καὶ τὰ ἑξῆς. Πῶς γὰρ ἐπὶ ψυχῶν μόνον τὸ, Αὐξάνεσθε καὶ πληρώσατε τὴν γῆν, παραληπτέον; ἢ τὸ, Ἔλαβε χοῦν ἀπὸ τῆς γῆς ὁ θεὸς, καὶ ἔπλασε τὸν ἄνθρωπον, ὃ κυρίως ἐπὶ τοῦ σώματος λελέχθαι φαίνεται. Οὐ γὰρ ἀπὸ τοῦ χοὸς καὶ τῶν βαρυτέρων τὴν οὐσίαν ἐκτήσατο ἡ ψυχή. Ὥςτε συνέστηκεν ἐκ παντὸς ἀληθέστατα πρὸ τῶν δερματίνων σεσωματοποιῆσθαι χιτώνων τὸν ἄνθρωπον. Ταῦτα γὰρ πρὸ τοῦ ἐκπεσεῖν αὐτὸν ἅπαντα εἴρηται, τὰ δὲ κατὰ τοὺς χιτῶνας μετὰ τὸ ἐκπεσεῖν. Ὅθεν ἴωμεν πάλιν ἐπισκεψόμενοι τὰ ἐν χερσὶν, ἱκανῶς ἀποδείξαντες μὴ εἶναι τοὺς δερματίνους χιτῶνας τὰ σώματα, ἀλλὰ τὴν ἀπὸ τοῦ λόγου τῶν ζώων νεκρότητα κατεσκευασμένην· τοῦτο γὰρ λείπεται. Ἀμέλει τῶν ὅρων ἔξω τοῦ Παραδείσου κατὰ ταύτην ἐξοικίζεται τὴν αἰτίαν. Οὐ γὰρ ὅτι μὴ θέλων ὁ θεὸς ἀπὸ τοῦ ξύλου δρέψασθαι τῆς ζωῆς αὐτὸν καὶ φαγεῖν ἐξέβαλεν (ἠδύνατο γὰρ εἰς τὸν αἰῶνα ζῆν, αὖθις φαγὼν ἀπὸ τῆς ζωῆς), ἀλλ' ἵνα μὴ ἀθάνατον, ὡς ὑπεθέ-
pag. 547. *μεθα, γενηθῇ τὸ κακόν. Ἐπεὶ διὰ τί τὸν Χριστὸν ἀπὸ τῶν οὐρανῶν ἀπέστειλεν εἰς τὴν γῆν, εἰ ὅλως ἠθέλησε ζωῆς τὸν ἄνθρωπον ἄγευστον ἀποθανεῖν εἰς τὸ παντελές; Εἰ δὲ ἐκ μεταμέλου τοῦτο φαίη πεποιηκέναι τὸν θεὸν ὁ ἀντιλέγων, ἀσθενὴς αὐτῶν ὁ λόγος, μεταγινώσκοντα τὸν θεὸν εἰςάγων. Ἀλλ' οὔτε ἀξύνετος τοῦ μέλλοντος θεὸς, οὔτε κακοποιὸς, ἀλλὰ καὶ ἄκρως ἀγαθὸς, καὶ προγινώσκων τὰ μέλλοντα. Ὥςτε οὐκ ἄρα διὰ τὸ μὴ σώζεσθαι εἰς τὸν αἰῶνα φαγόντα αὐτὸν ἀπὸ τοῦ ξύλου τῆς ζωῆς ἐξέβαλεν, ἀλλὰ διὰ τὸ νεκρωθῆναι πρῶτον θανάτῳ τὴν ἁμαρτίαν· ἵν' οὕτως μετὰ τὸ ἀποθανεῖν ἐκτακείσης τῆς ἁμαρτίας ἐγερθεὶς ἄνθρωπος καθαρὸς φάγῃ τῆς ζωῆς.*

Κεφ. λα'. (κδ'.) *Μηδεὶς δὲ ἀβέλτερος ὢν παρακινδυνευέτω ὡς τούτων ἑτέρως λεχθέντων. Ὁ γὰρ ὅλως ὁριζόμενος τὴν σάρκα μὴ εἶναι ταύτην ἀθανασίας δεκτικὴν ὄντως ἀνοίας ὑπαίτιος ὢν νόσῳ βλασφημεῖ. Διὰ τί γὰρ μετὰ τὴν τῶν χιτώνων τῶν δερματίνων ὁ Ἀδὰμ κατασκευὴν ἐκβάλλεται, κωλυόμενος φαγεῖν ἀπὸ τοῦ ξύλου τῆς ζωῆς καὶ ζῆσαι, εἰ*

5. προχωρήσῃ *emendavit Petavius. Libri vulgo habent* προχώρησις. *Pro* δὴ σαρκὸς μὴ εἶναι *Galland. ex auctoritate Anonymi Sirmond. rescripsit* δίχα σαρκὸς εἶναι *l. l. p.* 772. — *Pro* αὐτοῖς δὴ σαρκὸς *in cod. Rhedig. legitur* αὐτῆς δὴ σαρκός.

6. Οὐκ ἀνέγνωτε, ὅτι *Galland.*

suum illud de tollenda resurrectione dogma procedat; qui ideo et ossa quaedam intelligibilia et carnes similiter intelligibiles commenti sunt, ac suis allegoriis alias aliter sursum deorsumque sese convertunt. Atqui haec perinde ac scripta sunt accipienda esse Christi confirmat auctoritas, ubi interrogantibus Pharisaeis de uxoris divortio respondet, *Ab initio qui creavit masculum et feminam fecit et* Matth.19,4.
dixit, Propter hoc relinquet homo patrem et matrem, etc. Alioqui quomodo de animis solis intelligi istud potest: *Crescite et replete ter-* Gen. 1, 28.
ram? Item illud: *Accepit deus de limo terrae, et formavit hominem?* Gen. 2. 7.
Quod de corpore proprie dictum videtur. Neque enim de limo deque gravioribus illis concretisque rebus suam anima naturam expressit. Ex quo certissime illud efficitur, ante pelliceas illas tunicas corpore praeditum hominem fuisse. Haec enim omnia ante hominis lapsum pronuntiata esse constat, cetera vero te tunicis nonnisi post lapsum. Quamobrem consideranda nobis porro sunt quae in manibus habemus, cum illud abunde demonstraverimus, scorteas illas tunicas corpora non fuisse, sed illam a ratione velut animalium mortem tunc temporis perfectam; hoc enim demum superest. Quocirca extra Paradisi terminos ob eam caussam eiicitur. Non enim quod ex arbore vitae poma decerpere ac comedere nollet hominem deus ideo deturbavit, poterat quippe in sempiternum vivere, cum subinde ex vitali illa arbore comedisset: sed ne immortale, uti diximus, malum esset, sibi cavendum putavit. Alioqui quid attinebat Christum in terras e coelo mittere, si omnino nulla vitae parte gustata hominem penitus vellet extingui? Quod si nonnulla veluti poenitentia ductum istud egisse deum adversarius obiiciat, imbecilla ea ratio est, quae consilii in deum mutationem invehit. Sed neque ignarus futuri deus est, nec effector mali, sed et bonus inprimis est et futurorum praescius. Quare non ideo eiecisse putandus est, ne, si ex arboris vitae fructu comederet, in aeternum servandus foret, sed ut peccatum primum omnium morte perimeretur, atque ita, cum esset mortuus, velut consumpto eliquatoque peccato excitatus ad vitam homo ac purior factus vita vesceretur.

Cap. XXXI. (XXIV.)

Nec est quod stolidus quispiam temere iactare audeat aliter haec esse pronuntiata. Nam qui carnem hanc immortalitati capiendae idoneam esse penitus negat, hic vesaniae morbo laborans contumeliosis in deum vocibus utitur. Cur enim, posteaquam pelliceae tunicae consutae sunt, Adamus eiicitur ac vitae arborem attingere vivereque prohibetur, si fieri omnino non potest ut in sempiternum

7. ἐποίησεν αὐτούς, καὶ *Galland.* 8. *Verba* καὶ τὴν μητέρα *non habet Galland.*

ὅλως ἀδύνατον ἦν μετὰ σώματος εἰς τὸν αἰῶνα ζῆσαι τὸν ἄνθρωπον; Ὡς δυναμένου γὰρ αὐτοῦ μὴ ἀποθανεῖν, ἐὰν ἀπὸ τῆς ζωῆς γεύσηται λαβὼν, ἡ κώλυσις γίνεται. Φησὶ γὰρ, Καὶ ἐποίησε κύριος ὁ θεὸς τῷ Ἀδὰμ, καὶ τῇ γυναικὶ αὐτοῦ χιτῶνας δερματίνους, καὶ ἐνέδυσεν αὐτούς· καὶ εἶπεν ὁ θεὸς, Ἰδοὺ, γέγονεν Ἀδὰμ ὡς εἷς ἐξ ἡμῶν, τοῦ γινώσκειν καλὸν καὶ πονηρόν· καὶ νῦν μή ποτε ἐκτείνῃ τὴν χεῖρα καὶ λάβῃ τοῦ ξύλου τῆς ζωῆς καὶ φάγῃ, καὶ ζήσεται εἰς τὸν αἰῶνα· καὶ ἐξαπέστειλεν αὐτὸν κύριος ὁ θεὸς ἐκ τοῦ Παραδείσου τῆς τρυφῆς ἐργάζεσθαι τὴν γῆν ἐξ ἧς ἐλήφθη, καὶ ἐξέβαλε τὸν Ἀδάμ. Οὐκοῦν ἠδύνατο ζῆν εἰ μὴ κεκώλυτο γεύσασθαι τῆς ζωῆς. Ἐκωλύθη δὲ ὅπως ἡ μὲν ἁμαρτία συναποκτανθεῖσα τῷ σώματι θάνῃ, τὸ δὲ σῶμα ἀναστῇ τῆς ἁμαρτίας ἀπολομένης. Ἵνα τοίνυν μὴ ᾖ κακὸν ἀθάνατον ὁ ἄνθρωπος, ὡς ἔφην, ᾖ ἀείζωον, ἔχων ἐν ἑαυτῷ τὴν ἁμαρτίαν κρατιστεύουσαν, ἅτε ἐν ἀθανάτῳ βλαστήσασαν σώματι καὶ ἀθάνατον ἔχουσαν τροφὴν, ὁ θεὸς αὐτὸν διὰ τοῦτο θνητὸν ἀπεφήνατο νεκρότητι περιβαλών. Τοῦτο γὰρ οἱ δερμάτινοι χιτῶνες ἐβούλοντο· ἵνα δὴ διὰ [1] τῆς λύσεως τοῦ σώματος καὶ τῆς διαιρέσεως ἡ ἁμαρτία κάτωθεν αὐτόπρεμνος πᾶσα διαφθαρῇ, ὡς μηδὲ κἂν βραχύτατον ῥίζης ἐαθῆναι μέρος, ἀφ' οὗ νέαι βλάσται πάλιν ἁμαρτημάτων [2] ἀναβλύσονται.

pag. 518. Κεφ. λβ'. (κε'.) Καθάπερ γὰρ ἐν οἰκοδομήμασι ναῶν [1] καλῶν συκῇ γεννηθεῖσα, καὶ εἰς [2] ἔκτασιν καὶ μέγεθος [3] εὐτροφήσασα, καὶ ἐπὶ πάσας τὰς ἁρμονίας πολυκληματοις ῥίζαις τῶν λίθων κεχυμένη, οὐ πρότερον τοῦ φύειν στέλλεται, ἕως πᾶσα ἀποσπασθῇ, λυθέντων τῶν καθ' οὓς ἐβλάστησε τόπους τῶν λίθων (δυνατὸν γὰρ [4] πάλιν εἰς τοὺς ἑαυτῶν ἐναρμοσθῆναι τόπους τοὺς λίθους, τῆς συκῆς ἀφῃρημένης, ὅπως ὁ μὲν ναὸς σώζηται, μηδὲν τῶν ἀφανιζόντων αὐτὸν κακῶν [5] ἑαυτῷ μηκέτι φέρων, ἡ δὲ συκῆ [6] πᾶσα προθέλυμνος ἀποσπασθεῖσα ἀποθάνῃ)· κατὰ ταῦτα καὶ ὁ θεὸς ὁ τεχνίτης τὸν ἑαυτοῦ νεὼ, τὸν ἄνθρωπον, δίκην ἀγρίας συκῆς τὴν ἁμαρτίαν βλαστήσαντα, [7] διέλυσε, θανάτου προςκαίροις προσβολαῖς ἀποκτείνων, κατὰ τὸ γεγραμμένον, καὶ ζωοποιῶν, ἵνα πάλιν τῶν αὐτῶν ἡ σὰρξ μερῶν μετὰ τὸ ξηρανθῆναι καὶ ἀποθανεῖν τὸ ἁμάρτημα δίκην ἀνακαινοποιηθέντος ναοῦ ἀθάνατος καὶ [8] ἀπήμων ἐγερθῇ, τελέως ἐκ βάθρων ἀπολομένης τῆς ἁμαρτίας. Ζῶντος γὰρ ἔτι τοῦ σώματος πρὸ τοῦ τεθνήξασθαι συζῆν ἀνάγκη καὶ τὴν ἁμαρτίαν, ἔνδον τὰς ῥίζας αὐτῆς ἐν ἡμῖν ἀποκρύπτουσαν, εἰ καὶ ἔξωθεν τομαῖς ταῖς ἀπὸ τῶν [9] σωφρονισμῶν καὶ τῶν νουθετήσεων ἀνε-

Cap. XXXI. — 1. τῆς ἀναλύσεως τοῦ σώματος ἡ ἁμαρτία *Galland. l. l. pag.* 773. *ex cod. Rupif.*
2. ἀναβλύσονται *edit. princ. et cod. Rhedig.* ἀναβλύζωνται *edit. Petav. et Galland. l. l.*

Cap. XXXII. — 1. καλοῖς *Galland. l. l.*
2. ἔκστασιν *vitiose Galland.*
3. εὐτραφήσασα *Galland.*
4. πάλιν *non habet Galland.*
5. ἐν ἑαυτῷ *Galland.*

vitam homo cum corpore traducat? Sic enim interdictio illa edita est, tanquam vita ille degustata mortem posset effugere. Sic enim ait: *Fecit itaque dominus deus Adam et uxori eius tunicas pelliceas,* Gen. 3, 21. *et induit illos: et dixit deus, Ecce factus est Adam sicut unus ex nobis, ut cognoscat bonum et malum: et nunc ne forte extendat manum, et sumat de ligno vitae, et comedat et vivat in aeternum: et emisit illum dominus deus e Paradiso voluptatis, ut operaretur terram, ex qua assumptus est, et eiecit Adam.* Quamobrem poterat in aeternum vivere corpus et immortale fieri, nisi ab gustanda vita foret probibitum. Est autem idcirco prohibitum, ut et peccatum extinctum una cum corpore moreretur, et corpus peccato mortuo resurgeret. Igitur ne immortale quoddam ac sempiternum malum esset homo, ut iam diximus, ac peccati in sese dominationem foveret, utpote quod immortali in corpore pullularet et immortali perinde alimento glisceret, propterea mortalem illum deus esse voluit ac morte damnavit. Hoc enim scorteae illae tunicae significabant, ut dissolutione divisioneque corporis omne ex imo peccatum stirpitus enecaretur, ac ne tenuissimae quidem fibrae remanerent, unde nova subinde germina peccatorum efflorescerent.

Cap. XXXII. (XXV.)

Ut enim e magnificorum templorum structura caprificus enascens, atque in maximam amplitudinem adolescens et multiplicibus radicum brachiis per omnes lapidum diffusa compages non prius excrescere desinit quam disiectis ex eo unde prodierit loco lapidibus tota poenitus labefactata concidat (tum enim sublata caprifico suis locis restitui redivivi lapides possunt, ut et templum ipsum incolume servetur, cum nullum amplius ex iis quibus evertebatur incommodis habeat, caprificus vero ab imis radicibus evulsa moriatur), ad eundem plane modum artifex ille deus templum suum hominem, qui peccatum caprifici cuiusdam instar produxerat, dissolvit, eumque mortis ad tempus impressione atque impetu opprimi passus est primum, uti scriptum est, dehinc ad vitam excitavit; ut iisdem praedita partibus caro exsiccato intermortuoque peccato velut templum quoddam instauratum immortalis ac sine ullo damno resurgeret, sublato a fundamentis profligatoque peccato. Etenim quamdiu corpus vivit, nec adhuc mortuum est, cum eo vivere peccatum necesse est, et occultas in nobis ipsis radices agere, quantumvis quibusdam velut castigationum reprehensionumque putationibus coerceatur. Alioqui

6. πᾶσα *non habet Galland.*
7. διεκώλυσε *Galland. l. l., quod interpretatur* fruticatione inhibuit.
8. *Editi libri praeter Galland. vitiose* ἀπήνων, *quod correxit iam Gataker. Adverss. Miscell. cap.* 34. *pag.* 783.
9. συμφορῶν *cod. Rupif. ap. Galland. l. l.*

στέλλετο. Ἐπεὶ οὖν οὐκ ἂν μετὰ τὸ φωτισθῆναι συνέβαινεν ἀδικεῖν, ἅτε παντάπασιν εἰλικρινῶς ἀφῃρημένης ἀφ' ἡμῶν τῆς ἁμαρτίας. Νῦν δὲ καὶ μετὰ τὸ πιστεῦσαι καὶ ἐπὶ τὸ ὕδωρ ἐλθεῖν τοῦ [10] ἁγνισμοῦ πολλάκις ἐν ἁμαρτίαις ὄντες εὑρισκόμεθα. Οὐδεὶς γὰρ οὕτως ἁμαρτίας ἐκτὸς εἶναι ἑαυτὸν [11] καυχήσηται, ὡς μηδὲ κἂν ἐνθυμηθῆναι τὸ σύνολον ὅλως τὴν ἀδικίαν. Ὥςτε [12] συμβέβηκε συστέλλεσθαι μὲν καὶ [13] κατευνάζεσθαι τῇ πίστει νῦν τὴν ἁμαρτίαν εἰς τὸ μὴ [14] οἶσαι καρποὺς βλαβοποιοὺς, οὐ μὴν [15] ἀναιρεῖσθαι καὶ τῶν ῥίζων ἄχρις. Νῦν μὲν ἐνταῦθα τὰς βλάστας αὐτῆς, οἷον τὰς ἐνθυμήσεις τὰς πονηρὰς, συστέλλομεν, μή τις ῥίζα πικρίας ἄνω φύουσα [16] ἐνοχλήσῃ, μὴ ἐῶντες ἀναμύειν καὶ διοιγνῦσθαι τὰ μεμυκότα στόμια πρὸς τὰς ἐκφύσεις, τοῦ λόγου δίκην ἀξίνης [17] τὰς ῥίζας αὐτῆς τὰς κάτω φυομένας τέμνοντος. Τότε [18] δὲ καὶ τὸ ὅλως ἐνθυμηθήσεσθαι περὶ κακίας ἀφανισθήσεται.

Κεφ. λγ'. (κς'.) pag. 549. Οὐδὲ γὰρ ἀμάρτυρος ὁ λόγος γραφῶν, τοῖς βουλομένοις εἰλικρινῶς τὸ ἀληθὲς λέγειν, ἐπεὶ οἶδε καὶ ἀπόστολος μηδέπω τὴν ῥίζαν ἐξ ἀνθρώπων τῆς ἁμαρτίας ὁλοσχερῶς ἀνῃρημένην, ὁτὲ μὲν, Οἶδα γὰρ ὅτι οὐκ οἰκεῖ ἐν ἐμοὶ, τουτέστιν ἐν τῇ σαρκί μου, φράζων, τὸ ἀγαθόν· τὸ γὰρ θέλειν παράκειταί μοι, τὸ δὲ κατεργάζεσθαι τὸ καλὸν, οὔ· οὐ γὰρ ὃ θέλω ποιῶ ἀγαθὸν, ἀλλ' ὃ οὐ θέλω κακὸν τοῦτο πράσσω· εἰ δὲ ὃ οὐ θέλω τοῦτο ποιῶ, οὐκέτι ἐγὼ κατεργάζομαι αὐτὸ, ἀλλ' ἡ οἰκοῦσα ἐν ἐμοὶ ἁμαρτία· ὁτὲ δὲ, Συνήδομαι τῷ νόμῳ τοῦ θεοῦ κατὰ τὸν ἔσω ἄνθρωπον· βλέπω δὲ ἕτερον νόμον ἐν τοῖς μέλεσί μου, ἀντιστρατευόμενον τῷ νόμῳ τοῦ νοός μου, καὶ ἐκ παντὸς αἰχμαλωτίζοντά με τῷ νόμῳ τῆς ἁμαρτίας τῷ ὄντι ἐν τοῖς μέλεσί μου. Οὕτως οὐδέπω τὴν ἁμαρτίαν αὐτόπρεμνον ἐκ ῥιζῶν διακοπῆναι συνέβη. Οὐ γὰρ εἰς τέλος ἀπέθανεν, ἀλλὰ ζῇ (πῶς γὰρ πρὸ τοῦ περιβεβλῆσθαι θανάτῳ τὸν ἄνθρωπον;), ἵνα αὐτῷ συμμαρανθεῖσα καὶ συμφθίνασα αὐτὴ μὲν εἰς ἄρδην ἀπόληται καὶ διαφθαρῇ, καθάπερ φυτὸν, λυθέντος ἐν ᾧ κρύπτουσα τὰς ῥίζας αὐτῆς διεσώζετο, ὁ δὲ ἄνθρωπος αὖθις μηκέτι ῥίζαν ἐνθωπεύουσαν πικρίας ἔχων ἐξεγερθῇ. Ὥςπερ οὖν ἀλεξιφαρμάκου τρόπον ὑπὸ τοῦ ἀλεξητῆρος ἡμῶν καὶ ἀληθῶς ἰατροῦ θεοῦ πρὸς ἐκρίζωσιν τῆς ἁμαρτίας παρελήφθη ὁ θάνατος καὶ ἀφανισμὸν, ἵνα μὴ διαιωνίζον ἐν ἡμῖν εἴη τὸ κακὸν, ἀθάνατον, ἅτε ἐν ἀθανάτοις ἀνατεῖλαν, αὐτοὶ δὲ λελωβημένοι καὶ ἐκστάντες, νοσούντων τρόπον, τῆς οἰκείας ἀρετῆς ἐπὶ πολὺ διατρίβωμεν, ἅτε ἐν ὑφεστηκόσιν ἀεὶ καὶ ἀθανάτοις σώμασι τὴν κατὰ τὸ ἁμάρτημα μεγάλην τρέφοντες νόσον. Διὸ δὴ καλῶς ταύτην πρὸς ἄμφω σωτηρίαν, καὶ ψυχῆς καὶ σώματος, φαρ-

10. ἁγιασμοῦ *Galland.*
11. καυχήσεται *Galland.*
12. *Sic Galland. Vulgo* συνέστηκε.
13. κατευνάζειν *cod. Rupif. apud Galland.*
14. φῦσαι *Galland.*
15. ἀνασπασθῆναι *Galland.*
16. ἐνοχλήσει *edit. Petav.*

post baptismum nullum iam scelus perpetraremus, posteaquam peccatum a nobis funditus esset omne sublatum. Atqui etiam post susceptam fidem sanctissima illa aquae lotione perfusi peccatis saepius obstringimur. Neque enim adeo se immunem ab omni esse peccato gloriari quispiam potest, ut ne cogitatione quidem ullum scelus admittat. Ex quo consequens est reprimi quidem ac consopiri modo fide peccatum, ne perniciosos fructus emittat, non omnino tamen ac radicitus extingui. Quocirca nunc illius quidem germina, pravas nimirum cogitationes, inhibemus, ne qua *radix amaritudinis* erumpens Hebr 12, 15.
molestiam nobis afferat; nec apertas ad pullulandum vias ac spiramenta dehiscere ac patefieri sinimus, proindeque divino verbo velut securi quadam fruticantes identidem ab radice stirpes excidimus. At in futuro illo statu mali omnis vel cogitatio tolletur.

Cap. XXXIII. (XXVI.)

Neque vero quod dicimus scripturarum testimonio caret, si quis veritatem sincere profiteri velit. Nam et apostolus peccati radicem nondum ex hominibus sensit omnino sublatam, cum ita loquitur: *Scio enim quod non habitat in me, hoc est in carne mea, bonum: velle* Rom. 7, 18.
enim adiacet mihi, perficere autem bonum minime: non enim quod volo facio bonum, sed quod nolo malum, hoc facio: si autem quod nolo hoc facio, non iam ego perficio illud, sed quod habitat in me peccatum. Idem illud: *Condelector legi dei secundum interiorem hominem: video autem aliam legem in membris meis repugnantem legi mentis meae, et omnino captivantem me legi peccati, quae est in membris meis.* Ita nondum peccatum ab ipsis radicibus excidi penitus potuit. Neque enim funditus est extinctum, sed etiamnum vivit. Qui enim fieri istud posset, antequam homo morti esset addictus, ut cum eo corruptum atque consumptum funditus quidem ipsum extinguatur et pereat, plantae instar, quae dissoluto illo in quo abditis sese radicibus conservabat emoritur, homo vero nullam iam insitam habens amaritudinis radicem ad vitam resurgat? Itaque ad peccatum velut extirpandum penitusque delendum opitulator noster ac vere medicus deus mortem quasi auxiliare quoddam medicamentum adhibuit, ne malum in nobis, utpote immortalibus, excitatum sempiternum maneret, nos autem pessime affecti et a propria virtute aegrotantium more descriscentes diutius in eo statu maneremus, cum ingentem ex peccato morbum in perpetuis ac sempiternis corporibus aleremus. Proindeque ad utriusque repraesentandam salutem animae scilicet ac corporis

17. *Vulgo* πρὸς τὰς ῥίζας, *ut etiam Galland. Sed illud* πρὸς *de proxima linea irrepsit. Retinuit Gataherus qui vertit:* „— sermonis divini ope ad id usi, qui securis instar ad radices positae germina inde identidem progerminantia excidit."

18. δὲ *non habet Galland.*

μακευτικῆς τρόπον καθάρσεως τὸν θάνατον ὁ θεὸς ηὗρατο, ἵνα πανάμωμοι καὶ ἀσινεῖς οὕτως ἐξεργασθῶμεν.

Κεφ. λδ'. (κζ'.) Φέρε γάρ, [1] ἐπειδὴ πολλῶν δεῖ τῶν περὶ τὰ τοιαῦτα παραδειγμάτων, ἐντεῦθεν αὐτὰ μάλιστα σκεπτώμεθα, μὴ ἀφιστάμενοι πρὶν ἂν [2] πρῶτον εἰς εὐδηλοτέραν ἑρμηνείαν ἀποτελευτήσῃ καὶ ἀπόδειξιν ὁ λόγος. Φαίνεται τοίνυν ὡςπερεί τις δημιουργὸς ἄκρος ἄγαλμα καλὸν [3] ἀπὸ χρυσοῦ κατεσκευασμένον ἢ ὕλης ἑτέρας αὐτῷ, καὶ πάντα τὰ μέλη συμμέτρως εἰς κάλλος διακεκοσμένον, πάλιν χωνεύοι, λελωβημένον ἄφνω θεασάμενος ὑπό τινος ἀνθρώπου πονηροτάτου, ὃς οὐκ ἐνεγκὼν pag. 550. ὑπὸ βασκανίας εὐπρεπὲς εἶναι τὸ ἄγαλμα ἐσίνατο, ματαίαν ἡδονὴν [4] καρπούμενος τοῦ φθόνου. Πρόςσχες γάρ, ὦ σοφώτατε Ἀγλαοφῶν, ὅτι, εἰ βούλοιτο μὴ εἶναι σεσινωμένον ὅλως ὁ δημιουργὸς καὶ ψεκτὸν τὸ μετὰ τοσαύτης αὐτῷ σπουδῆς τε καὶ φροντίδος [5] πεπονημένον, πάλιν προτραπήσεται συγχωνεύσας αὐτὸ τοιοῦτον ποιεῖν οἷον καὶ πρόσθεν ἦν· εἰ δὲ μὴ ἀναχωνεύοι, μηδὲ [6] ἀνασκευάζοι, ἐᾷ δὲ οὕτως μένειν, θεραπεύων αὐτὸ καὶ ἐπανορθούμενος, ἀνάγκη δὴ πυρακτούμενον καὶ χαλκευόμενον τὸ ἄγαλμα μηκέτι δύνασθαι διατηρηθῆναι τὸ αὐτό, ἀλλὰ [7] διηλλαγμένον ἔσεσθαι καὶ ὑπεσπασμένον. Διὰ τοῦτο εἰ βούλοιτο καλὸν [8] αὐτὸ καὶ ἄμωμον εἶναι τὸ ἔργον, ἀναθλᾶσθαι αὐτὸ καὶ ἀναχωνεύεσθαι δεῖ, ὅπως τὰ μὲν [9] αἴσχη καὶ τὰ ἀλλοιώματα πάντα τὰ ἐξ ἐπιβουλῆς αὐτῷ καὶ φθόνου ὑπάρξαντα αὐτὰ μὲν διὰ τῆς ἀνασκευῆς καὶ [10] ἀναχωνεύσεως ἀπόληται, τὸ δὲ εἰς τὸ [11] ἑαυτοῦ εἶδος ἀσινὲς καὶ ἀκίβδηλον αὖθις ἄγαλμα ὁμοιότατον αὐτῷ κατασκευασθῇ. Τῷ μὲν γὰρ ἀγάλματι ἀπολέσθαι οὐκ ἔστιν [12] ὑπὸ τῷ αὐτῷ τεχνίτῃ, κἂν πάλιν εἰς ὕλην [13] λυθῇ, ἀποκατασταθῆναι δὲ ἔστι. Τοῖς αἴσχεσι καὶ λωβήμασιν ἀπολέσθαι μὲν ἔστι, τήκονται γάρ, [14] ἀποκατασταθῆναι δὲ οὐκ ἔστι, διὰ τὸ ἐν πάσῃ τέχνῃ τὸν ἄριστον δημιουργὸν μὴ πρὸς τὸ αἴσχιον ἢ [15] ἀποτευχθησόμενον ὁρᾶν, ἀλλὰ πρὸς τὸ σύμμετρον καὶ [16] εὐθὲς τοῦ δημιουργουμένου. Ταὐτὸν γάρ φαίνεται [17] δή μοι καὶ ἐφ' ἡμῶν ὁ θεὸς οὕτως διῳκονομηκέναι. Τὸν γὰρ ἄνθρωπον, τὸ εὐπρεπέστατον ἑαυτοῦ τέχνημα, βασκάνοις ἐπιβουλαῖς [18] φθόνου κεκακωμένον ἰδὼν οὐκ ἠνέσχετο τοιοῦτον καταλεῖψαι φιλάνθρωπος ὤν,

Cap. XXXIV. — 1. ἐπειδὰν *Galland. l. l. p.* 774.

2. πρῶτον *non habet Galland. In seqq. pro* ἀποτελευτήσῃ *vulgo* ἀποτελευτήσει.

3. *Vulgo* ὑπό. *Correxit vitium etiam Galland. l. l. p.* 774.

4. καρποζόμενος (*sic?*) *cod. Rupif. ap. Galland. l. l. p.* 774.

5. πεπονημένος *cod. Rupif. ap. Gall. l. l. Idem codex non agnoscit in seqq.* αὐτό.

6. ἀνασκευάζοι *mea est emendatio, quam postea inveni etiam a Gallandio receptam. In seqq.* οὕτως, *quod recepi cum Gall., desideratur vulgo. Libri enim vulgo habent* ἀναγκάζοι. *Sic paulo infra iterum iunguntur* ἀνασκευὴ *et* ἀναχώνευσις.

7. διηγαλμένον *cod. Rupif. ap. Gall.*

8. καλὸν καὶ ἄμ. ὅλον αὐτὸ εἶναι *Gall. omissis verbis* τὸ ἔργον.

9. *Mendose libri vulgo* ἴσχη.

quasi medicam quandam purgationem ita mortem deus excogitavit, ut nos immunes ab omni damno integrosque praestaret.

Cap. XXXIV. (XXVII.)

Age enim, quoniam multis ad id exemplis opus est, hinc potissimum ista consideremus; neque prius ab eo argumento discedamus quam in clariorem explicationem ac probationem nostra desierit oratio. Perinde igitur contigisse mihi videtur ac si peritissimus quispiam artifex egregiam ex auro aut alia materia statuam a se fabricatam ac membris omnibus concinne eleganterque perpolitam iterum conflet, quod illam subinde ab nequissimo aliquo foedatam animadverterit, qui hanc statuae pulchritudinem prae invidia non ferens labem aliquam inferre studuerit, quo inanem ex invidia sua fructum caperet. Animadverte enim, o sapientissime Aglaophon, si deturpatam ac foedatam illam habere statuam nolit artifex, quam tanto studio diligentiaque elaborarit, rursum in animam inducturum, ut illam conflatam qualis erat antea reficiat. Quod si fundere denuo et in unum cogere non libeat, sed eam duntaxat emendans ac corrigens ita uti se habet relinquat, necesse est igni candefactam ac fabrili arte retractatam effigiem non eandem manere amplius, sed commutatam ac distractam videri. Quare si praeclarum ac labis omnis expers opus suum esse voluerit, confringi conflarique iterum oportet, ut quicquid malevolorum fraude atque invidia turpitudinis ac vitii est allatum, instauratione ac conflatione tollatur, simulacrum porro ipsum integrum et illaesum denuo sibi quam simillimum reddatur. Ita enim statuae ipsi contigit, non ut artifici suo pereat, tametsi in suam materiem solvatur, sed ut in integrum restituatur, labes autem omnes ac foeditates cum ipsa colliquatione pereant, non amplius redeant, propterea quod in omni arte praestantissimus opifex non id quod in opere suo turpitudinis et offensionis aliquid habeat, sed quod aptissime modulatum affabreque factum est sibi proponat. Idem igitur in nobis fecisse mihi deus et administrasse videtur. Cum enim hominem elegantissimum opus suum fraudulentis artibus atque invidia pessime affectum videret, talem pro sua benignitate relinquere noluit, ne hac in omnem aeternitatem macula

10. χωνεύσεως ἀπόλλωνται *Galland.*
11. τὸ αὐτὸ εἶδος αὖθις τὸ ἄγ. ὁμοιότ. ἑαυτοῦ ἀσινὲς καὶ ἀκιβδήλευτον κατασθῇ *Galland.*
12. ὑπὸ *recepi ex Galland. Libri vulgo praebent* κατὰ, *quod Petavius spurium iudicavit et uncinis inclusit. — Cornarius videtur legisse* τῷ αὐτοῦ τεχνίτῃ, *siquidem vertit:* „per artificem ipsius."
13. χυθῇ, ἀποκατασθῆναι δέ ἐστι· τοῖς δὲ αἶσχ. *Galland.*
14. ἀποκατασθῆναι *Gall.*
15. *Sic emend. Galland. Libri habent* ἐπιτευχθησόμενον, offensas *vertit Cornarius.*
16. *Fortasse* εὐφυὲς.
17. δὴ *Galland. Vulgo* δὲ. *Idem in seqq. om.* οὕτως.
18. *Editi (praeter Galland.)* φθόνῳ, *mendose. Antea placuit* φθόνῳ τε κεκακ.

ὅπως μὴ δι' αἰῶνος εἴη μεμωμημένον, ἀθάνατον [19] ἔχων ἐν ἑαυτῷ τὸν ψόγον, ἀλλὰ διέλυσεν εἰς ὕλην πάλιν, ἵνα διὰ τῆς ἀναπλάσεως ἐκτακῶσι καὶ ἐξαφανισθῶσι πάντα τὰ ἐν αὐτῷ [20] μωμήματα. Τὸ γὰρ ἐκεῖ ἀναχωνευθῆναι τὸν ἀνδριάντα τοῦτον τὸ ἐνταῦθα ἀποθανεῖν καὶ διαλυθῆναι τὸ σῶμα· τὸ δὲ ἐκεῖ [21] ἀναμορφοποιηθῆναι τὴν ὕλην ἢ [22] ἀνακοσμοποιηθῆναι τοῦτο ἐνταῦθα μετὰ τὸ ἀποθανεῖν τὸ ἀναστῆναι. Ὥςπερ καὶ ὁ προφήτης Ἱερεμίας. Τούτοις γὰρ ἤδη καὶ αὐτὸς ὧδε ταῦτα παρεγγυᾷ, Καὶ κατέβην, λέγων, εἰς τὸν οἶκον τοῦ κεραμέως, καὶ ἰδοὺ, αὐτὸς ἐποίει ἔργον ἐπὶ τῶν λίθων, καὶ διέπεσε τὸ ἀγγεῖον [23] ὃ ἐποίει ἐν ταῖς χερσὶν αὐτοῦ, καὶ πάλιν ἐποίησεν [24] αὐτὸ ἀγγεῖον ἕτερον, καθὼς ἤρεσεν ἐνώπιον αὐτοῦ τοῦ [25] ποιῆσαι· καὶ ἐγέ-
pag. 551. νετο λόγος κυρίου πρὸς μὲ, λέγων, Εἰ καθὼς ὁ κεραμεὺς οὗτος οὐ δυνήσομαι τοῦτο [26] ποιῆσαι ὑμᾶς, οἶκος [27] τοῦ Ἰσραήλ; ἰδοὺ, [28] ὁ πηλὸς τοῦ κεραμέως ὑμεῖς ἐστε ἐν ταῖς χερσί μου.

Κεφ. λε'. (κη'.) Πρόσσχες γὰρ ὅπως, ὡς ἔφην, μετὰ τὸ παραβῆναι τὸν ἄνθρωπον ἡ μεγάλη χεὶρ εἰς [1] νεῖκος καταλεῖψαι τὸ ἑαυτῆς ἔργον οὐκ ηὐδόκησεν, ὡς κίβδηλον, [2] πονηροῦ ἀδίκως αὐτὸ λυμηναμένου βασκάνοις αἰτίαις, ἀλλὰ ἀνατήξας ἀνέδευσεν αὖθις εἰς πηλὸν, οἷα κεραμεὺς [3] ὃς ἀναπλάσσων αὐτὸ, πρὸς τὸ ἀφανισθῆναι μὲν διὰ τῆς ἀναπλάσεως πάντα τὰ ἐν αὐτῷ αἴσχη καὶ θλάσματα, γενηθῆναί [4] τε τὸ πᾶν ἄνωθεν ἀμέμπτως ἀρεστόν. Ἢ οὐκ ἔχει ἐξουσίαν ὁ κεραμεὺς τοῦ πηλοῦ ἐκ τοῦ αὐτοῦ φυράματος ποιῆσαι σκεῦος, ὃ μὲν εἰς τιμὴν, ὃ δὲ εἰς ἀτιμίαν; ὃ δή ἐστι (τοῦτο γὰρ ὁ ἀπόστολός μοι δηλοῦν φαίνεται), Μή τι ἐξουσίαν οὐκ ἔχει ὁ θεὸς ἀπὸ τῆς ὕλης ἑκάστου τῆς αὐτῆς ἀναπλάσας καὶ ἀνακοσμήσας εἶδος ἕκαστον ἢ εἰς τιμὴν ἡμῶν ἀναστῆσαι καὶ δόξαν, ἢ εἰς ἀτιμίαν καὶ κατάκρισιν; εἰς ἀτιμίαν μὲν τῶν ἐν ἁμαρτίαις φαύλως βιωσάντων, εἰς τιμὴν δὲ τῶν ἐν δικαιοσύνῃ. Καθάπερ ἐδηλώθη καὶ τῷ Δανιὴλ ὅτι, Πολλοὶ τῶν καθευδόντων ἐν γῆς χώματι, λέγοντι, ἐξεγερθήσονται οὗτοι εἰς ζωὴν αἰώνιον, καὶ οὗτοι εἰς ὀνειδισμὸν καὶ αἰσχύνην αἰώνιον, καὶ οἱ συνιέντες ἐκλάμψουσιν ὡς ἡ λαμπρότης τοῦ στερεώματος. [5] Ἐφ' ἡμῖν γὰρ οὐ τὸ ἀφανίσαι τὴν [6] ῥίζαν τῆς πονηρίας τελείως, ἀλλὰ τὸ μὴ πρὸς [7] ἔκτασιν αὐτὴν ἐᾶσαι φῦναι καὶ [8] καρποφορεῖν. Ἡ μὲν γὰρ καθόλου καὶ παντελικὴ [9] ταῖς ῥίζαις αὐτῆς ἀναίρεσίς τε καὶ ἀπώλεια ὑπὸ [10] τοῦ θεοῦ κατὰ τὴν τοῦ σώματος, ὡς

19. *Repono* ἔχον.
20. μήματα *edit. princ.*
21. ἀναμορφωθῆναι *cod. Rupif. apud Galland.*
22. ἀνακοσμηθῆναι *cod. Rupif. apud Galland.*
23. ὃ αὐτὸς ἐποίει *Galland.*
24. αὐτὸς *Galland.*
25. ποιεῖν *cod. Rupif. ap. Galland.*
26. ποιεῖν ὑμῖν *cod. Rupif. ap. Galland.*
27. τοῦ *om. Gall.*
28. ὡς ὁ πηλ. *Galland.*

Cap. XXXV. — 1. νεῖκος *correxerunt Cornarius et Petavius. Libri vulgo* νῖκος, *quod retinuit Galland.*
2. τῷ πονηρῷ ἀδίκως ἀπολυμηναμένῳ *Galland. t. l. p.* 775.

esset infectum, cum sempiternam in sese labem illam retineret, sed in materiam denuo resolvit, ut quicquid in eo vitiosum erat reformatione ipsa velut eliquatum atque extinctum periret. Quod enim illic est statuae conflatio, idem hic mors est dissolutioque corporis, ac quod illic est iterum conformari materiam atque in pristinum nitorem restitui, idem hic est post obitum resurgere. Cui et propheta Hieremias adstipulatur. Hic enim eadem omnino docet his verbis: *Et descendi in domum figuli, et ecce ille faciebat opus super* Ierem. 18, 3.
lapidibus, et excidit vas quod fingebat in manibus suis, et rursum finxit ille vas alterum quemadmodum placuit illi, ut faceret: et factum est verbum domini ad me dicens, Si quemadmodum figulus ipse non potero hoc facere vobis, domus Israel? ecce lutum figuli vos estis in manibus meis.

Cap. XXXV. (XXVIII.)

Velim istud attendas, uti dixi, quemadmodum post hominis delictum ingens illa manus opus suum tanquam adulterinum in tanta contumelia probroque relinquere noluerit, cum eum nefarius hostis ex invidia violasset, sed rursus eliquatum et in lutum subactum figuli more refecerit, ut ea reformatione quodcumque in eo foedatum ac contusione deformatum erat penitus tolleretur, ipsius vero opificium, ut erat antea, reprehensionis expers ac iucundum existit: *An non* Rom. 9, 21.
habet potestatem figulus luti ex eadem massa facere vos aliud ad honorem, aliud ad contumeliam? Quod idem est (id enim significare mihi velle videtur apostolus) ac si diceret, Nonne potestatem habet deus ex eadem cuiusque materia singulorum formam reficiens et instaurans, alium ad honorem et gloriam, alium ad infamiam et damnationem excitare? Ad ignominiam quidem eos qui in peccatorum consuetudine turpiter vixerunt, ad honorem vero eos qui vitam ad iustitiam accommodarunt. Quod et a Daniele declaratum est: *Quo-* Dan. 12, 2.
niam multi dormientium in terrae aggere resurgent, hi ad vitam aeternam, et hi ad probrum et dedecus sempiternum: et: *Qui intelligunt, fulgebunt sicut splendor firmamenti.* Est enim hoc in nostra potestate positum, non ut improbitatis radices penitus evellamus, sed ut ne amplius illam excrescere ac fructus edere patiamur. Siquidem absoluta radicum ipsarum extinctio ac profligatio, tum cum, uti

3. ἄγγος ἀνακλάσας πρὸς *Galland.*
4. δὲ *Galland.*
5. *Inde ab his verbis usque ad* ἀρετῆς τὰ ἀμοιβαῖα, *quae sunt cap. 36., leguntur inter excerpta Leontii et Ioannis Rer. Sacrarum lib. II., ap. Ang. Maium Vett. Scriptt. N. Collect. vol. VII, p. 92.* — *Pro* ἐφ' ἡμῖν *ibi extat* Ἔφημεν.
6. ῥίζαν τελέως τῆς πονηρίας *Leontius.*
7. ἔχστασιν *Leontius.*
8. χαρποφορὰν *Leontius.*
9. τῆς ῥίζας *Leontius.*
10. τοῦ *om. Leontius.*

εἴρηται, διάλυσιν γίνεται, ἡ δὲ ἐκ μέρους πρὸς τὸ μὴ οἶσαι [11] βλαστὸν ὑφ' ἡμῶν. Καὶ διὰ τοῦτο τὸν [12] ἐκθρέψαντα πρὸς αὔξησιν αὐτὴν μᾶλλον καὶ μέγεθος, ἀλλὰ [13] μή τι στειρώσαντα τὸ ὅσον ἐπ' αὐτῷ [14] καὶ συμπιλήσαντα, ἀνάγκη διδόναι δίκην, ὅτι δυνάμενος καὶ ἔχων πρὸς τοῦτο τὴν ἐξουσίαν [15] εἵλατο τὸ βλάπτον [16] τοῦ συμφέροντος μᾶλλον [17] προτιμῆσαι.

Κεφ. λϛ'. (κθ'.) Ὥςτε μηδεὶς, [1] αὐτὸς αἴτιος ὢν, ἀκολάστῳ γλώσσῃ μεμφέσθω τὴν θείαν φύσιν ὡς οὐκ ἐν δίκῃ διανέμουσαν ἑκάστῳ κακίας [2] καὶ ἀρετῆς τὰ ἀμοιβαῖα. Τίς γάρ εἶ, ὦ ἄνθρωπε, ὁ ἀνταποκρινόμενος pag. 562. τῷ θεῷ, μὴ ἐρεῖ τὸ πλάσμα τῷ ποιήσαντι, Τί με ἐποίησας οὕτως; Πῶς γάρ, ὁπότε αὐτοδεσπότῳ βουλῇ κακίαν εἵλατο; Διὸ καὶ οὐ λέξει δικαιοσύνης δόγμασιν ἀπαραλλάκτοις κρίνοντι τῷ θεῷ, Τί με ἐποίησας οὕτως; Ὥςπερ ἀκοντιστὴς ὁ ἀπόστολος δεινὸς διεστραμμένα ῥήματα τῶν λόγων. εἰς μέσον ἐμβαλὼν ἀσαφῆ μὲν καὶ ἐπικεκαλυμμένην ποιεῖται εἰς βάθος τῶν ἀναγνωσμάτων τὴν ἐξεργασίαν, ἀληθεστάτην δὲ καὶ ὀρθόδοξον, καὶ μηδὲν ἔχουσαν [3] ἀπημελημένον ἢ δύςφημον. Τοῖς μὲν γὰρ μὴ μετὰ σπουδῆς, ἀλλὰ ἀγεννῶς [4] ἐμπίπτουσι τοῖς λόγοις ἀσυνάρτητα ἔσθ' ὅτε δοκεῖ καὶ ἀσύμφωνα λέγειν, τοῖς δ' αὖ σπουδαίως καὶ λογισμῷ νήφοντι ὁπόσης τάξεως ἔμπλεα καὶ ἀληθείας. Δι' ἀκριβείας μὲν οὖν περὶ τούτων διεξιέναι τὰ νῦν ἱκανὸν ἂν γένοιτο αὐτὸ καθ' ἑαυτὸ μόνον ἔργον. Καὶ γὰρ γελοῖον καταλείψαντάς σου τὴν σκέψιν, ἧς ἕνεκα ταύτην ἐστειλάμεθα, εἰς ἄλλα μετιέναι. Ταῦτα γὰρ ἡμῖν εἴρηται διὰ τῶν ἐθελοκακούντων τιμωρὸν δίκην. Ἀποδειχθέντος τοίνυν ἐνδηλότατα τὸν θάνατον τῷ ἀνθρώπῳ μεμηχανῆσθαι μὴ ἐπὶ κακῷ τινι, ἀλλὰ χρὴ λοιπὸν τὸν μὴ φαύλως τούτοις ἐγκύπτοντα περὶ τῆς ἀναστάσεως νοεῖν τοῦ σώματος. Πῶς γὰρ οὐκ ὠφέλιμος ὁ θάνατος, διαφθείρων ἡμῶν τὰ ληΐζοντα τὴν φύσιν; εἰ καὶ παρὰ τὸν καιρὸν ἐπαχθὴς καθ' ὃν προςφέρεσθαι δοκεῖ καθάπερ αὐστηρότατον νοσοῦντι φάρμακον. Καὶ ἵνα μὴ πολλάκις τὰ αὐτὰ περὶ τῶν αὐτῶν διαλεγώμεθα, φέρε καὶ ἀπὸ τῆς ᾠδῆς τοῦ Δευτερονομίου βεβαιώσαντες τὸν λόγον ἴωμεν τὰ ἑξῆς διαληψόμενοι.

Κεφ. λζ'. (λ'.) Τὸ γάρ, Ἐγὼ ἀποκτενῶ, καὶ ζῆν ποιήσω, πατάξω, κἀγὼ ἰά-

11. καρπὸν ἢ βλαστὸν *Leontius.*
12. ἐκθρέψαντα *cod. Rhedig. et Leontius. Vulgo* ἐκτρέψαντα.
13. μή τι *ego reposui. Vulgo* μὴ ὅτι. *Leontius habet* μὴ στειρώσαντα ὅσον.
14. καὶ μὴ συμπλήσαντα *Leontius.*
15. εἵλετο *Leontius.*
16. πρὸ τοῦ *Leontius.*

dixi, dissolvitur corpus, a deo perficitur. Quae autem ex parte fit, ut a pullulando coerceatur, opera nostra praestari debet; ex quo fit ut qui malam illam stirpem ad amplitudinem et magnitudinem educando perduxerit, neque, quoad potuit, sterilem illam effecerit atque compresserit, poenas illum persolvere oporteat, quod cum facere istud posset ac facultatem haberet, certo animi consilio utilitati damnum praetulerit.

Cap. XXXVI. (XXIX.)

Quamobrem nemo, cum eius mali caussam sustineat, divinae naturae intemperantis linguae reprehensionem aspergat, quasi unicuique virtutis vitiique praemia non iuste distribuat. *Quis enim es, o homo, qui respondeas deo? Numquid dicet figmentum factori suo, Cur me ita fecisti?* Rom. 9, 20. Qui enim id usurpare potest, cum suopte nutu ac voluntate improbitatem elegerit? Propterea non utique deo, qui ex immutabilibus iustitiae decretis iudicat, potest dicere, Cur me ita fecisti? Etenim apostolus, velut peritissimus quidam iaculator contortas verborum sententias in medium emittens, ut obscuram profundissimisque sensibus occultatam orationem instituit, sic verissimam rectaeque fidei consentaneam, quae nihil aut negligentius dictum aut absurdum continet. Qui enim non studiose, sed oscitanter in illius sermones incurrunt, iis nonnunquam minus sibi consentanea ac cohaerentia dicere videtur: qui vero operam adhibent, et sobria atque experrecta mente in illos incumbunt, ex ordine omnia ac rei veritate pronuntiata iudicant. Verum accuratius de his modo disputare magni per sese laboris opus est. Est vero ridiculum proprio argumento derelicto quod tractandum suscepimus nos ad alia conferre. Nam haec a nobis propter illos dicta sunt qui stultorum more mali et ignavi esse sua sponte cupiunt. Cum igitur manifestissime hactenus demonstratum sit, mortem homini non mali esse caussa ullius inflictam, oportet ut deinceps qui non ad haec negligenter attenderit, corporum resurrectionem intelligat. Nam nonne vel eo nomine utilis mors est, per quam ea profligantur quae naturam nostram quodammodo praedantur? tametsi quo tempore nobis infertur, nonnihil molesta videatur, velut medicamentum quoddam, quod aegrotanti amarissimum praebetur. Sed ne eadem saepius de eodem argumento disputemus, age vero, ubi ex Deuteronomii cantico, quod a nobis dictum est comprobaverimus, ad reliqua transeamus. Deut. 32, 39.

Cap. XXXVII. (XXX.)

Haec enim verba: *Ego occidam et vivere faciam: percutiam, et*

17. τιμῆσαι *Leontius.*

Cap. XXXVI. — 1. αὐτοαιτὴς ὢν *Leontius.*

2. ἢ *Leontius.*

3. *Suspicor* ἀτημελημένον.

4. *Rescripsi* ἐμπίπτουσι. *Nam vulgo extat* ἐχπίπτουσι.

σομαι, καὶ οὐκ ἔστιν ὃς ἐξελεῖται ἐκ τῶν χειρῶν μου, λεγόμενον ὑπὸ τοῦ θεοῦ τί ἄλλο διδάσκειν βούλεται ἢ ὅτι διὰ τοῦτο τὸ σῶμα πρῶτον ἀποκτέννυται καὶ θνήσκει, ἵνα αὖθις ἀνασταθῇ καὶ ζήσῃ; Πατάσσεται πρῶτον καὶ θραύεται, ἵνα αὖθις ζῶον πλασθῇ καὶ ὑγιές. Καὶ οὐδὲν ἐξελέσθαι ὅλως τὸ σύνολον τῆς μεγάλης καὶ κραταιᾶς αὐτοῦ χειρὸς πρὸς ἀπώλειαν καὶ ὄλεθρον σθένει οὐ πῦρ, οὐ θάνατος, οὐ σκότος, οὐ χάος, οὐ φθορά. Τίς γὰρ ἡμᾶς, φησὶ, χωρίσει ἀπὸ τῆς
pag. 563. *ἀγάπης τοῦ Χριστοῦ; ὃς ἑρμηνεύεται χεὶρ τοῦ πατρὸς καὶ λόγος, θλίψις, ἢ στενοχωρία, ἢ διωγμὸς, ἢ λιμὸς, ἢ γυμνότης, ἢ κίνδυνος, ἢ μάχαιρα; καθὼς γέγραπται, Ὅτι ἕνεκεν σοῦ θανατούμεθα ὅλην τὴν ἡμέραν, ἐλογίσθημεν ὡς πρόβατα σφαγῆς· ἀλλ' ἐν τούτοις πᾶσιν ὑπερνικῶμεν διὰ τοῦ ἀγαπήσαντος ἡμᾶς, Ἀληθέστατα, ἵνα πληρωθῇ, καθὼς ἔφην, τὸ, Ἐγὼ ἀποκτενῶ, καὶ ζῆν ποιήσω, πατάξω, κἀγὼ ἰάσομαι, καὶ οὐκ ἔστιν ὃς ἐξελεῖται ἡμᾶς ἐκ τῆς ἀγάπης τοῦ θεοῦ τῆς ἐν Χριστῷ Ἰησοῦ πρὸς ἀπώλειαν· διὸ καὶ ἐλογίσθημεν ὡς πρόβατα σφαγῆς, ἵνα ἀποθανόντες τῇ ἁμαρτίᾳ ζήσωμεν τῷ θεῷ. Καὶ ταῦτα μὲν μέχρι τοσούτου διεσκέφθω. Τὰ δὲ συνεχῆ τούτοις ὧδε πάλιν προχειριστέον.*

Κεφ. λη'. (λα'.) *Εἰ πᾶν τὸ γεννώμενον νοσεῖ (προτείνει γὰρ οὕτως ὁ ἐξ ἐναντίας), καὶ κατὰ τὴν γένεσιν καὶ κατὰ τὴν τροφὴν ἀπὸ τῶν προσιόντων, φησὶν, αὔξεται, καὶ ἀπὸ τῶν ἀπιόντων ἐλαττοῦται, τὰ δὲ μὴ γεννώμενα ὑγιαίνει, μηδὲ νοσεῖ μηδὲ προσδεῖται ἢ ἐπιθυμεῖ, ἐπιθυμεῖ δὲ τὰ γεννώμενα καὶ συνουσίας καὶ τροφῆς, τὸ δὲ ἐπιθυμεῖν νοσεῖν ἐστι, τὸ δὲ μὴ δεῖσθαι μηδὲ ἐπιθυμεῖν ὑγιαίνειν, νοσεῖ δὲ τὰ γεννώμενα ὅτι ἐπιθυμεῖ, τὰ δὲ μὴ γεννώμενα οὐ νοσεῖ, πάσχει δὲ τὰ νοσοῦντα ἢ κατὰ πλῆθος ἢ ἔνδειαν τῶν προσγινομένων καὶ ἀπογινομένων, τὸ δὲ πάσχον καὶ φθίνει καὶ ἀπόλλυται, διόπερ καὶ γεννᾶται, γεννᾶται δὲ ὁ ἄνθρωπος, — οὐ δύναται ἄρα ἀπαθὴς εἶναι ὁ ἄνθρωπος καὶ ἀθάνατος. Καταπίπτει μὲν οὖν καὶ ἐπὶ τούτοις αὐτοῖς ὁ λόγος. Εἰ γὰρ πᾶν τὸ γιγνόμενον ἢ γεννώμενον ἀπόλλυται (διαφέρει γὰρ οὐδὲν οὕτως εἰπεῖν, ἐπειδὴ καὶ οἱ πρωτόπλαστοι οὐκ ἐγεννήθησαν, ἀλλ' ἐγενήθησαν), γενητοὶ δὲ καὶ οἱ ἄγγελοι καὶ αἱ ψυχαὶ (Ὁ ποιῶν τοὺς ἀγγέλους αὐτοῦ πνεύματα), ἀπόλλυνται ἄρα οἱ ἄγγελοι κατ' αὐτοὺς, αἳ καὶ ψυχαί. Ἀλλὰ οὔτε οἱ ἄγγελοι, οὔτε αἱ ψυχαὶ ἀπόλλυνται. Ἀθάνατα γὰρ ταῦτα καὶ ἀδάμαστα, καθὼς ὁ ποιήσας εἶναι βεβούληται. Ἀθάνατος ἄρα καὶ ὁ ἄνθρωπος. Οὐκ ἀρεστὸν δὲ ἐκεῖνο, τὸ λέγειν εἰς ἄρδην ἀπολεῖσθαι τὸ πᾶν, [1] καὶ γῆν καὶ ἀέρα καὶ οὐρανὸν μὴ ἔσεσθαι. Ἐκπυρωθήσεται μὲν γὰρ πρὸς κάθαρσιν καὶ ἀνακαινισμὸν καταβὰς [2] ἅπας*

Cap. XXXVIII. — 1. καὶ οὐρ. καὶ γῆν κ. ἀέρα *Galland. l. l. p.* 775.
2. *Rescripsi* ἅπας, *Cornarium atque Petavium secutus. Libri vulgo* ὡ πᾶς. *Galland. edidit* ἀνακαινισμὸν καταβασίῳ πυρὶ πᾶς κατακλυζ. ὁ κόσμος.

ego sanabo, et non est qui eruat de manibus meis, quae a deo proferuntur, quid aliud nos docent, nisi ob id corpus interfici primum atque emori ut postea resurgat atque reviviscat? Percutitur inprimis ac confringitur ut salvum deinceps integrumque formetur. Nec est omnino quicquam, quod ab ingenti illius fortique manu nos ad interitum ac perniciem possit eximere, non ignis, non mors, non tenebrae, non chaos, non corruptio. *Quis enim nos separabit,* in- Rom. 8, 35.
quit, *a caritate Christi?* quem patris manum ac verbum interpretamur: *Tribulatio? angustia? aut persecutio? aut fames? aut nuditas?* Ps. 44, 22.
aut periculum? aut gladius? Quemadmodum scriptum est, Quoniam propter te mortificamur quotidie, aestimati sumus, sicut oves occisionis: sed in his omnibus superamus per eum, qui nos dilexit. Verissime omnino; ut illud impleatur, quemadmodum diximus: *Ego oc-* Deut. 32, 39.
cidam, et ego vivere faciam: percutiam et ego sanabo: et non est qui eruat nos ex caritate dei, quae est in Christo Iesu, ad exitium videlicet. Quocirca *aestimati sumus sicut oves occisionis, ut mortui pec-* Rom. 8, 35.
cato vivamus deo. Sed de his hactenus. Nunc quae his consentanea sint hunc in modum expromenda sunt.

Cap. XXXVIII. (XXXI.)

Si id omne, quod genitum est, aegre sese habet (ita enim adversarius obiicit), ac tam in generatione ipsa quam nutricatu et ab accedentibus augetur, et ab decedentibus minuitur, quae autem minime gignuntur, saluberrima sunt, nec aegrotant unquam, neque ullius rei indigent aut appetunt, quae autem genita sunt, et coitum et alimentum appetunt, est autem appetere idem atque aegrotare, e contrario vero nullius indigere nec appetere idem est ac sanum esse, aegrotant porro quaecumque nata sunt, quia concupiscunt, quae vero minime nata sunt, non aegrotant, iam vero quaecumque aegra sunt eorum quae accedunt deceduntve copia vel inopia laborant, quod autem patitur, corrumpi atque interire necesse est, cuius rei gratia gignitur, atqui homo gignitur, non potest igitur homo passionis expers et immortalis esse. Verum vel iis ipsis illorum evertitur oratio. Nam si quicquid productum aut genitum est interit (nihil autem refert, si ita dixerimus, quoniam primi nostri parentes non geniti sunt, sed producti), cum et angeli et animae productae sint (scriptum est enim, *Qui facit angelos suos spiritus*), ex illorum opinione Ps. 103, 4.
consequens est tam angelos quam animas perire. At neque angeli neque animae occidunt, sunt enim immortales, nec a quoquam edomari possunt, quemadmodum illorum conditori placuit. Igitur immortalis est homo. Sed nec illud magnopere probo, si et funditus hoc universum periturum esse dicamus, et terram atque aërem et coelum quandoque desiturum. Siquidem totus hic mundus, ut pur-

pag. 554. ὁ κόσμος κατακλυζόμενος πυρὶ, οὐ μὴν εἰς ἀπώλειαν ἐλεύσεται παντελῆ καὶ φθοράν. Εἰ γὰρ κρεῖττον τὸ μὴ εἶναι τοῦ εἶναι τὸν κόσμον, διὰ τί τὸ χεῖρον ᾑρεῖτο ποιήσας τὸν κόσμον ὁ [3] θεός; ματαίως ἐχειροποίει. Οὐκοῦν εἰς τὸ εἶναι καὶ μένειν τὴν κτίσιν ὁ θεὸς διεκοσμήσατο, καθάπερ καὶ ἡ Σοφία [4] διασυνίστησιν. Ἔκτισε γὰρ εἰς τὸ εἶναι, [5] λέγουσα, πάντα ὁ θεὸς, καὶ σωτήριοι αἱ γενέσεις τοῦ κόσμου, καὶ οὐκ ἔστιν ἐν αὐταῖς φάρμακον ὀλέθρου. Καὶ ὁ Παῦλος δὲ σαφῶς μαρτυρεῖ, λέγων, Ἡ γὰρ ἀποκαραδοκία τῆς κτίσεως τὴν ἀποκάλυψιν τῶν υἱῶν τοῦ θεοῦ [6] ἀπεκδέχεται· τῇ γὰρ ματαιότητι ἡ κτίσις ὑπετάγη, οὐχ ἑκοῦσα, ἀλλὰ διὰ τὸν ὑποτάξαντα ἐπ' [7] ἐλπίδι ὅτι καὶ αὐτὴ ἡ κτίσις ἐλευθερωθήσεται ἀπὸ τῆς δουλείας τῆς φθορᾶς, εἰς τὴν ἐλευθερίαν τῆς δόξης τῶν τέκνων τοῦ θεοῦ. Τῇ γὰρ ματαιότητι [8] ἡ κτίσις ὑπετάγη, φησίν. Ἐλευθερωθήσεσθαι δὲ τῆς τοιαύτης δουλείας προςδοκᾷ [9] κτίσιν, τὸν κόσμον τοῦτον βουλόμενος νῦν [10] καλεῖν. Οὐ γὰρ τὰ μὴ βλεπόμενα τῇ φθορᾷ δουλεύει, ἀλλὰ ταῦτα δὴ τὰ βλεπόμενα. Μένει ἄρα ἡ κτίσις εἰς τὸ ἄμεινον ἀνακαινοποιηθεῖσα καὶ εὐπρεπέστερον, ἀγαλλομένη καὶ χαίρουσα ἐπὶ τοῖς τέκνοις τοῦ θεοῦ τῇ ἀναστάσει· [11] διὸ στενάζει καὶ συνωδίνει νῦν, τὴν ἀπολύτρωσιν ἡμῶν ἀπὸ τῆς φθορᾶς καὶ αὐτὴ τοῦ σώματος ἀπεκδεχομένη, ὅπως ἡμῶν ἐξεγερθέντων καὶ ἀποτιναξαμένων τὴν νεκρότητα τῆς σαρκὸς, κατὰ τὸ γεγραμμένον, Ἐκτίναξαι τὸν χοῦν, καὶ ἀνάστηθι, [12] κάθισον Ἱερουσαλὴμ, ἐλευθερωθέντων τε τῆς ἁμαρτίας, ἐλευθερωθήσεται καὶ αὐτὴ τῆς φθορᾶς, μηκέτι τῇ ματαιότητι δουλεύουσα, ἀλλὰ τῇ δικαιοσύνῃ. [13] Οἴδαμεν γὰρ ὅτι πᾶσα ἡ κτίσις συστενάζει, καὶ συνωδίνει ἄχρι τοῦ νῦν· οὐ μόνον δὲ, ἀλλὰ καὶ αὐτοὶ τὴν ἀπαρχὴν τοῦ πνεύματος ἔχοντες καὶ αὐτοὶ ἐν ἑαυτοῖς στενάζομεν, υἱοθεσίαν ἀπεκδεχόμενοι, τὴν ἀπολύτρωσιν τοῦ σώματος ἡμῶν. Καὶ ὁ [14] Ἡσαΐας, Ὃν τρόπον γὰρ ὁ οὐρανὸς καινὸς καὶ ἡ γῆ καινὴ, [15] ἃ ἐγὼ, φησὶ, ποιῶ, μένει ἐνώπιόν μου, λέγει κύριος, οὕτως ἔσται τὸ σπέρμα ὑμῶν, καὶ τὸ ὄνομα ὑμῶν. Καὶ πάλιν, Οὕτω λέγει κύριος ὁ ποιήσας τὸν οὐρανὸν, οὗτος ὁ κατασκευάσας τὴν γῆν, καὶ ποιήσας αὐτὴν, αὐτὸς διώρισεν αὐτὴν
pag. 555. οὐκ εἰς [16] κενὸν, ἀλλὰ κατοικεῖσθαι. Ὄντως γὰρ οὐκ εἰς κενὸν, οὐδὲ εἰς μάτην πρὸς ἀπώλειαν ἔκτισε, κατὰ τοὺς φρονοῦντας μάταια, τὸ πᾶν ὁ θεὸς, ἀλλὰ εἰς τὸ εἶναί τε καὶ οἰκεῖσθαι καὶ διαμένειν. Διὸ ἀνάγκη δὴ καὶ τὴν γῆν αὖθις καὶ τὸν οὐρανὸν μετὰ τὴν ἐκφλόγωσιν [17] ἔσεσθαι πάντων καὶ τὸν βρασμόν. Διὰ τί δὲ τοῦτο ἀνάγκη, λόγος

3. *Galland. edidit* θεός; Ἀλλ' οὐδὲ ὁ θεὸς, ματαίως ἢ χεῖρω ἐποίει.
4. διασυνίστησιν *ego.* δι' ἃ συνίστησιν *vulgata est scriptura.* συνίστησιν *Galland.*
5. τὰ πάντα λεγ. ὁ θεὸς *Galland.*
6. ἐπεκδέχεται *Galland.*
7. ἐλπίδα *Galland.*
8. φησιν, ἡ κτ. ὑπετάγη *Galland.*
9. κτίσις *Galland. Suspicor* κτίσιν, κτίσιν τὸν κόσμον *cett.*
10. φιλοκαλεῖν *cod. Rupif. apud Gal-*

gari instaurarique possit, exundantibus flammis incendio conflagrabit, non tamen interibit ac corrumpetur omnino. Etenim si mundum non esse quam esse melius est, cur quod deterius est mundum fabricando deus eligeret ac frustra opus illud produceret? Quamobrem ut essent ac manerent, conditas a se res deus constituit; id
quod Sapientia confirmat his verbis: *Creavit enim ut essent omnia* Sap. 1, 14.
deus, et salutares sunt mundi generationes, nec est in illis medicamentum exitii. Cui et perspicue Paulus adstipulatur, dum ita loqui-
tur: *Nam expectatio creaturae revelationem filiorum dei expectat: va-* Rom. 8, 19.
nitati enim creatura subiecta est, non volens, sed propter eum qui subiecit eam in spe, quod et ipsa creatura liberabitur a servitute corruptionis in libertatem gloriae filiorum dei: Vanitati quippe creatura subiecta est, ait. Ab hac porro servitute liberatum iri creaturam expectat; quo nomine mundum hunc significare volunt. Non enim quae videri nequeunt, sed haec quae aspectabilia sunt corruptelae serviunt. Manet igitur creatura meliorem in statum decentioremque renovata, resurrectione propter dei filios gaudens et exultans; quorum gratia *ingemiscit et parturit modo*, redemptionem nostram a corruptione ipsa corporis expectans, ut cum nos a mortuis fuerimus excitati ac mortalitatem carnis excusserimus, pro eo ac scriptum
est, *Excute pulverem et consurge, sede Ierusalem*, cumque a pec- Isai. 52, 2.
cato libertati fuerimus, a corruptione ipsa quoque liberetur, nec
iam vanitati, sed iustitiae serviat. *Scimus enim quod omnis creatura* Rom. 8, 22.
ingemiscit, et parturit usque adhuc: non solum autem, sed et nos primitias spiritus habentes, et ipsi in nobis ipsis geminus adoptionem,
expectantes redemptionem corporis nostri. Ita et Esaias: *Quemadmo-* Isai. 66, 22.
dum enim, inquit, *coelum novum et terra nova, quae ego facio, manent coram me, dicit dominus, sic erit semen vestrum, et nomen ve-*
strum. Ac rursum: *Sic dicit dominus qui fecit coelum, hic qui ter-* Isai. 45, 18.
ram condidit, et fecit illam: ipse discrevit illam, non in vanum, sed ut habitetur. Nam revera non frustra atque inaniter et ad exitium ex ineptissimorum hominum opinione totum hoc universum condidit deus, sed ut esset, et habitaretur, atque permaneret. Unde et terram necesse est et coelum post illam rerum omnium conflagrationem atque aestum existere. Cur autem ita fieri necesse sit, lon-

land. Voc. νῦν *ante* καλεῖν *abest a Galland.*

11. διὸ *edidi Gallandium secutus. Vulgata scriptura est* δι' οὗς.

12. [καὶ] κάθισον *Galland.*

13. *Verba* Οἴδαμεν - - τοῦ σώματος ἡμῶν *non habet Galland.*

14. Ἡσαΐας δὲ, ὃν *Galland.*

15. φησιν, ἃ ἐγὼ ποιῶ *Galland.*

16. κενὸν [ἐποίησε αὐτὴν] ἀλλὰ κατοικεῖσθαι [ἔπλασεν αὐτήν]. Ὄντως *Galland.*

17. πάντων, καὶ τ. βρ. ἔσεσθαι *Galland. Verba* Διὰ τί - - φθοράν. *non extant ap. Galland.*

ἂν ἔτι [18] πλείω τῶν εἰρημένων γίγνοιτο. Οὔτε γὰρ εἰς ὕλην ἀργὴν καὶ τοιαύτην ἔτι κατάστασιν οἵαν καὶ πρὸ τῆς διακοσμήσεως, εἰς ἣν διαλυθῇ, ἀναστοιχειωθήσεται τὸ πᾶν, οὔτ' αὖ εἰς ἀπώλειαν παντελῆ καὶ φθοράν.

Κεφ. λΘ'. (λβ'.) Ἐὰν δὲ, Πῶς οὖν, [1] ἐὰν μὴ ἀπόλλυται τὸ πᾶν, οἱ ἐξ ἐναντίας εἴπωσιν, [2] ὁ μὲν κύριος τὸν οὐρανὸν παρελεύσεσθαι ἔφη, καὶ τὴν γῆν, ὁ δὲ προφήτης ἀπολεῖσθαι μὲν [3] οὐρανὸν ὡς καπνὸν, τὴν δὲ γῆν ὡς ἱμάτιον παλαιωθήσεσθαι; [4] Ἐπειδὴ ἔθος ταῖς γραφαῖς, λέξομεν, τὴν εἰς τὸ κρεῖττον καὶ ἐνδοξότερον [5] ἀπὸ ταύτης τῆς καταστάσεως τοῦ κόσμου μεταβολὴν ἀπώλειαν λέγειν, οἷον τοῦ πρόσθεν σχήματος ἀπολλυμένου κατὰ [6] τὴν εἰς τὸ φαιδρότατον ἁπάντων ἐξαλλαγήν· ὅτι μηδεμία ὑπεναντίωσις ἢ ἀτοπία ἐν τοῖς θείοις λόγοις. Παράγει γὰρ τὸ σχῆμα τοῦ κόσμου τούτου, καὶ οὐχ ὁ κόσμος εἴρηται. Οὕτως ἔθος ἀπώλειαν καλεῖν τὰς γραφὰς τὴν πρὸς τὸ ἄμεινον ἔσθ' ὅτε καὶ εὐμορφότερον τροφὴν τοῦ [7] πρόσθεν σχήματος, οἷον ὥςπερ ὁπότ' ἄν τις ἀπώλειαν [8] λέγοι [9] τοῦ κατὰ τὸν νηπίον σχήματος τὴν εἰς τὸν ἄνδρα τὸν τέλειον μεταλλαγὴν, τρεπομένης εἰς μέγεθος καὶ κάλλος τῆς ἡλικίας τοῦ νηπίου. [10] Ὅτε γὰρ ἤμην νήπιος, ὡς νήπιος ἐλάλουν, ὡς νήπιος ἐφρόνουν, ὡς νήπιος ἐλογιζόμην· ὅτε δὲ γέγονα ἀνὴρ, τὰ τοῦ νηπίου κατήργησα. [11] Παραχθήσεσθαι μὲν γὰρ τὴν κτίσιν, ὥςπερ τεθνηξομένην κατὰ τὴν ἐκπύρωσιν, ἵνα [12] ἀνακτισθῇ, οὐ μὴν ἀπολεῖσθαι προςδοκητέον· ὅπως οἱ ἀνακαινοποιηθέντες ἐν ἀνακαινοποιηθέντι κόσμῳ ἄγευστοι λύπης κατοικήσωμεν· [13] κατὰ τὸ λεχθὲν, Ἐξαποστελεῖς τὸ πνεῦμά σου, καὶ κτισθήσονται, [14] ἐν ἑκατοστῷ τρίτῳ Ψαλμῷ, καὶ ἀνακαινιεῖς τὸ πρόςωπον τῆς γῆς, τοῦ περιέχοντος τῆς εὐκρασίας [15] ἐπιτροπεύσαντος λοιπὸν τοῦ θεοῦ. Ἐσομένης γὰρ καὶ μετὰ τοῦτον τὸν αἰῶνα γῆς ἀνάγκη πᾶσα ἔσεσθαι καὶ τοὺς οἰκήσοντας, οὐκέτι τεθνηξομένους ἢ pag. 566. γαμήσοντας [16] καὶ γεννησομένους, ἀλλ' ὡς ἀγγέλους ἀμεταστρόφως ἐν ἀφθαρσίᾳ τὰ ἄριστα πράξοντας. Διὸ ληρῶδες τὸ ἐν ποίᾳ διαγωγῇ τότε δὴ τὰ σώματα ἔσονται λέγεσθαι, μήτε ἀέρος, μήτε γῆς, μήτε τῶν ἄλλων ἐσομένων.

Κεφ. μ'. (λγ'.) Ἄξιον δὲ κἀκεῖνο πρὸς τοῖς εἰρημένοις ἐπισκοπεῖν, ὡς ἔχει πολλὴν διάπτωσιν, εἰ δεῖ παρρησίαν ἄγειν, [1] περὶ τούτων, ὦ Ἀγλαοφῶν,

18. *Repono* πλείων.
Cap. XXXIX. — 1. εἰ μὴ *Galland. l. l. p.* 776.
2. ὅμως Χριστὸς *cod. Rupif. ap. Gall.*
3. τὸν οὐρανὸν *Galland.*
4. ἐπειδὰν *Galland.*
5. *Sic Galland. Libri vulgo habent* ἀποκατάστασιν ταύτης τοῦ κόσμου.
6. κατὰ τὴν φαιδρότερον *ed. Galland.*
7. ἔμπροσθεν *Galland.*
8. λέγει *Galland.*
9. *Libri vulgo habent* λέγοι τῆς κατὰ τοῦ νήπιον σχήματος, *quod correxit Gallandius.*

giorem quam hactenus sermonem ad explicandum requirit. Non enim in otiosam materiem, eamque quam ante constitutionem habuit et in quam dissoluta fuerit, neque in absolutum interitum ac corruptionem, redacta universitas ista reformabitur.

At enim, obiicient adversarii, si totum hoc universum nequaquam pereat, quomodo *coelum ac terram transitura esse* dominus dicit? propheta vero *coelum fumi instar esse periturum, terram autem quasi vestimentum inveteraturam?* Sed nos hunc scripturae morem esse respondebimus, ut mundi instaurationem atque in melius praestantiusque mutationem interitum appellet, utpote sum prior forma in illa iucundiorem in statum conversione pereat. Nihil enim in sacris literis contrarium est et absurdum. *Praeterit enim figura huius mundi.* Non mundum ipsum dixit. Sic igitur scripturis usitatissimum est, antecedentis in id quod melius ac formosius est figurae commutationem interitum dicere. Perinde ac si quis infantilis figurae perfectum in virum transitum ac mutationem interitum nominet, cum illius aetas ad magnitudinem pulchritudinemque traducitur. *Cum enim essem parvulus, loquebar ut parvulus, sapiebam ut parvulus, cogitabam ut parvulus, postquam autem factus sum vir, evacuavi quae erant parvuli.* Et vero perturbandam esse creaturam, velut in illa conflagratione perituram, ut iterum creetur, non tamen extinguendam esse, putandum est, ut instaurato mundo ipsimet instaurati ac doloris expertes habitemus; quemadmodum in centesimo tertio Psalmo proditum est: *Emittes spiritum tuum, et creabuntur, et renovabis faciem terrae.* Quod nimirum ambientem aërem temperatissimum deinceps facturus sit deus. Cum enim post saeculi praesentis exitum adhuc terra perseveratura sit, habitatores in ea quosdam inesse necesse est, qui nec morituri sunt amplius, neque copulandi nuptiis aut procreandae soboli operam daturi, sed angelorum more sine ulla mutatione in immortalitatis statu optima sint quaeque facturi. Proindeque stultum est quanam vitae ratione usura sint corpora quaerere, si nec aër, neque terra, neque quicquam ceterorum sit amplius futurum.

Cap. XXXIX. (XXXII.) Matth. 24, 35. Ps. 101, 27. cf. Isai. 51, 6. 1. Cor. 7, 31. 1. Cor. 13, 11. Ps. 103, 30.

Est illud insuper, o Aglaophon, consideratione dignum, errare illum vehementer ac falli, si quod res est audacter pronuntiare li- Cap. XL. (XXXIII.)

10. *Verba* Ὅτε γὰρ --- κατήργησα *non habet Galland.*
11. Παραχϑήσεσϑαι *ed. Galland. Vulgo extat* Ταραχϑήσεσϑαι.
12. καὶ ἀνακαινισϑῇ *Galland.*
13. *Sic Galland. Vulgo* ἢ κατὰ τὸ *cett.*
14. *Verba* ἐν ἑκατοστῷ τρίτῳ Ψαλμῷ *non habet Galland.*
15. ἐπιτροπεύοντος *Galland.*
16. ἢ *Galland.*
Cap. XL. — 1. περὶ τηλικούτων, Ἀγλαοφῶν. ἔφρασας *cett. Galland. l. l. p.* 776.

διαλεγόμενος πραγμάτων. Φράσας γὰρ ἀποφήνασθαι τὸν κύριον ὡς οἱ τῆς ἀναστάσεως τευξόμενοι ἔσονται τότε ὡς ἄγγελοι, ἔνθα πειράζουσιν αὐτὸν οἱ Σαδδουκαῖοι, [2] ἐπέφερες, Οἱ δὲ ἄγγελοι ἐκτὸς ὄντες σαρκὸς ἐν μακαριότητος ἀκρότητι διὰ τοῦτο καὶ δόξης εἰσὶ, καὶ ἡμᾶς δὲ ἄρα, [3] ἐξισάζεσθαι μέλλοντας ἀγγέλοις, ἀνάγκη δὴ σαρκῶν ὡσαύτως ἐκείνοις γυμνοὺς [4] ἔσεσθαι δεῖν· οὐκ ἐπιστήσας, ὦ ἄριστε, ὡς ὁ ποιήσας καὶ διακοσμήσας ἐξ οὐκ ὄντων τὸ πᾶν τὴν τῶν ἀθανάτων φύσιν οὐ μόνον εἰς ἀγγέλους καὶ λειτουργοὺς διανείμας διεκόσμησεν, ἀλλὰ καὶ εἰς ἀρχὰς καὶ θρόνους καὶ ἐξουσίας. Ἄλλο γὰρ γένος τὸ τῶν ἀρχῶν, καὶ ἄλλο τὸ [5] τῶν ἐξουσιῶν, ὅτι μὴ τάγμα ἓν καὶ μία σύστασις καὶ φυλὴ καὶ πατριὰ τῶν ἀθανάτων, ἀλλὰ γένη καὶ φυλαὶ καὶ διαφοραί. Καὶ οὔτε τὰ Χερουβὶμ τῆς ἰδίας ἐξιστάμενα φύσεως εἰς τὴν τῶν ἀγγέλων ἰδέαν μετασκευάζονται, [6] οὔτε εἰς ἑτέρων πάλιν οἱ ἄγγελοι. Εἶναι γὰρ αὐτὰ χρὴ καὶ ὃ εἰσι καὶ ὃ γεγόνασιν. [7] Ἀτὰρ καὶ ὁ ἄνθρωπος τὸν κόσμον οἰκεῖν καὶ τῶν ἐν αὐτῷ πάντων ἡγεμονεύειν κατασταθεὶς τῆς ἐξ ἀρχῆς διακοσμήσεως, ἀθάνατος ὢν, τοῦ εἶναι ἄνθρωπος οὔποτε μεταβληθήσεται, οὔτε εἰς τὴν τῶν ἀγγέλων, οὔτε εἰς τὴν τῶν ἑτέρων μορφὴν, ὅτι μηδὲ οἱ ἄγγελοι εἰς τὴν [8] ἄλλων τῆς ἐξ ἀρχῆς ἰδέας μετακοσμούμενοι μεταβάλλονται. Ὁ γὰρ Χριστὸς ἧκεν οὐκ εἰς ἑτέραν μεταπλασθῆναι κηρύσσων ἢ μετασκευασθῆναι τὴν ἀνθρωπείαν φύσιν, ἀλλὰ εἰς ὃ ἦν ἐξ ἀρχῆς πρὸ τοῦ ἐκπεσεῖν, ἀθάνατος ὤν. Χρὴ γὰρ ἐν τῷ ἰδίῳ τῆς ἕξεως [9] ἑαυτοῦ τύπῳ τῶν γενητῶν ἕκαστον μένειν, ἵνα πάντα πάντων ὦσι πεπληρωμένα, οὐρανοὶ μὲν ἀγγέλων, θρόνοι δὲ ἐξουσιῶν, φῶτα δὲ λειτουργῶν, καὶ οἱ θειότεροι τόποι καὶ τὰ [10] ἀκραιφνῆ φῶτα τῶν Σεραφὶμ, ἃ παρεστήκασι τῇ μεγάλῃ
pag. 567. *βουλῇ [11] διακρατούσῃ τὸ πᾶν, ὁ δὲ κόσμος ἀνθρώπων. Ἐὰν δὲ μεταβάλλεσθαι δῶμεν τοὺς ἀνθρώπους εἰς ἀγγέλους, ὥρα μεταβάλλεσθαι λέγειν καὶ τοὺς ἀγγέλους εἰς ἐξουσίας, καὶ ταύτας εἰς ἄλλο καὶ ἄλλο, [12] ἔστ' ἂν ὁ λόγος ἀναβὰς εἰς κίνδυνον ἐμπέσῃ.*

Κεφ. μα'. (λδ'.) *Ἀλλ' οὔτε ὡς φαῦλον τεκτηναμένος ὁ θεὸς τὸν ἄνθρωπον ἢ διαμαρτήσας αὐτοῦ περὶ τὴν [1] διάπλασιν ἄγγελον αὐτὸν ὕστερον ἐπενόησε ποιῆσαι μεταγνοὺς, ὥσπερ οἱ φαυλότατοι τῶν [2] δημιουργῶν, οὔτε ἄγγελον κατ' ἀρχὰς θελήσας ποιῆσαι καὶ μὴ δυνηθεὶς ἄνθρωπον ἔπλασεν. Ἀσθενὲς τοῦτο γάρ. Τί δή ποτε οὖν τὸν ἄνθρωπον ἐποίει, καὶ οὐκ*

2. ἐπέφερες οὖν· οἱ δὲ ἄγγ. *Galland.* *Vulgo extat* ἐπέφερεν, Οἱ δὲ ἄγγ. *Cornarius vertit* mox intulisti.
3. ἐξίσασθαι *Galland.*
4. ἀγγέλους *addidit ante* ἔσεσθαι *Galland.*
5. τῶν ἀρχῶν καὶ τῶν ἐξουσιῶν *Galland.*

ceat, cum iis de rebus sermonem instituit. Nam cum ita dixisset, dominum Sadducaeis tentantibus respondisse, *qui compotes resurrectionis essent, angelorum instar futuros*, post ista subiunxit, Angeli porro carnis expertes in summa felicitate degunt ac gloria. Quare et nos, quos aequari angelis oportet, necesse est ad eundem modum carne nudari. Nec illud, optime virorum, animadvertit, eum, qui ex nihilo mundum fabricavit ac constituit. non angelis modo et administris suis, sed et Principatibus, Thronis ac Potestatibus eandem immortalitatis conditionem tribuisse. Aliud enim est Principatuum genus, aliud Potestatum; eo quod non unus ordo, nec unum veluti corpus ac tribus immortalium et familia sit, sed generum ac velut nationum divortia. Neque Cherubim igitur ab natura sua desciscentia in angelorum conditionem transeunt, neque contra aliorum in naturam angeli commutantur. Quippe quod et sunt, et cuiusmodi producta sunt, esse illa necesse est. Etenim si et homo, qui ut hunc mundum habitaret, omnibusque qui in eo sunt praeesset, ex prima dispositione constitutus est, cum sit immortalis, nunquam in angelorum aut alterius cuiuslibet formam ex homine convertendus est, certe nec angeli ab ea quam initio sortiti sunt specie ac natura transformari mutarique possunt. Et vero Christus adveniens non in alteram demutari vertique naturam hominis oportere praedicavit, sed in id redire duntaxat quod initio fuerat, antequam excideret, tum cum esset immortalis. Siquidem necesse est unumquodque eorum quae producta sunt in propria naturae suae forma ac conditione permanere ut omnibus omnia compleantur, puta coelestes angelis orbes, throni potestatibus, administris lumina, diviniores porro sedes sincerioraque lumina Seraphimis, qui summae illi providentiae, qua omnia continentur, velut apparitores assistunt, mundus denique hominibus. Atqui si in angelos mutari homines concesserimus, consequens est ut et angelos in potestates, et has in aliud atque aliud transire dicamus, donec ac superiora sermo progrediens periculosius implicetur.

Marc. 12, 25.

Neque vero quod velut malum hominem fabricaverit deus, aut in eo fingendo aberrarit, angelum postea facere illum voluit, quasi ipsum vilissimorum opificum instar poenitentia cepisset. Neque cum angelum principio facere constituisset, neque id esset asseculus, hominem procreavit. Nimium istud imbecillum est. Cur igitur ho-

Cap. XLI. (XXXIV.)

6. οὔτ' αὖ πάλιν εἰς ἑτέραν *Galland.*
7. 'Ατὰρ *Galland.* *Vulgo* Εἰ γὰρ.
8. ἄλλην *Galland.*
9. αὐτῶν τόπῳ *Galland.*
10. ἀκράτητα καὶ ἀκραιφνῆ *Galland.*
11. διακρατοῦντα *Galland.*
12. ἔστ' ἂν καὶ ὁ λόγος *Galland.*
Cap. XLI. — 1. *Al.* πλάσιν. (*Galland.*)
2. λειτουργῶν *Galland.*

ἄγγελον, εἴγε ἄγγελον τὸν ἄνθρωπον καὶ οὐκ ἄνθρωπον γενέσθαι ἠθέλησεν; Ὡς οὐ δυνάμενος; βλάσφημον. [3] Ἀλλὰ ἀνεβάλλετο περὶ τοῦ κρείττονος τὸ χεῖρον ποιῶν; καὶ τοῦτο ἄτοπον. Οὔτε γὰρ διασφάλλεται περὶ [4] τὸ ποιεῖν τὸ καλὸν, οὔτε ἀναβάλλεται, οὔτε ἀδυνατεῖ, ἀλλὰ καὶ ὡς θέλει καὶ ὅτε θέλει τὸ δύνασθαι ἔχει δύναμις ὤν. Οὐκοῦν εἶναι τὸν ἄνθρωπον ἄνθρωπον θέλων ἐξ ἀρχῆς ἔκτισεν· εἰ δὲ θέλων, θέλει δὲ τὸ καλὸν, καλὸν δὲ ὁ ἄνθρωπος, ἄνθρωπος δὲ τὸ ἐκ ψυχῆς καὶ σώματος λέγεται συντεθὲν, οὐκ ἔσται ἄρα ἐκτὸς σώματος ὁ ἄνθρωπος, [5] ἀλλὰ μετὰ σώματος, ἵνα μὴ ἄλλος ἄνθρωπος παρὰ τὸν ἄνθρωπον γεννηθῇ. Δεῖ γὰρ τῷ θεῷ τὰ ἀθάνατα γένη πάντα [6] σώζεσθαι. Ἔκτισε γὰρ, φησὶ ἡ Σοφία, τὸν ἄνθρωπον ὁ θεὸς ἐπὶ ἀφθαρσίᾳ, [7] καὶ εἰκόνα τῆς ἰδίας ἀϊδιότητος ἐποίησεν αὐτόν. Οὐκ ἄρα ἀπόλλυται τὸ σῶμα. Ὁ γὰρ ἄνθρωπος ἐκ ψυχῆς καὶ σώματος.

Κεφ. μβ'. (λε'.) Διὸ ἐπίστησον, ὡς ὁ κύριος τὰ αὐτὰ [1] ταῦτα διδάσκειν θέλων, μὴ πιστευόντων Σαδδουκαίων εἰς τὴν ἀνάστασιν τῆς σαρκός. Δόγμα γὰρ τοῦτο Σαδδουκαίων. Ὅθεν συσκευασάμενοι τὴν κατὰ τὴν γυναῖκα καὶ τοὺς ἑπτὰ ἀδελφοὺς παραβολὴν, ἵνα τὸν περὶ ἀναστάσεως τῆς σαρκὸς λόγον ἀπορήσωσι, Προςῆλθον αὐτῷ, φησὶ, καὶ Σαδδουκαῖοι, λέγοντες ἀνάστασιν μὴ εἶναι. Ὁ οὖν Χριστὸς, εἰ μὴ ἦν ἀνάστασις σαρκὸς, ἀλλὰ μόνον ἐσώζετο ψυχὴ, συνέθετο ἂν αὐτοῖς, ὡς καλῶς καὶ ὀρθῶς φρονοῦσι· νυνὶ δὲ ἀποκρίνεται, λέγων, Ἐν τῇ [2] ἀναστάσει οὔτε γαμοῦσιν, οὔτε γαμίσκονται, ἀλλ' ὡς ἄγγελοι ἐν οὐρανῷ εἰσιν· οὐ τῷ
pag. 558. σάρκα μὴ ἔχειν, ἀλλὰ τῷ μὴ γαμεῖν καὶ γαμεῖσθαι, ἀλλὰ εἶναι λοιπὸν ἐν ἀφθαρσίᾳ. Καί φησιν ἀγγέλοις κατὰ τοῦτο [3] παραπλησιασθέντας, ἵν' ὥςπερ οἱ ἄγγελοι ἐν τῷ οὐρανῷ, οὕτως καὶ ἡμεῖς ἐν τῷ Παραδείσῳ μήτε γάμοις ἢ εἰλαπίναις ἔτι σχολάζοντες, ἀλλὰ [4] τοῦ βλέπειν τὸν θεὸν καὶ γεωργεῖν τὴν ζωὴν, πρυτανεύοντος ἡμῖν τοῦ Χριστοῦ. Οὐ γὰρ εἶπεν, Ἔσονται ἄγγελοι, ἀλλ', Ὡς ἄγγελοι, οἷον δόξῃ μὲν καὶ τιμῇ, κατὰ τὸ γεγραμμένον, ἐστεφανωμένοι, βραχὺ δέ τι παρὰ τοὺς ἀγγέλους διαλλάσσοντες, καὶ ἐγγὺς ὄντες τοῦ εἶναι ἄγγελοι. Καθάπερ εἰ ἔλεγεν, οὔσης εὐταξίας κατὰ τὸν ἀέρα καὶ γαλήνης, [5] καὶ νυκτὸς καὶ πάντων [6] τῷ τῆς σελήνης αἰθερίῳ φωτὶ κεκοσμημένων, Ἡ σελήνη φαίνει ὡς ὁ ἥλιος, καὶ οὐ πάντως ἂν ἥλιον εἶναι τὴν σελήνην ἀπομαρτυρεῖν αὐτὸν λέγομεν, ἀλλ' ὡς ἥλιον. Ὥςπερ καὶ τὸ μὴ ὑπάρχον χρυ-

3. ἀλλ' *Galland.*
4. τοῦ ποιεῖν *Galland.*
5. *Verba* ἀλλὰ μετὰ σώματος *non habet Galland.*
6. *Plenius Galland.* σώζεσθαι· ἀθάνατον δὲ ὁ ἄνθρωπος. ἔκτισε γὰρ ὁ θεὸς, φησὶν ἡ Σοφία, τὸν ἄνθρ. ἐπὶ ἀφθ.
7. κατ' εἰκόνα *suspicabatur Petavius.*

Cap. XLII. — 1. ταῦτα *om. Galland.*
2. ἀναστάσει τῶν νεκρῶν *Galland.*

minem faciebat, non angelum, si angelum hominem facere, non hominem, cogitabat? An quia non poterat? Contumeliosum istud et impium est. An in deteriore occupatus quod praestantius est differebat? Est et illud perabsurdum. Neque enim in moliendo bono vel aberrat deus, vel in aliud tempus reiicit, vel destitutus viribus est, sed et utcumque libuerit, et quando libuerit, agendi potestate praeditus est, cum sit ipsa potentia. Quamobrem hominem esse hominem volens initio produxit. Quod si id volens fecit, vult autem quod bonum est, homo vero bonum est, idemque ex anima constat et corpore, sequitur minime extra corpus hominem fore, sed cum corpore, ne alius praeter hominem homo producatur. Opus enim est uti deo immortalia genera omnia serventur. *Creavit enim,* Sap. 2, 23.
ait Sapientia, *hominem in incorruptione; ad imaginem aeternitatis suae fecit illum.* Corpus itaque non prorsus extinguitur, cum homo ex corpore animaque coalescat.

Cap. XLII. (XXXV.)

Ac vide quaeso quemadmodum dominus eadem illa tradere Sadducaeis resurrectionem carnis inficiantibus voluerit. Est enim hoc Sadducaeorum dogma. Unde conficta illa de muliere deque septem fratribus parabola, quam adversus resurrectionis corporum dogma proponerent. *Accesserunt ad eum,* inquit, *et Sadducaei, dicentes* Matth. 22, 23.
resurrectionem non esse. Proinde Christus, si nulla carnis esset resurrectio, sed anima duntaxat salutem consequeretur, illis utique, utpote recte ac praeclare sentientibus, suam auctoritatem adiungeret. Atqui alia omnia respondit et, *In resurrectione,* inquit, *neque ducunt uxores, neque nubunt, sed ut angeli in coelo sunt.* Non quod carnem amplius non habeant, sed quod nuptias mutuo nullas contrahant, sed deinceps corruptelae sunt omnis expertes. Et addit nos hac in parte angelorum esse similes, ut quemadmodum angeli in coelo, sic nos in Paradiso neque nuptiis amplius neque conviviis indulgeamus, sed in contemplando deo excolendaque vita simus occupati, praeside ac moderatore Christo. Non enim dixit, *Erunt an-* Ps. 8, 5.
geli, sed, *Sicut angeli,* perinde *ac gloria et honore coronati,* uti scriptum est, *paululum vero ab angelis differentes,* atque illorum naturae proximi. Quasi ita diceret: Tranquillo per noctem ac sereno aëre, cum coelesti lunae luce collustrantur omnia, solis instar luna resplendet. Tum enim non omnino solem esse lunam ex illius testimonio colligeremus, sed ad solem accedere. Sicut quod aurum

3. πλησιάζοντας, ἵνα ὥσπερ *Galland.* 6. τῷ *Galland.* τῶν *vulgata est scri-*
4. *Petavius suspicatus est* τῷ βλέπειν. *plura.*
5. καὶ *om. Galland.*

σὸς, ἐγγὺς δὲ τοῦ εἶναι χρυσὸς, πεφυκὸς ὡς χρυσὸς λέγεται, καὶ οὐ χρυσός· εἰ δὲ ἦν χρυσὸς, οὐκ ἐλέγετο ἂν ὡς χρυσὸς, ἀλλὰ χρυσός. Ἐπεὶ δὲ μὴ ἔστι χρυσὸς, ἀλλὰ [7] ἐγγὺς τοῦ εἶναι χρυσὸς, καὶ φαντάζεται [8] τὸν χρυσὸν, ὡς χρυσὸς λέγεται. Οὕτω καὶ ὡς ἀγγέλους ἔσεσθαι λέγοντος τοὺς ἁγίους ἐν τῇ ἀναστάσει οὐκ αὐτὸ τοῦτο ἀγγέλους αὐτὸν ἐπαγγέλλεσθαι ἀκούομεν τοὺς ἁγίους ἐν τῇ ἀναστάσει [9] ἔσεσθαι, ἀλλὰ ἐγγὺς τοῦ εἶναι ἀγγέλους. Ὥστε ἀλογώτατον λέγειν, [10] ἐπειδὴ ὁ Χριστὸς ἀπεφήνατο τοὺς ἁγίους ὀφθῆναι ὡς ἀγγέλους ἐν τῇ ἀναστάσει, τὰ σώματα διὰ τοῦτο ταῦτα μὴ ἀνίστασθαι· καίτοι τῆς λέξεως αὐτὴν τὴν [11] πρᾶξιν δηλούσης σαφῶς τοῦ συμβαίνοντος. Ἀνάστασις γὰρ οὐκ ἐπὶ τοῦ μὴ πεπτωκότος ἀλλ' ἐπὶ τοῦ πεπτωκότος λέγεται, καὶ ἀνισταμένου. Ὥςπερ ὁπόταν λέγει [12] καὶ ὁ προφήτης, Καὶ ἀναστήσω τὴν σκηνὴν Δαβὶδ τὴν πεπτωκυῖαν. Ἔπεσε δὲ ὀκλάσασα ἡ ποθητὴ σκηνὴ τῆς ψυχῆς εἰς γῆν χώματος. Οὐ γὰρ τὸ μὴ θνῆσκον, ἀλλὰ τὸ θνῆσκον κλίνεται. Θνήσκει δὲ ἡ σὰρξ, ψυχὴ [13] γὰρ ἀθάνατος. Καὶ τοίνυν εἰ ἡ ψυχὴ ἀθάνατος, σῶμα δὲ ὁ νεκρὸς, οἱ λέγοντες ἀνάστασιν μὲν εἶναι, σαρκὸς δὲ μὴ εἶναι, ἀρνοῦνται ἀνάστασιν· ὅτι μὴ τὸ ἑστὸς, ἀλλὰ τὸ πεπτωκὸς καὶ κλιθὲν διανίσταται, κατὰ τὸ γεγραμμένον, Μὴ ὁ πίπτων οὐκ ἀνίσταται, ἢ ὁ ἀποστρέφων οὐκ ἀναστρέφει;

pag. 559. Κεφ. μγ'. (λς'.) Ὅτι δὲ ἀθάνατος ἡ ψυχὴ, ἐδίδαξεν ἀναφανδὸν ὁ κύριος, καὶ δι' ἑαυτοῦ καὶ διὰ Σολομῶνος εἰπὼν, δι' ἑαυτοῦ μὲν ἐν τῇ κατὰ τὸν πλούσιον καὶ τὸν πένητα Λάζαρον ἱστορίᾳ, τὸν μὲν ἐν κόλποις Ἀβραὰμ δοὺς ἀναπαύεσθαι μετὰ τὴν ἀπόθεσιν τοῦ σώματος, τὸν δὲ ἐν ἀχθηδόσιν, οἷς διαλεγόμενον τὸν Ἀβραὰμ εἰςήγαγε· διὰ Σολομῶνος δὲ ἐν τῇ ἐπιγραφομένῃ Σοφίᾳ, ἔνθα, Δικαίων αἱ ψυχαὶ ἐν χειρὶ, γέγραπται, θεοῦ, καὶ οὐ μὴ ἅψηται αὐτῶν βάσανος· ἔδοξαν ἐν ὀφθαλμοῖς ἀφρόνων τεθνάναι, καὶ ἐλογίσθη κάκωσις ἡ ἔξοδος αὐτῶν, καὶ ἡ ἀφ' ἡμῶν πορεία σύντριμμα· οἱ δέ εἰσιν ἐν εἰρήνῃ, καὶ ἡ ἐλπὶς αὐτῶν ἀθανασίας πλήρης. Ὅθεν σώματος ἡ ἀνάστασις, καὶ οὐ ψυχῆς. Οὐ γὰρ τὸν ἑστῶτά τις ἀνίστησιν, ἀλλὰ τὸν κείμενον, ὥςπερ οὐδὲ τὸν ὑγιαίνοντα θεραπεύουσιν, ἀλλὰ τὸν πάσχοντα. Εἰ δέ τις τὴν ἀνάστασιν ἐπὶ τῆς ψυχῆς, καὶ μὴ ἐπὶ τῆς σαρκὸς, βιάζεται [1] λέγειν ἔσεσθαι, πολλὴ μὲν μωρία [2] τούτῳ, καὶ ἀλογία. [3] Καὶ δεῖ γὰρ φθορὰν πρῶτον καὶ λύσιν τὸν τοιοῦτον τῆς ψυχῆς δεικνύναι, ἵνα δείξῃ δὴ καὶ τὴν ἀνάστα-

7. ἐγγὺς, *quod cod. Rhedig. et editi libri non agnoscunt, reposui ex auctoritate cod. ms., cuius scripturam in marg. sui exempli annotavit Fr. Schottus. In seqq.* pro καὶ φαντάζεσθαι, *quod vulgo extat, reposui* καὶ φαντάζεται. *Erat cum suspicarer* διὰ τὸ φαντάζεσθαι.

8. τὸν *non agnoscit Galland.*

9. ἔσεσθαι *om. Galland.*

10. ἐπειδὰν *Galland.*

11. παράδειξιν *Galland.*

12. καὶ *om. Galland.*

non est, et auro tamen natura sua propinquius est, non aurum, sed auri simile esse dicitur, quod quidem aurum si esset, non auri simile, sed aurum diceretur. Nunc quoniam aurum non est, sed auro proximum, eiusdemque mentitur speciem, auri simile nuncupatur. Eodem modo prorsus quod in resurrectione sanctos angelorum fore similes pronuntiavit, non sic accipiendum est, quasi in angelorum naturam transcribendos esse sanctos in illa resurrectione voluerit, sed nihil aliud nisi angelorum conditioni propinquos futuros. Quamobrem stultissimum mihi videtur ita colligere: Quoniam Christus sanctos in resurrectione tanquam angelos visum iri praedixerit, haec idcirco resurrectura non esse corpora. Praesertim cum vocabulum ipsum eius quod contingit actionem perspicue declaret. Nam resurrectio non de eo quod nunquam cecidit, sed de eo quod cecidit, atque iterum assurgit, usurpatur. Velut cum propheta dicit, *Et excitabo tabernaculum David quod cecidit.* Cecidit porro Amos 9, 11.
optatum illud animae tabernaculum *in terram aggeris* collapsum. Dan. 12, 2.
Non enim quod non moritur, sed quod moritur inclinare dicitur. At moritur caro. Anima quippe immortalis est. Quapropter si immortalis est anima, corpus vero cadaver est, qui ita resurrectionem fore confitentur, ut eam nihil ad carnem pertinere putent, resurrectionem funditus negant. Quandoquidem non illud quod stat, sed quod cecidit et inclinavit, exsurgere dicitur; pro eo ac scriptum est, *Num* Ier. 8, 4.
qui cecidit non resurget? aut qui aversus est non revertetur?

Cap. XLIII. (XXXVI.)

Quod autem immortalis anima sit, manifeste dominus cum per sese, tum per Salomonem edocuit. Per sese quidem in divitis ac Lazari pauperis historia, quorum hunc in Abrahami sinu post exu- Luc. 16.
tum corpus acquiescere voluit, alterum cruciatibus damnavit, e quibus cum Abrahamo colloquentem introduxit. Idem vero per Salomonem in eo libro qui Sapientia inscribitur ostendit, ubi, *Iustorum,* Sap. 3, 1.
inquit, *animae in manu dei sunt, et non tanget illos tormentum: visi sunt in oculis insipientium mori, et aestimata est afflictio exitus illorum, et quod a nobis est iter exterminium: illi autem sunt in pace, et spes illorum immortalitate plena est.* Ergo corporis est resurrectio, non animae; neque enim stantem ullus, sed iacentem erigit. Uti neque sano corpori, sed male affecto remedium adhibetur. Quod si quis resurrectionem animae non corpori eventuram pertinacius affirmare velit, magna est hominis stoliditas et amentia. Prius enim animae corruptionem ac dissolutionem necesse est asseveret, ut illius partis esse resurrectionem inferat, nec prorsus delirare, sed ul-

13. δὲ ἀϑάν. *Galland.*
Cap. XLIII. — 1. *Forlasse* λέγων.
2. τούτῳ *non extat in cod. Rhedig.*
3. Καὶ δεῖ *rescripsi. Vulgo extat* Λέγει. *Petavio placuit* δεῖ. *Cornario, qui vertit* Dico, λέγω.

σιν μή τοι ληροῦντά γε, ἀλλὰ σαφῶς λέγοντά τι φαίνεσθαι. Ὅμως γοῦν δοτέον αὐτῷ θνητὴν ὁρίσασθαι τὴν ψυχήν. Δυοῖν γάρ τοι θάτερον ταῦτα θετέον, ἢ ἀληθῆ τὸν κύριον ἀποφήνασθαι τὴν ψυχὴν ἀθάνατον διδάσκοντα, καὶ ψεῦδος αὐτὴν τὸ φθείρεσθαι λέγειν, ἢ φθείρεσθαι καὶ ψεῦδος αὐτὴν τὸ ἀνόλεθρον καὶ ἀθάνατον εἶναι διδάσκειν τὸν Χριστὸν, καὶ ἐν τῇ κατὰ τὸν πλούσιον καὶ τὸν πένητα φράσει, καὶ ἐν τῇ κατὰ τὸν Μωσέα καὶ τὸν Ἠλίαν ὀπτασίᾳ. Ἀλλ' οὐδὲν ὁ κύριος ἄλλως ἐφθέγξατο ἢ ἐψεύσατο. Οὐ γὰρ εἴδωλον ἢ φάντασμα, τοὺς ἀποστόλους βουλόμενος ἀπατᾶν, ἐδείκνυεν αὐτοῖς ἐν τῷ ὄρει τὸν Ἠλίαν καὶ τὸν Μωϋσέα, ἀλλ' ὃ ἦσαν ἀψευδῶς· ὥςτε, ὡς ἔπος εἰπεῖν, καὶ τὸν δυςμαθέστατον μαθεῖν ἀθάνατον αὐτὸν εἶναι καὶ ἀνόλεθρον διαβεβαιοῦσθαι τὴν ψυχήν.

Κεφ. μδ'. (λζ'.) Οὐκοῦν σαρκὸς ἡ ἀνάστασις γίνεται, οὐ ψυχῆς, ὅπως ἡ πεπτωκυῖα τοῦ Δαβὶδ εἰς τὴν φθορὰν ἀναστῇ σκηνὴ, καὶ ἀναστᾶσα καὶ ἀνοικοδομηθεῖσα, καθὼς αἱ ἡμέραι τοῦ αἰῶνος, ἀπήμων λοιπὸν καὶ ἀδιάπτωτος διαμένοι, ὅτι μὴ τῷ θεῷ τὴν λιθίνην οἰκίαν [1] δεῖ δείμασθαι
pag. 560. τοῦ Δαβὶδ, μηδὲ ἵν' ἐν τῇ βασιλείᾳ τῶν οὐρανῶν οἰκίαν σχῇ καλὴν, ἀλλὰ τὴν σάρκα, τὸ σκῆνος τῆς ψυχῆς, ἣν αὐτὸς ταῖς ἑαυτοῦ χερσὶν ἐτεκτήνατο. Σκοπεῖσθαι δέ σε, ὦ σοφώτατε Ἀγλαοφῶν, οὑτωσὶ χρή. Πάντως δὲ ῥᾷστα μαθήσῃ τοῦτο, ἐὰν ἐπὶ τὴν τοῦ καθεύδειν εἰκόνα πρόςσχες καὶ ἀνίστασθαι. Εἰ γὰρ τὸ ὑπνοῦν ἀπὸ τοῦ ἐγρηγορέναι καὶ τὸ ἀνίστασθαι ἀπὸ τοῦ καθεύδειν γίνεται, καὶ τοῦτο ἀναστάσεως καὶ θανάτου μελέτη,

Ὕπνῳ γὰρ καὶ θανάτῳ διδυμάοσιν — —,

ἀνάγκη δὴ καὶ τὸ [2] ἀναβιώσκεσθαι εἶναι ἐκ τοῦ τεθνάναι, εἰς τὸ ζῆν τὴν σάρκα, εἴπερ καὶ τὸ ἀνεγείρεσθαι ἐκ τῶν καθευδόντων. Ὡς γὰρ ἐκ τοῦ καθεύδειν τὸ ἐγρηγορέναι γίνεται, καὶ οὐ πάντως ὁ καθεύδων ἐν τῷ αὐτῷ διαμένει σχήματι ἀεὶ καθεύδων, ἀλλὰ αὖθις ἀνίσταται, οὕτως καὶ τὸ ζῆν ἐκ τοῦ ἀποθανεῖν συμβήσεται, καὶ οὐ πάντως ὁ ἀποθανὼν, ἐπειδὰν ἀποθάνοι, ἐν τῷ αὐτῷ μένει. Εἰ γὰρ ἐκ τοῦ κοιμᾶσθαι τὸ ἐγρηγορέναι, καὶ ἐκ τοῦ πεσεῖν τὸ ἀνεγερθῆναι, καὶ ἐκ τοῦ καταβληθῆναι τὸ ἀνοικοδομηθῆναι, τίς μηχανὴ καὶ ἐκ τοῦ κλιθέντος μὴ οὐχὶ προςδοκᾶν τὸ ἀναστήσεσθαι, καὶ ἐκ θανόντος τὸ ἀναστήσεσθαι; Καὶ γὰρ ἡμεῖς ταῦτα οὐκ ἐξαπατώμενοι ὁμολογοῦμεν, ἐκ τῶν τεθνεώτων σωμάτων τὸ ἀναβιώσκεσθαι συμβαίνειν. Καὶ μὴ μόνον τοῦτο, εἰ βούλει, ἀπὸ τοῦ καθεύδειν σκόπει καὶ ἀνίστασθαι, ἀλλὰ καὶ ἀπὸ τῶν σπερμάτων καὶ φυτῶν ὡς ἐν πᾶσιν αὐτοῖς ἡ ἀνάστασις κα-

Cap. XLIV. — 1. δεῖ, *quod vulgo desideratur, repetii ex vocabulo* δείμασθαι.

cumque aliquid disserere videatur. Verum demus hoc illi, ut mortalem esse animam definiat. Iam duorum alterum poni necesse est, aut vere pronuntiasse dominum, cum immortalem esse animam docuit, et si eandem corrumpi falsissime praedicari, aut illam certe revera corrumpi, adeoque immortalem illam atque exitio carentem esse perperam docuisse Christum, tum in illa divitis ac pauperis historia, tum in altera, in qua Moses atque Elias apparuit. Atqui nihil temere locutus est, neque mentitus est dominus. Non enim, ut apostolis illuderet, inane iis simulacrum ac ludicram speciem ostendit, cum in monte Eliam ac Moysem exhibuit, sed quod re ipsa erant sine ullo mendacio patefecit. Unde vel imperitissimus quisque, ut uno verbo dicam, intelligere potest immortalem ab ipso et exitii immunem animam esse confirmari. Matth. 17.

Cap. XLIV. (XXXVII.)

Corporis itaque resurrectio est, non animae, ut corruptionem lapsum *Davidis tabernaculum resurgat;* atque ubi constiterit, et instauratum fuerit, *sicut dies seculi,* inviolabile deinceps ac sempiternum permaneat. Neque vero deum arbitrari debemus lapideam velle domum Davidis exstruere, neque in coelesti regno eximium aliquod domicilium construere, sed de carne loqui, quod animae tabernaculum est, quod quidem suis ipse manibus molitus est. Tu vero, sapientissime Aglaophon, hunc ad modum ista considera. Facillime enim illa animo perceperis, si ad dormientium et expergiscentium similitudinem attendis. Nam si somnus vigiliam sequitur, et somnum expergefactio, idque resurrectionis ac mortis est nonnulla meditatio, quippe Amos. 9, 11.

Et somno et morti geminis — —, Hom. Il. XVI, 672.

perinde necessarium est ut et reviviscere morte sit posterius, ut corporis vita succedat, cum et excitari e dormientibus quispiam dicatur.[2] Etenim ut e somno vigilia sequitur, et qui dormit non in eodem omnino habitu persistit, ut assidue dormiat, sed subinde consurgit, ita et ex morte vita consequetur, nec omnino qui mortuus est post mortem eodem in statu perseverat. Cum enim post somnum vigilia succedit, et post lapsum excitatio et post demolitionem instauratio, nonne et ab eo quod inclinavit, quodque mortuum est, expectanda resurrectio est? Non enim haec nos frustra confitemur, posteaquam emortua corpora sunt, denuo reviviscere. Quod ipsum non in somno solum et expergefactione, sed in seminibus ac stirpibus intuere, si lubet, quemadmodum resurrectionem haec omnia prae-

2. ἀναβιῶσθαι *cod. Rhedig.*

ταγγέλλεται. [3] Κατάμαθε γὰρ τὰ σπέρματα, πῶς [4] γυμνὰ καὶ ἄσαρκα βάλλεται εἰς τὴν γῆν, καὶ τελεσφορούμενα πάλιν ἀποδίδοται. Ἐπεὶ εἰ θνήσκοι μὲν καὶ σήποιτο τὰ σπέρματα, ἐκ δὲ τῶν σπερμάτων μηκέτι τὸ ἀναζῆν καὶ φύειν γένοιτο, τίς ἡ ἀποκλήρωσις, μὴ οὐχὶ πάντα καταναλωθῆναι εἰς τὸ τεθνάναι;

Κεφ. με΄. (λη΄.) Ἀλλὰ γὰρ περὶ τούτων πλείω λέγειν τὰ νῦν, ὦ κράτιστε Θεόφιλε, παρήσωμεν, καὶ οἱ λοιποὶ κριταὶ τῶν λόγων· λάβωμεν δὲ καὶ τὰ τούτοις ἐφεξῆς ἀκόλουθα, ὡς ἀφέστηκε τοῦ δέοντος μακράν. Ὁ Θεὸς γὰρ αὐτῷ [1] πάλιν αὐτὰς τὰς ψυχὰς ἐν τῇ κατὰ τὸν [2] ἑξηκοστὸν πέμπτον Ψαλμὸν προφητείᾳ, βεβιασμένως αὐτὴν καὶ ἀνοικείως ἐκτιθεμένῳ, [3] ὡς εἰς παγίδα τὴν σάρκα δίκην ὑφέξουσαν τῶν ἡμαρτημένων ἐμβιβάζει. Ὅπερ [4] ἀτοπίας μᾶλλον ἢ ὀρθοδοξίας ἐστίν. Εἰ γὰρ πρὸ τῆς παραβάσεως, καθάπερ ἤδη καὶ ἐν τοῖς ἔμπροσθεν ἐξεθέμεθα, [5] σώματα ἐκέκτηντο αἱ ψυχαί, πῶς εἰς παγίδα ὕστερον, μετὰ τὴν παράβασιν, εἰς σῶμα ἐμβιβάζονται, οὐκ ὄντος χρόνου ἐν ᾧ πρὶν αὐτὰς [6] τὸ σῶμα λαβεῖν ἐξημάρτοσαν; οὐ γὰρ ἔμφρονος ὁτὲ μὲν ὡς διὰ τὸ
pag. 571. σῶμα λέγειν τὰς ψυχὰς ἡμαρτηκέναι, ὁτὲ δέ, ἐπειδήπερ ἡμάρτησαν, διὰ τοῦτο καὶ δεσμὸν αὐτὸ καὶ παγίδα πρὸς κατάκρισιν γεγονέναι. Εἰ γὰρ διὰ τὸ σῶμα ἥμαρτον, συνῆν ἄρα ἐξ ἀρχῆς αὐταῖς καὶ πρὸ τῆς ἁμαρτίας τὸ σῶμα. Πῶς γὰρ διὰ τοῦτο ἡμάρτανον ὃ μὴ ἦν μηδέπω; Εἰ δὲ παγὶς πάλιν αὐτῷ τὸ σῶμα καὶ πέδαι νομίζεται καὶ δεσμός, οὐκέτι τὸ συναμφότερον αἴτιον, ἀλλὰ ψυχὴ μόνη, [7] ἁμαρτήσασα. Τί γὰρ μετὰ τὸ ἁμαρτῆσαι τῷ ἁμαρτήσαντι; δεσμὰ καὶ παγίδες καὶ πέδαι κατασκευάζονται. Ἀλλὰ μὲν δὴ ὡμολογήσαμεν μὴ δύνασθαι δεσμὸν εἶναι τὸ σῶμα τῆς ψυχῆς, ἐπειδὴ τὸ μὲν σῶμα πρὸς ἑκάτερα, καὶ πρὸς τὸ δίκαιον καὶ ἄδικον, συνεργεῖ, ὁ δὲ δεσμὸς εἴργει τοῦ ἀδικεῖν, ὥστε, ὅπερ λέγω, δυοῖν θάτερον. Ἢ γὰρ ἐξ ἀρχῆς ἡμάρτομεν μετὰ σώματος καὶ οὐ φαίνεται χρόνος ἐν ᾧ ἐκτὸς ὑπήρξαμεν σώματος, καὶ συναίτιον τὸ σῶμα καὶ κακῶν τῇ ψυχῇ καὶ ἀγαθῶν, ἢ χωρὶς σώματος ἡμάρτομεν διαγόντες, καὶ ἀναίτιον τὸ σῶμα κακίας ἐκ παντός. Ἀλλὰ χωρὶς σώματος ὑπὸ ἀλόγου ἡδονῆς οὐ κρατεῖται ἡ ψυχή, ἐκρατήθησαν δὲ οἱ πρωτόπλαστοι ἀλόγῳ δελεασθέντες ἡδονῇ. Ἦν ἄρα ἡ ψυχὴ μετὰ σώματος καὶ πρὸ τῆς ἁμαρτίας.

3. Καταμάθετε *cod. Venet.*
4. γυμνὰ καὶ ἄσαρκα *cod. Venet.* γυμνά, φησί, καὶ ἄσαρκα *cod. Rhedig., et editi libri. Defendit hanc scripturam Gatakerus Advv. Misc. pag.* 804., *contra Petavium, qui* φύσει *suspicatus est reponendum pro* φησί, *apostolicum videlicet dictum* (*I. Corinth.* 15, 37.) *significari ratus. Idem vocem* ἄσαρκα, *nisi exilia explicaretur, non suspectam se negavit habere.*

Cap. XLV. — 1. πάντας ψυχὰς *cod. Venet.*
2. ἑξηκοστὸν πέμπτον ψαλμὸν προφητείᾳ *cod. Venet. Vulgo* ἑξηκοστὸν ψαλμὸν προφητείᾳ καὶ πέμπτον.
3. *Post vocem* ὡς *cod. Rhedig. et editi libri pergunt* φησί, τὴν ἀνάστασιν *cett., quae sunt cap.* 17. *Vulneri medelam attulit cod. Venetus. Cf. quae annotavi ad cap.* 17. *et* 24. — *Ceterum verba* αὐτῷ - - ἐκτιθεμένῳ *de Origene esse intelle-*

dicare videantur. Aspice semina, quae nuda ac carne destituta terrae mandantur, dehinc perfecta consummataque redduntur. Nam si morerentur quidem ac putrescerent semina, ne ex his quicquam revivisceret ac pullularet aliud, quae sors esset alia rerum atque conditio quam ut omnia morte consumpta penitus occiderent?

Cap. XLV. (XXXVIII.) Sed de his pluribus disputare, optime Theophile, vosque celeri sermonum nostrorum arbitri, in praesentia supersedebimus. Quae vero iis consentanea ac consequentia sunt, quomodo scilicet procul ab scopo aberrarit, deinceps videamus. Etenim ille de animis disserens ad Psalmum LXV., quem violenta quadam interpretatione alienaque declarat. Resurrectionem, animam ut delictorum suorum poenas exsolvat, in hanc carnem velut in laqueum coniici; quod stultitiae magis quam sincerae fidei tribuendum est. Nam cum ante violatum dei mandatum, ut antea monstravimus, corporibus praeditae fuerint animae, quonam pacto secundum delictum includi corpore potuerunt, in quo, priusquam corpus induerent, in peccatum prolapsae sunt? Neque vero sui compos est qui alias propter corpus peccasse putat animas, alias, postquam peccaverint, eodem illo corpore tanquam vinclis ac compedibus fuisse damnatas. Si enim propter corpus deliquerint, cum eo vel ante peccatum coniunctae fuerint oportet. Alioqui propter id quod nondum extiterat peccasse quomodo potuerunt? Quod si vinculi loco compedisque corpus est animae, non iam utrique simul est, sed animae duntaxat peccati caussa tribuenda. Quid est enim quod secundum peccatum ei qui peccarit infligitur? Vincula nimirum ac compedes parantur. Nos autem paulo illud ante fatebamur, corpus animae vinculum esse non posse, quoniam ad utrumque, tam iustum scilicet quam iniustum, ministerio corporis adiuvantur. At vinculum ab eo quod iniustum est committendo nos prohibet. Ex quo alterum, uti diximus, e duobus sequitur: aut enim initio cum corpore peccavimus, nec ullum tempus apparet quo sine corpore fuerimus, estque bonorum malorumque caussa cum anima communiter corpus: aut tum peccatum admisimus, cum citra corpus degeremus, ut ab omni malitiae culpa corpus immune sit. Atqui nulla sine corpore rationis experte voluptate capi anima potest; cuiusmodi primi nostri parentes illecebra capti supe- Gen. 3.
ratique sunt. Anima igitur corpori coniuncta fuit etiam ante peccatum.

genda nemo non videt.

4. *Vocem* ἀτοπίας, *quae excidit, restitui ex cod. Veneto.*

5. σῶμα *cod. Venet.*

6. *Libri vulgo habent* τῷ. *Correxi* τὸ, *quod sententia postulat.*

7. ἁμαρτήσασα *scripturam libri vetusti, nescio cuius, annotatam inveni in marg. exempli Schottiani.* ἁμαρτήσαν *vulgata scriptura est.*

Κεφ. μϛ'. Περὶ γὰρ τοῦ μὴ ἐγχωρεῖν αὐτὸ νομίζεσθαι διὰ τὴν παράβασιν δεσμὸν ἐπὶ τιμωρίᾳ γεγονότα, ἵν' ἄκρατον ἡ ψυχὴ καὶ συνεχῆ κατ' αὐτοὺς βάσανον ἔχῃ νεκροφοροῦσα, δοκῶ μοι πλήρη ταῦτα ἤδη μετὰ πάσης ἀποδείξεως δεδηλωκέναι. Ὅθεν ἀσύστατον καὶ ἀνένδεκτον τὸ μὲν σῶμα παγίδα τίθεσθαι καὶ δεσμὰ, τὸν δὲ θεὸν εἰςάγειν τὰς ψυχὰς εἰς τὴν παγίδα, δίκην ὑφεξούσας, ἄνωθεν ἐκ τρίτου ἐκβάλλοντα οὐρανοῦ, ὅτι ἄνωθεν παρήκουσαν τῆς ἐντολῆς. Πρὸς τί γάρ τις βλέψας πιστεύσειεν τοῖς οὕτω ὑπ' αὐτῶν προπετῶς εἰρημένοις; καίπερ οὐκ ἔχοντος οὕτως τοῦ Ψαλμοῦ, κἂν βεβιασμένως αὐτὸν ἐκτίθενται. Αὐτὰ δὲ προοίσω τὰ ἐγκείμενα, ἵνα [1] δὴ καὶ τὸ μυθῶδες αὐτῶν τῆς ἐξηγήσεως φανῇ, ὀρθῶς μὴ θελόντων νοεῖν τὰς γραφάς. Εἰσὶ γὰρ οὕτω πως δήπου λεχθέντα· Δοκίμασας ἡμᾶς ὁ θεὸς, ἐπύρωσας ἡμᾶς, ὡς πυροῦται τὸ ἀργύριον· εἰςήγαγες ἡμᾶς εἰς τὴν παγίδα, ἔθου θλί-
pag. 572. ψεις ἐπὶ τὸν νῶτον ἡμῶν· ἐπεβίβασας ἀνθρώπους ἐπὶ τὰς κεφαλὰς ἡμῶν· διήλθομεν διὰ πυρὸς καὶ ὕδατος, καὶ ἐξήγαγες ἡμᾶς εἰς ἀναψυχήν. Καὶ εὐθέως ἐπιφέρουσι· Ταῦτα δὲ ὑπὸ τῶν ψυχῶν εἴρηται, τῶν εἰς τὴν παγίδα τὸ σῶμα, ὡς εἰς ἀγώνισμα, κατενεχθεισῶν ἐκ τοῦ τρίτου οὐρανοῦ, ἔνθα ὁ παράδεισος. Τὸ γὰρ, Διήλθομεν διὰ πυρὸς καὶ ὕδατος, ἤτοι, [2] φησὶ, τὴν διὰ μήτρας εἰς τὸν κόσμον τῆς ψυχῆς πάροδον δηλοῖ, ἐπειδήπερ ἐν φλογὶ τοσαύτῃ καὶ ὑγρασίᾳ καταγίγνεται, ἢ τὴν ἀπὸ τῶν οὐρανῶν κατάπτωσιν ἐπὶ τὸν βίον, διερχομένην τὰς πηγὰς τοῦ πυρὸς καὶ τὰ ὑπὲρ τὰ νῶτα τοῦ στερεώματος ὕδατα. Πρὸς οὓς ἠξίουν ἐνίστασθαι. Φέρε γὰρ ὑπὲρ αὐτῶν, ὦ Ἀγλαοφῶν, αὐτὸς ποίησαι τὴν ἀπόκρισιν, τί λέξουσι.

Κεφ. μζ'. Πρῶτον γὰρ ὁ Παράδεισος, ὅθεν καὶ ἐξεβλήθημεν ἐν τῷ πρωτοπλάστῳ, ἐκ ταύτης ἐστὶ τῆς γῆς προδήλως τόπος ἐξαίρετος, πρὸς ἄλυπον ἀνάπαυσιν καὶ διαγωγὴν τοῖς ἁγίοις ἀφωρισμένος κρείττονα. Ἀπ' αὐτοῦ καὶ τὸν Τίγριν καὶ τὸν Εὐφράτην καὶ τοὺς λοιποὺς ποταμοὺς τοὺς ἐκεῖθεν προχεομένους ἐνταῦθα φαίνεσθαι τῶν ῥευμάτων τὰς διεκβολὰς εἰς τὴν καθ' ἡμᾶς ἤπειρον ἐπικλύζοντας. Οὐ γὰρ ἀπὸ τῶν οὐρανῶν ἄνωθεν καταράσσονται χεόμενοι· ἐπεὶ οὐδὲ ὑπέστη ἂν ἡ γῆ ὄγκον τοσοῦτον ἀθρόως ἐξ ὕψους καταφερόμενον ὑποδέξασθαι ὕδατος. Ἀλλ' οὐδὲ ὁ ἀπόστολος ὑποτίθεται τὸν Παράδεισον εἶναι ἐν τρίτῳ οὐρανῷ τοῖς λεπτῶν ἀκροᾶσθαι λόγων ἐπισταμένοις. Οἶδα γὰρ ἁρπαγέντα ἕως τρίτου, λέγων, οὐρανοῦ, καὶ οἶδα τὸν τοιοῦτον ἄνθρωπον, εἴτε ἐν σώματι, εἴτε χωρὶς σώματος, ὁ θεὸς οἶδεν, ὅτι ἡρπάγη εἰς τὸν Παράδεισον, δύο ἀποκαλύψεις μεγάλας ἑωρακέναι μήνει, δὶς ἀναληφθεὶς ἐναργῶς, ἅπαξ μὲν ἕως τρίτου οὐρανοῦ, ἅπαξ δὲ εἰς

Cap. XLVI. — 1. *Vulgo* δὲ, *quod uncinis notavit Petavius.*

Quod enim absurdum sit, poenae loco corpus animae post peccatum tanquam vinculum fuisse constitutum, ut addicta mortuo gerendo anima mero quodam supplicii genere ac sempiterno ex illorum opinione crucietur, videor illud hactenus abunde copioseque demonstrasse. Quare minime cohaerens ac probabile videtur laquei ac vinculi instar esse corpus, in quod animas deus supplicii caussa nihilominus inserat, quas e tertio coelo deturbarit, quod mandatum suum illo in loco violarint. Quid est enim, quo tam temere haec ab illis affirmata persuaderi possint? Cum praesertim nihil eiusmodi Psalmus ille contineat, tametsi per vim eius sententiam detorquere conentur? Sed eadem illa verba libet afferre, quo illorum interpretatio quam inanibus sit referta fabulis appareat, qui scripturarum rectam intelligentiam repudiant. Haec enim illo in Psalmo leguntur: *Probasti nos deus, igne nos examinasti, sicut examinatur argentum: induxisti nos in laqueum, posuisti tribulationes in dorso nostro: imposuisti homines super capita nostra: transivimus per ignem, et aquam, et eduxisti nos in refrigerium.* Quibus statim adiiciunt, His animae sermonibus utuntur, quae in corpus velut in laqueum, e tertio coelo ubi et Paradisus est, ad certamen delatae sunt. Nam iis verbis, *Transivimus per ignem et aquam*, aut animae maternum per uterum in hunc mundum transitus exprimitur, quod in tanto incendio atque humore versetur, aut eiusdem in hanc vitam e coelo lapsus ostenditur, in quo cum ignis veluti fontes, tum illam, quae supra firmamentum est, aquarum vim copiamque transmittit. Contra quos visum est mihi disputare. Age itaque, Aglaophon, tu pro illis quae afferri ab iis possunt respondeas.

Cap. XLVI. — Ps. 65, 10.

Inprimis enim Paradisus ille, de quo in primo nostro parente deiecti fuimus eximius quidam haud dubie hac in terra locus est, et ad exquisitam quandam ac iucundissimam piorum requiem habitationemque secretus. Indidem porro Tigris et Euphrates ceteraque flumina proficiscuntur, quorum in continentem nostram derivationes ac decursus exundant. Non enim in terras e coelo delapsa praecipitant. Neque enim tantam aquarum molem cum ingenti ex alto impetu depressam sustinere terra potuisset. Sed nec apostolus Paradisum tertio in coelo collocat, si quis illius verba subtili quadam intelligentia penetrare possit. *Novi,* inquit, *hominem raptum ad tertium coelum, et eundem novi hominem, sive in corpore, sive extra corpus, deus scit, quoniam raptus est in Paradisum.* Quibus verbis duo sibi maximi momenti patefacta significat, cum bis perspicue esset assumptus, primum tertium in coelum, deinde in Paradisum.

Cap. XLVII. — 2.Cor. 12, 2.

2. *Fortasse* φασί.

τὸν Παράδεισον. Τὸ γάρ, Οἶδα ἁρπαγέντα τὸν τοιοῦτον ἕως τρίτου οὐρανοῦ, ἰδίως ἀποκάλυψιν αὐτῷ κατὰ τὸν τρίτον ἀναληφθέντι πεφηνέναι συνίστησι· τὸ δέ, Καὶ οἶδα, πάλιν ἐπιφερόμενον, τὸν τοιοῦτον ἄνθρωπον, εἴτε ἐν σώματι, εἴτε ἐκτὸς τοῦ σώματος, εἰς τὸν Παράδεισον, ἑτέραν αὖθις αὐτῷ πεφανερῶσθαι κατὰ τὸν Παράδεισον ἀποκάλυψιν δείκνυσι. Τερετισμὸς οὖν ἐστι καὶ τραγικολογία τὸ καταβάλλεσθαι λέγειν τὰς ψυχὰς ἐκ τῶν οὐρανῶν, καὶ διαβαίνειν τοῦ πυ-
pag. 518. *ρὸς τὰς πηγὰς καὶ τὰ ὕδατα τὰ ὑπὲρ τὰ νῶτα τοῦ στερεώματος, εἰς τὸν καθ' ἡμᾶς φερομένας κόσμον. Ἐπεὶ μηδὲ ὁ Ἀδὰμ ἐκ τῶν οὐρανῶν ἐξεβλήθη, ἀλλὰ ἀπὸ τοῦ κατὰ ἀνατολὰς ἐν Ἐδὲμ πεφυτευμένου Παραδείσου. Οὐ γὰρ πρὸ τῆς ἐνσωματώσεως τὸ παράπτωμα, καθάπερ ἐδείξαμεν ἱκανῶς, οὐδ' αὐτὸ σῶμα παγὶς τοῦτο, ἀλλὰ μετὰ τὴν εἰς τὸ σῶμα σύμφυσιν τῆς ψυχῆς γίνεται τὸ παράπτωμα, ὅτι τοῦτο συναμφότερον ὁ ἄνθρωπος, καὶ ἡ ἐκ τοῦ Παραδείσου κατάπτωσις ἐνθάδε. Ὁ δὲ ὅλως οὐ προσέσχεν ἐπιμελέστερον, Ἀγλαοφῶν, τῷ λόγῳ, ἀλλὰ διετείνατο περὶ πραγμάτων διανόησιν οὐκ ἐχόντων ἐπιχείρησιν, κατὰ τὰς δόξας ἐξηγήσασθαι τῶν φαύλων τὸν Ψαλμόν, περὶ ὧν λέγειν πλείω παρήσομεν.*

Κεφ. μη΄. *Βούλομαι γάρ, ἐπειδὴ ἅπαξ εἰς τὸ διευθῦναι τὴν μοχθηρίαν αὐτῶν ἥκομεν, ἀπογυμνῶσαι καὶ ταύτης αὐτοῖς τῆς προφητείας τὴν πρόφασιν. Ἐδοκίμασας ἡμᾶς ὁ θεός, καὶ ἐπύρωσας ἡμᾶς, ὡς πυροῦται τὸ ἀργύριον. Δοκιμασθέντες διαρκῶς οἱ μάρτυρες ἐν ταῖς κατὰ τοὺς πειρασμοὺς τῶν βασάνων προσβολαῖς (τὰ πολλὰ γὰρ εἰς τὴν καθ' ἡμᾶς αἱ προφητεῖαι πίστιν πληροῦνται), καὶ εὐσεβῶς καὶ ἐρρωμενέστατα διαθλήσαντες εὐχαριστοῦσι τό, Ἐδοκίμασας ἡμᾶς, λέγοντες τῷ θεῷ, ὅς, ἵνα τὴν δόξαν παρ' αὐτῷ κτήσωνται μείζονα, διὰ πολλῶν αὐτοὺς ἤλεγξε πόνων, τὸν ἀληθῶς Ὀλυμπιακὸν ἀγῶνα νικῆσαι προσθείς. Καὶ ἐπισκέψασθε ὡς τούτοις συνῳδὰ σαφῶς τοῖς λόγοις περὶ τῶν μαρτύρων καὶ ὁ Σολομὼν ἀναφθέγγεται (οὐ γὰρ ἀμάρτυρος ὁ λόγος καὶ ἄλλων γραφῶν), ὅτι, Ὁ θεὸς ἐπείρασεν αὐτούς, καὶ εὗρεν αὐτοὺς ἀξίους ἑαυτοῦ, ὡς χρυσὸν ἐν χωνευτηρίῳ ἐδοκίμασεν αὐτούς, καὶ ὡς ὁλοκάρπωμα εὐωδίας προσεδέξατο αὐτούς, καὶ ἐν καιρῷ ἐπισκοπῆς αὐτῶν, πρόσθεν εἰπών, Καὶ γὰρ ἐὰν ἐν ὄψει ἀνθρώπων κολασθῶσιν, ἡ ἐλπὶς αὐτῶν ἀθανασίας πλήρης, καὶ ὀλίγα παιδευθέντες μεγάλα εὐεργετηθήσονται. Ἀλλὰ καὶ ἐν τῷ ρκγ΄ Ψαλμῷ τὸ εἰρημένον, Εἰ μὴ ὅτι κύριος ἦν ἐν ἡμῖν ἐν τῷ ἐπαναστῆναι ἀνθρώπους ἐφ' ἡμᾶς, ἄρα ζῶντας ἂν κατέπιον ἡμᾶς· χειμάρρουν διῆλθεν ἡ ψυχὴ ἡμῶν, ἄρα διῆλθεν ἡ ψυχὴ ἡμῶν τὸ ὕδωρ τὸ ἀνυπόστατον· εὐλογητὸς κύριος, ὃς οὐκ ἔδωκεν ἡμᾶς εἰς θήραν τοῖς ὀδοῦσιν αὐτῶν· ἡ ψυχὴ ἡμῶν ὡς στρουθίον ἐρρύσθη ἐκ τῆς παγίδος τῶν θηρευόντων· ἡ παγὶς συνετρίβη, καὶ*

Haec enim verba, *Scio raptum huiusmodi usque ad tertium coelum*, peculiare quiddam, cum ad tertium coelum esset evectus, ostensum illi esse demonstrant. At illud quod subiicitur: *Et scio huiusmodi hominem sive in corpore, sive extra corpus, quoniam raptus est in Paradisum*, aliud rursus in Paradiso patefactum ipsi atque indicatum demonstrat. Quocirca canorae istae nugae sunt, et ad pompam speciemque tragice confictae, demitti e coelo animas asserere, atque in hunc inferiorem orbem delapsos igneos fontes et aquas, quae supra firmamentum eminent, transcurrere. Nam et Adamus neuti- Gen. 3.
quam e coelo deiectus est, sed ex eo Paradiso qui in Eden fuerat ad orientem consitus. Non enim, antequam corpus indueret, peccatum contigit, ut abunde ante docuimus, neque corpus ipsum laquei instar affixum est. Sed tum denique peccatum est admissum, cum in unum corpus animaque coaluissent, propterea quod ex utroque hominis natura conflatur, estque in hunc locum e Paradiso facta deportatio. Ille vero, o Aglaophon, non attente admodum in illius loci sententiam incubuit, sed ea disputando affirmare instituit, quae percipi nullo modo possunt, atque ex pravorum hominum opinione explicare Psalmum illum aggressus est.

Libet enim, quandoquidem semel ad illorum reprehendendam Cap. XLVIII.
nequitiam devenimus, illius oraculi declarare mentem. *Probasti nos*, inquit, *deus, et igne nos examinasti, sicut examinatur argentum*. Ubi martyres, qui tormentis ac cruciatibus admotis assidue probantur (saepe enim prophetarum responsa in fide nostra ac religione complentur), postea quam pie ac fortiter certamen obierunt, iis ipsis verbis, *Probasti nos*, deo gratias agunt, qui, ut maiorem illi gloriam apud se promererentur, variis illos laboribus periclitari voluit ac vere Olympiaci cuiusdam certaminis victoriam proposuit. Quam vero consentanea iis de martyribus a Salomone pronuntiata sint, attendite. Neque enim aliarum scripturarum testimonio caremus.
Deus, inquit, *tentavit illos, et invenit eos dignos se: tanquam aurum* Sap. 3, 5.
in fornace probavit illos, et sicut holocaustum suavitatis accepit illos, et in tempore visitationis illorum, etc., cum antea dixisset, *Et si coram hominibus tormenta passi sunt, spes illorum immortalitate plena est: in paucis correpti magna beneficia consequentur*. Praeterea Psal-
mo CXXIII., cum ista dicuntur: *Nisi quia dominus erat in nobis*, Ps. 123, 2.
cum exsurgerent homines in nos, forte vivos deglutissent nos: torrentem pertransisset anima nostra aquam intolerabilem: benedictus dominus, qui non dedit nos in captionem dentibus eorum: anima nostra sicut passer erepta est de laqueo venantium: laqueus contritus est, et

pag. 574. ἡμεῖς ἐῤῥύσθημεν. Οἱ μάρτυρές εἰσιν οἱ ψάλλοντες. Δύο δὲ τῶν καλλινίκων οἱ χοροὶ μαρτύρων, εἷς μὲν τῆς διαθήκης τῆς καινῆς, θάτερος δὲ τῆς παλαιᾶς, ἀντίφθογγον ὕμνον συμφώνως τῷ ὑπερμάχῳ θεῷ καὶ βασιλεῖ τῶν ὅλων ἀναπέμποντες, Ἐδοκίμασας ἡμᾶς ὁ θεὸς, ἐπύρωσας ἡμᾶς ὡς πυροῦται τὸ ἀργύριον, εἰςήγαγες ἡμᾶς εἰς τὴν παγίδα, ἔθου θλίψεις ἐπὶ τὸν νῶτον ἡμῶν, τὸ δικαστήριον τῶν ἐθνῶν, ἢ τοὺς πειρασμοὺς καθ' οὓς ἐκθλιβέντες ἰσχυρῶς ἐδοκιμάσθησαν. Δοκίμασόν με γὰρ, φησὶ, κύριε, καὶ πείρασόν με· πύρωσον τοὺς νεφρούς μου, καὶ τὴν καρδίαν μου. Λεγέτω δὴ καὶ Ἀβραὰμ ἐπὶ τῷ μονογενεῖ πυρωθεὶς τὰ σπλάγχνα, προτιμήσας τε τὸ τοῦ θεοῦ μᾶλλον πρόςταγμα, μετὰ τὸ ἀκοῦσαι, Ἀβραὰμ, φεῖσαι τοῦ παιδός σου, ἀποῤῥίψας τὸ ξίφος, Ἐδοκίμασας ἡμᾶς ὁ θεὸς, ἐπύρωσας ἡμᾶς, ὡς πυροῦται τὸ ἀργύριον. Λεγέτω καὶ Ἰὼβ μετὰ τὸ ἀποῤῥεῦσαι τὴν σαπρίαν καὶ ὀνειδισθῆναί τε ὑπὸ τῶν φίλων καὶ ἀλγῆσαι τὸ σῶμα, διὰ λαίλαπος ἀκούσας λαλοῦντος αὐτῷ τοῦ θεοῦ, Οἴει με ἄλλως σοι κεχρηματικέναι, ἢ ἵνα φανῇς δίκαιος; Ἔθου θλίψεις [1] ἐναντίον ἡμῶν, κύριε, ἵνα ἡμᾶς ὡς χρυσὸν ἐν χωνευτηρίῳ δοκιμάσῃς. Λεγέτωσαν καὶ οἱ τρεῖς ἐν τῇ καμίνῳ παῖδες δροσιζόμενοι, ἵνα μὴ καταφλεχθῶσιν ὑπὸ τοῦ πυρὸς, Ἐδοκίμασας ἡμᾶς ὁ θεὸς, ἐπύρωσας ἡμᾶς, ὡς πυροῦται τὸ ἀργύριον· διήλθομεν διὰ πυρὸς καὶ ὕδατος, καὶ ἐξήγαγες ἡμᾶς εἰς ἀναψυχήν· ὡς εἰπεῖν κἀμοὶ τῷ Μεθοδίῳ, Ὁ θεὸς, ὁ παντοκράτωρ, ὁ αἰώνιος, ὁ πατὴρ τοῦ Χριστοῦ, ἐν τῇ ἡμέρᾳ σου διαβάντι τὸ πῦρ ἀναλγητὶ, καὶ τῶν ὑδάτων εἰς τὴν καυστικὴν [2] μεταβληθέντων φύσιν, ὑπεξαλύξαντι τὰς ὁρμὰς, Διῆλθον διὰ πυρὸς καὶ ὕδατος, καὶ ἐξήγαγές με εἰς ἀνάψυξιν. [3] Σὴ γὰρ αὕτη τοῖς ἀγαπῶσί σε ἡ ἐπαγγελία· Ἐὰν διαβαίνεις δι' ὕδατος, μετὰ σοῦ εἰμι, καὶ ποταμοὶ οὐ συγκλείσουσί σε· κἂν διαβαίνῃς διὰ πυρὸς, οὐ μὴ κατακαύσει σε. Ἀλλὰ γὰρ περὶ τῆς κατὰ τὸν Ψαλμὸν ἐξηγήσεως ἅλις ἔχει ταῦτα.

Κεφ. μθ'. Εἰς δὲ ἐκεῖνο διασκεπτέον, ἐν ᾧ πολυμόρφως ἐμφανταζόμενοι ἀπάταις, καθευδόντων τρόπον, ἀποφαίνονται τὸν ἀπόστολον εἰρηκέναι, Ἐγὼ δὲ ἔζων χωρὶς νόμου ποτὲ, καὶ βοῶσι, Τὴν πρὸ τῆς ἐντο-
pag. 575. λῆς ἡμῶν ἐν τῷ πρωτοπλάστῳ διαγωγὴν πρὸ σώματος ἔφη, ὡς τὰ ἐπιφερόμενα συνίστησιν, Ἐγὼ δὲ σάρκινός εἰμι, πεπραμένος ὑπὸ τὴν ἁμαρτίαν· ὅτι μὴ ἄλλως ὁ ἄνθρωπος ἄρχεσθαι ἠδύνατο καὶ κυριεύεσθαι ὑπὸ τοῦ κακοῦ, πραθεὶς αὐτῷ διὰ τὴν παράβασιν, εἰ μὴ σάρκινος ἦν γεγονώς. Ἄληπτος γὰρ καθ' ἑαυτὴν ἡ ψυχὴ, φησὶ, τῇ ἁμαρ-

Cap. XLVIII. — 1. *Petavius suspitus est* ἐν νώτῳ. 2. μεταβληθέντων *emendavit Petavius. Libri vulgo* μεταβληθέντες.

nos liberati sumus. Martyres Psalmum illum pronuntiant. Duplex porro triumphantium martyrum chorus est. Alter enim ad novum testamentum; alter ad vetus pertinet, qui quidem in patroni ac regis omnium dei honorem alterna invicem huius hymni modulatione respondent. *Probasti nos deus, igne nos examinasti, sicut examinatur argentum: induxisti nos in laqueum, posuisti tribulationes in dorso nostro.* Ubi tribunalia gentilium ac tentationes significant, quibus vexati ac velut igne percocti validissime probati sunt. *Proba me enim,* inquit, *deus, et tenta me; ure renes meos et cor meum.* Liceat et haec Abrahamo dicere, cum unigenae filii gratia illius viscera, veluti quodam igne torrerentur, ac maiorem divini mandati rationem haberet, hunc, inquam, Psalmi locum usurpet, postquam vocem illam accepit, *Abraam, parce filio tuo, et gladium abiice:* Gen. 22, 12. *probasti nos deus, igne nos examinasti, sicut examinatur argentum.* Eadem et Iob verba proferat, posteaquam et illius corpus purulenta sanie distillavit, et amicorum probra pertulit, et corporis cruciatibus affectus est, cum per procellam loquentem sibi deum exaudisset, *Num tu me aliam ob caussam tibi locutum arbitraris, quam ut iustus* Iob. 40, 8. *appareas?* Dicat inquam, *Posuisti tribulationes coram nobis, domine, ut nos tanquam in fornace aurum probares.* Item et tres in fornace pueri concinant rore perfusi, ne incendio concrementur. *Probasti* Dan. 3. *nos deus: igne nos examinasti, sicut examinatur argentum. Transivimus per ignem, et aquam; et eduxisti nos in refrigerium.* Quod utinam et mihi Methodio usurpare aliquando liceat omnipotens et aeterne deus pater Christi, cum in die tua per ignem sine ullo dolore transiero, et aquarum, quae inurendi naturam mutatae sint, impetum effugero: *Transivi per ignem et aquam, et eduxisti me in refrigerium.* Haec est enim tui amantibus a te edita promissio: *Si transieris per* Isai. 43, 2. *aquam, tecum sum, et flumina non concludent te: et si transieris per ignem, non combureris; flamma non comburet te.* Sed de Psalmi illius interpretatione abunde hactenus est dictum.

Cap. XLIX. Nunc illud considerandum est, in quo variis somniis dormientium more delusi apostolum haec dixisse iactitant: *Ego autem vive-* Rom. 7, 9. *bam aliquando sine lege,* statimque clamitant illam primi nostri parentis ante corpus legisque praescriptionem vitam esse declaratam, ut quae sequuntur fidem faciunt: *Ego vero carnalis sum, venumdatus sub peccatum.* Quoniam sub peccati potestatem ac dominatum redigi aliter homo non poterat, eique violato mandato venumdari nisi carne praeditus extitisset. Nam anima per sese nullo peccato corripi po-

3. Σῇ *cod. Rhedig. Vulgo* σύ.

τίᾳ. Διὸ δριμέως ἐπήγαγε τὸ, Ἐγὼ σάρκινός εἰμι, πεπραμένος ὑπὸ τὴν ἁμαρτίαν, πρόσθεν εἰπὼν τόδε, Ἐγὼ ἔζων χωρὶς νόμου ποτέ. Θαῦμα μὲν τοῖς πολλοῖς ταῦτα λεγόντων αὐτῶν τότε ὑπεδύετο, καὶ κατάπληξις, νῦν δὲ προκυψάσης εἰς τὸ φανερώτατον ἤδη τῆς ἀληθείας οὐ μόνον μακρῷ πλανώμενοι καταφαίνονται, ἀλλὰ καὶ μέχρι τῆς ἄκρας ἀναβαίνοντες βλασφημίας. Δόντες γὰρ ἀσωμάτως τὰς ψυχὰς πρὸ τῆς ἐντολῆς βεβιωκέναι, ἀλήπτους τε εἶναι καθ' ἑαυτὰς ἐκ παντὸς τῇ ἁμαρτίᾳ, διανοηθέντες πάλιν ἀνέτρεψαν τὸν λόγον, ἑαυτοὺς δὲ πολὺ μᾶλλον. Τὰ γὰρ δὴ σώματα κατασκευάζουσιν αὐταῖς ὕστερον ἐπὶ τιμωρίᾳ, διὰ τὸ πρὸ σώματος αὐτὰς ἡμαρτηκέναι. Καὶ δὴ καὶ λοιδορήσεις τε ἐπῆλθον αὐτοῖς δεσμοῖς ἀπεικάζουσι καὶ πέδαις τὸ σῶμα, ἄλλα τε ἀνόητα εἰπεῖν. Νῦν δὲ, ὅπερ εἴρηται, πᾶν τοὐναντίον ἔχει. Χρὴ γὰρ πρὸ τῆς ἁμαρτίας τὴν ψυχὴν ὑπάρχειν μετὰ σώματος, [1] ἐπειδὴ ἄληπτος οὖσα ἡ ψυχὴ καθ' ἑαυτὴν τῇ ἁμαρτίᾳ οὐκ ἂν ἥμαρτεν ὅλως πρὸ τοῦ σώματος. Εἰ δὲ ἥμαρτεν, οὐκ ἦν ἄληπτος καθ' ἑαυτὴν τῇ ἁμαρτίᾳ, ἀλλὰ καὶ εὐάλωτος μᾶλλον καὶ εὔληπτος. Διὸ καὶ πάλιν, κἂν μὴ λάβῃ τὸ σῶμα τοῦτο, ἁμαρτήσεται, ὥςπερ γε καὶ πρὸ τοῦ λαβεῖν αὐτὸ ἥμαρτεν. Διὰ τί δὲ ὅλως καὶ τὸ σῶμα ἐλάμβανεν ὕστερον μετὰ τὸ ἡμαρτηκέναι; ἢ τίς αὐτῇ χρεία σώματος ἦν; Εἰ μὲν οὖν ἵνα βασανίζηται καὶ ἀλγῇ, πῶς μᾶλλον ἐντρυφᾷ καὶ ἀκολασταίνει μετὰ σώματος; πῶς δὲ καὶ τὸ αὐτεξούσιον εἶναι ἐν τούτῳ φαίνεται ἔχειν τῷ κόσμῳ; Ἐφ' ἡμῖν γὰρ τὸ πιστεῦσαι κεῖται καὶ τὸ μὴ πιστεῦσαι. Ἔνθα δὲ ἐφ' ἡμῖν τὸ πιστεῦσαι κεῖται καὶ τὸ μὴ πιστεῦσαι, ἐφ' ἡμῖν τὸ κατορθώσασθαι καὶ ἁμαρτήσασθαι, ἐφ' ἡμῖν τὸ ἀγαθοποιεῖν καὶ τὸ κακοποιεῖν. Ἀλλὰ καὶ ἡ κρίσις πῶς δὴ ἐπιφέρεσθαι ὡς μέλλουσα προςδοκᾶσθαι ἔτι δύναται, καθ' ἣν ὁ Θεὸς ἑκάστῳ κατὰ τὰ ἔργα καὶ κατὰ τὰ ἐπιτηδεύματα ἀποδίδωσι, καὶ οὐχ ὡς ἤδη παροῦσα νομισθή-
pag. 576. σεται, εἴγε τὸ γεννηθῆναι μὲν καὶ εἰς σῶμα ἐλθεῖν τὴν ψυχὴν κριθῆναί ἐστιν ἤδη καὶ ἀνταπολαβεῖν, τὸ δὲ ἀποθανεῖν καὶ χωρισθῆναι τοῦ σώματος ἐλευθερωθῆναί τε καὶ εἰς ἀνάψυξιν ἐλθεῖν, διὰ τὸ πρὸ σώματος αὐτὴν ἁμαρτήσασαν ὡς εἰς κατάκρισιν καὶ καταδίκην εἰς τὸ σῶμα ἐμβιβάζεσθαι καθ' ὑμᾶς; Ἀπέδειξε δὲ διαρκῶς ἐκ περιουσίας ὁ λόγος ἀνένδεκτον εἶναι νομίζεσθαι τὸ σῶμα βασανιστήριον καὶ πέδας τῆς ψυχῆς.

Κεφ. ν'. Ἤρκει μὲν οὖν ἀπὸ τῆς γραφῆς αὐτῆς ἀποδείξαντα πρὸ τῆς παραβάσεως τὸν πρωτόπλαστον ἐκ ψυχῆς καὶ σώματος ὄντα καταπαύειν τὸν περὶ τούτων ἐνταῦθα λόγον. Κἀγὼ νῦν μὲν ἐπὶ κεφαλαίων αὐτὰ διεξέρχομαι, ὅσον τὰς ἀφορμὰς τῶν ἐπιχειρημάτων αὐτῶν εὐθῦναι

Cap. XLIX. — 1. ἐπειδὴ rescripsi pro ἐπεὶ ἡ quod vulgo in libris reperitur.

test. Ob id acute statim illud adiecit, *Ego carnalis sum venumdatus sub peccato*, cum id antea dixisset, *Ego vivebam aliquando sine lege*. Quae cum illi dicerent, plerique in stuporem admirationemque convertebantur. Iam vero posteaquam veritas est manifestissime patefacta, non modo longe eos aberrasse, sed et summam ad blasphemiam pervenisse constat. Qui cum ante praeceptum corporis expertes vixisse velint animas, nec ullo per sese peccato posse corripi, aliam deinceps in opinionem delapsi suum illud dogma vel seipsos potius everterunt. Corpora enim iisdem illis postea velut in supplicium fabricant, quod ante corpus peccaverint. Quinetiam convicia illis occurrunt, ut vinclis ac pedicis simile esse corpus affirment, aliaque stolida id genus effutiant. At vero longe, uti dixi, contrario modo sese res habet. Oportet enim etiam ante peccatum corpori consertam animam fuisse. Alioqui cum anima nullo per sese peccato affici queat, nullo pacto ante corpus peccare potuisset. Sin peccavit, falsum est nullo eam peccato per sese potuisse corripi, quinimo facile ab eo invadi expugnarique potuit. Unde et licet denuo corpus illud non accipiat, peccabit nihilominus, quemadmodum antequam cum illo coniungeretur iamdudum fecerat. Quorsum vero corpus omnino post admissum delictum capiebat, aut quid illo opus habebat? Si ut supplicio ac dolore afficeretur, cur cum corpore luxum potius deliciasque sectatur? Arbitrii vero sui libertatem quomodo retinere in hoc mundo videtur? Credere enim, aut non credere in nostra est voluntate positum. Ubi autem utrumque iuris ac voluntatis est nostrae, consequens est ut et recte agere vel peccare, boni aliquid facere vel mali, sit integrum. Quonam pacto praeterea futurum illud iudicium expectari amplius potest, quo in iudicio unicuique deus pro operum ratione ac studiorum rependet, et non potius iam adesse censebitur, si gigni ac subire in corpus animam idem est ac iudicari, et meritorum praemia percipere, emori contra atque a corpore seiungi nihil est aliud quam liberari ac refocillari; propterea quod peccato ante corpus admisso in idem illud anima, velut ad supplicium damnata, compellitur, quae vestra est sententia? Iam illud satis superque, velut ex abundanti, oratione nostra demonstratum est, fieri non posse ut corpus animae veluti carnificina ac vinculum habeatur.

Atque illud quidem sufficere videtur, quod ex sacris literis ostendimus, primum nostrum parentem, etiam ante delictum, ex corpore animaque fuisse conflatum, atque ita disputandi finem facere. Ego vero summa nunc illorum capita perstringam, duntaxat ut argumentorum, quibus utuntur, praesidia ac firmamenta convellam; ne Cap. L.

διαμιλλώμενος, ἵνα μὴ τὴν συμμετρίαν ἐκβαίνω τῶν λόγων. Πάρεστι γὰρ ἤδη σκοπεῖν ὑμᾶς, ὦ δικασταὶ, ὅτι τὸ, Ἐγὼ δὲ ἔζων χωρὶς νόμου ποτὲ, λεγόμενον ἐν τῇ πρὸς Ῥωμαίους, οὐ δύναται πίπτειν εἰς τὴν πρὸ σώματος κατ' αὐτοὺς διαγωγὴν τῆς ψυχῆς, καθάπερ τὰ ἐπιφερόμενα τούτοις μηνύει. Κἂν ὁ γενναῖος οὗτος ἰατρὸς τῶν ῥητῶν τὰ ἑξῆς ἀφελόμενος πρὸς τὸ δοκοῦν αὐτῷ τὸν νοῦν ἐβιάσατο μεταπλάσαι τοῦ ἀποστόλου, [1] ἀνόητόν τι παθὼν λίαν καὶ παιδικόν. Ἀντὶ γὰρ τοῦ πρὸς τὰς οἰκείας συμφύσεις καὶ ἁρμογὰς τὰ μέλη τηρεῖν τῶν σωμάτων, ἵνα τὸ πᾶν ἄρτιον κατὰ φύσιν ᾖ σχῆμα τοῦ σώματος, ἠκρωτηρίασε παρελθὼν τὸν εἱρμὸν τῆς γραφῆς, καθάπερ Σκύθης ἐχθροῦ τινος ἀφειδῶς πρὸς ἀναίρεσιν κατατέμνων τὰ μέλη. Εἶεν. Πῶς οὖν ὁ ἀπόστολος, λέξουσι, ταῦτα ἀπεφήνατο, εἰ σὺ μὴ οὕτως αὐτὰ ἀπέδειξας ἔχειν; Ὅτι νόμον, εἴποιμ' ἂν, θέμενος εἶναι τὴν ἐντολήν. Δεδόσθω γὰρ πρῶτον κατὰ τὴν ὑμετέραν ὑπόθεσιν τὴν ἐντολὴν αὐτὸν νόμον εἰρηκέναι, οὐ παρὰ τοῦτο καὶ ἀσωμάτως πρὸ τῆς ἐντολῆς τοὺς πρωτοπλάστους ὑπέθετο βεβιωκέναι, ἀλλὰ χωρὶς ἁμαρτίας. Καὶ γὰρ [2] ὀλίγος ὁ ἀπὸ τῆς κτίσεως αὐτῶν ἄχρι τῆς ἐντολῆς χρόνος, ἐν ᾧ διέζησε χωρὶς ἁμαρτίας, [3] οὐκ ἐκτὸς || σώματος, ἀλλὰ μετὰ σώματος. Εὐθέως [4] γοῦν μετὰ τὴν ἐντολὴν ἐξεβλήθησαν, βραχύτατον ἐννεάσαντες ἐν τῷ Παραδείσῳ χρόνον. Ἐὰν δέ τις λαβόμενος τῆς ῥήσεως τῆς, Ὅτε γὰρ ἦμεν ἐν σαρκὶ, τὰ παθήματα τῶν ἁμαρτιῶν τὰ διὰ τὸν νόμον, λεγούσης, ἐνηργεῖτο ἐν τοῖς μέλεσιν ἡμῶν, διαβάλλειν αὐτὸν τὴν σάρκα νομίζει καὶ παραιτεῖσθαι, παραφέρητε ὅσα τοιαῦτα ἄλλα εἴρηται, οἷον, Ἵνα τὸ δικαίωμα τοῦ νόμου πληρωθῇ ἐν ἡμῖν, τοῖς μὴ κατὰ σάρκα περιπατοῦσιν, ἀλλὰ κατὰ πνεῦμα, ἢ τὸ, Οἱ γὰρ κατὰ σάρκα ὄντες τὰ τῆς σαρκὸς φρονοῦσιν, οἱ δὲ κατὰ πνεῦμα τὰ τοῦ πνεύματος· τὸ γὰρ φρόνημα τῆς σαρκὸς θάνατος, τὸ δὲ φρόνημα τοῦ πνεύματος ζωὴ καὶ εἰρήνη· διότι τὸ φρόνημα τῆς σαρκὸς ἔχθρα εἰς θεόν· τῷ γὰρ νόμῳ τοῦ θεοῦ οὐχ ὑποτάσσεται, οὐδὲ γὰρ δύναται· ὑμεῖς δὲ οὐκ [5] ἐστὲ ἐν σαρκὶ, ἀλλὰ ἐν πνεύματι. Λεκτέον αὐτῷ, Πότερον οὖν ἤδη ἀναλύσας ὁ ἀπόστολος ἦν ἐκ τοῦ βίου καὶ οἷς ταῦτα ἐπέστελλεν, εἰ μὴ τὴν [6] κατὰ σάρκα νῦν παρῃτεῖτο πολίτειαν, ἀλλὰ τὴν σάρκα, ἢ ὅτι ἐν σαρκὶ ἦν, [7] ἀλλὰ ἐν σαρκὶ μὴ ὄντα αὐτὸν ἐπεσταλκέναι ταῦτα; Οὐ λεκτέον. Φανερὸν γὰρ ὅτι ἦν ἐν σαρκὶ καὶ αὐτὸς καὶ οἷς ταῦτα ἐπέστελλεν. Πῶς οὖν, Ὅτε γὰρ ἦμεν ἐν σαρκὶ, τὰ παθήματα τῶν ἁμαρτιῶν τὰ διὰ τοῦ νόμου ἐνηργεῖτο ἐν τοῖς μέλεσιν ἡμῶν, ὡς οὐκ ὢν οὔτε αὐτὸς ἔτι ἐν σαρκὶ, οὔτε οἷς ταῦτα ἐπιστέλλων, λέγει; Οὐκοῦν περὶ τῆς κατὰ ἀκρασίαν πολιτείας διαλέγεται, καὶ οὐ περὶ τῆς σαρκὸς

Cap. L. — 1. ἀνόητόν τι *mea est emendatio. Libri habent* ἀνίατόν τι. *Petavio placuit* ἀνίατρόν τι.

2. ὁ λόγος *cod. Venet. vitiose.*

3. *Post verba* οὐχ ἐκτὸς *usque ad finem capitis, hoc est ad verba* καὶ οὐχὶ

modum orationis excedam. Hoc iam enim intueri potestis, iudices, haec apostoli verba: *Ego vivebam sine lege aliquando,* ex epistola ad Romanos, nequaquam ad eam vitae rationem posse convenire quam ante corpus anima consecuta fuerit, ut ex consequentibus apparet. Tametsi egregius ille medicus sacrorum verborum detractis reliquis apostoli mentem ad opinionem suam violenter transferre contendat. In quo parum medice, imo vero pueriliter, sese gessit. Cum enim sic tanquam corporum membra ad propriam commissuram ac iuncturam accommodare debuerit, ut integra ac nativa corporis figura servetur, e contrario scripturae neglecta serie mutilum corpus effecit, perinde ac Scytha hostile corpus crudeliter conficiens, membratimque concidens. Sed haec missa faciamus. Atenim dicent, Cur haec ab apostolo pronuntiata sunt, si tu ad eum modum habere se ista negaveris? Respondeo pro praecepto legem illum usurpasse. Detur enim hoc opinioni primum vestrae, praeceptum ab apostolo legem appellari. Non idcirco tamen corporis expertes ante praeceptum primos parentes fuisse statuit, sed immunes a peccato. Breve enim illud tempus fuit quod inter illorum creationem atque editi praecepti tempus intercessit, in quo sine peccato vixit, non extra || corpus, sed cum corpore. Statim igitur post praeceptum sunt eiecti, ac perbreve tempus iuventute sua in Paradiso fruiti sunt. Si quis autem dictum arripiens illud, *Cum enim in carne essemus, peccatorum* Rom. 7, 5.
per legem passiones vigebant in artubus nostris, accusare carnem illum et reprehendere arbitratur, age proferatis quaecumque id genus alia sunt dicta, quale, *Ut iustificatio legis compleretur in nobis, qui non* Rom. 8, 4.
carnaliter incedimus, sed spiritaliter, vel illud, *Nam qui carnales sunt, res carnis sentiunt, qui autem spiritales, res spiritus; carnis enim sensus mors est, spiritus vero vita et pax: quippe carnis sapientia inimica deo; legi enim dei non subicitur, non enim potest: vos vero non estis in carne, sed in spiritu.* Dicendum illi, Num igitur iam decesserat apostolus de vita, et ii quibus haec mandabat, si non carnale nunc vitae genus reprehenderet, sed carnem, aut in carne fuisse quidem, sed extra carnem eum mandasse haec? Non est dicendum. Apparet enim in carne fuisse tam ipsum quam quibus haec mandabat. Quomodo igitur, *Cum enim essemus in carne, peccatorum per legem passiones vigebant in artubus nostris,* diceret, si nec ipse iam nec quibus haec mandabat in carne fuissent? Itaque de dissoluto genere

usque, in editis libris, uti etiam in cod. Rhedig., lacuna conspicitur satis magna, quam explevi ope cod. Veneti.
4. γ' οὖν *cod. ms.*
5. ἐσταὶ *cod. ms.*
6. κατασάρκα *cod. ms. fere ubique.*
7. *Voce* ἀλλὰ *in cod. Veneto incip. fol.* 372. *r.*

αὐτῆς. Ἔθος γὰρ αὐτῷ σαρκικῶς τὸν οὕτως ζῶντα ἄνθρωπον λέγειν, καθάπερ καὶ ψυχικὸν ἄνθρωπον τὸν ἀπηλγηκότα πρὸς τὴν ἀλήθειαν ἀτενίσαι καὶ τὸν φωτισμὸν τοῦ μυστηρίου. Ἐπεὶ λεγέτωσαν [8] μηδὲ τὴν ψυχὴν δύνασθαι σώζεσθαι τὸ σύνολον. Γέγραπται γάρ, Ψυχικὸς δὲ ἄνθρωπος οὐ δέχεται τὰ τοῦ πνεύματος τοῦ θεοῦ, μωρία γὰρ αὐτῷ ἐστιν, ὁ δὲ πνευματικὸς πάντα ἀνακρίνει. Ὥςπερ ἐκεῖ ψυχικὸς εἰςάγεταί τις καὶ πνευματικὸς ἄνθρωπος, καὶ ὁ μὲν πνευματικὸς τῶν σωζομένων, ὁ δὲ ψυχικὸς τῶν ἀπολλυμένων, καὶ οὐ παρὰ τοῦτο δὴ ψυχὴ μὲν ἀπόλλυται, ἀλλὰ δὲ παρὰ τὴν ψυχὴν σώζεται, οὕτω δὴ καὶ ἐνθάδε σαρκικοὺς καὶ ἐν σαρξὶν ὑπάρχοντας ἀπόλλυσθαι λέγων, καὶ μὴ δύνασθαι ἀρέσαι θεῷ, οὐ τὴν σάρκα, ἀλλὰ τὴν κατὰ σάρκα πολίτειαν ἀναιρεῖσθαι ἀγωνίζεται. Ὑποβὰς δὲ καὶ εἰπών, Οἱ δὲ ἐν σαρκὶ ὄντες θεῷ ἀρέσαι οὐ δύνανται, εὐθέως ἐπιφέρει, Ὑμεῖς δὲ οὐκ ἐστὲ ἐν σαρκί, ἀλλὰ ἐν πνεύματι, εἴπερ πνεῦμα Χριστοῦ οἰκεῖ ἐν ὑμῖν. Καὶ μετ' ὀλίγον, Ὅτι δὲ τὸ πνεῦμα τοῦ ἐγείραντος Ἰησοῦ ἐκ νεκρῶν οἰκεῖ ἐν ὑμῖν, ὁ ἐγείρας Χριστὸς ἐκ νεκρῶν ζωοποιήσει καὶ τὰ θνητὰ σώματα ὑμῶν διὰ τοῦ ἐνοικοῦντος αὐτοῦ πνεύματος ἐν ὑμῖν· ἄρα οὖν, ἀδελφοί, ὀφειλέται ἐσμὲν οὐ τῇ σαρκί, τοῦ κατὰ σάρκα ζῆν· εἰ γὰρ κατὰ σάρκα ζῆτε, [9] μέλλετε ἀποθνήσκειν, εἰ δὲ [10] πνεύματι τὰς πράξεις τοῦ σώματος [11] θανατοῦτε, ζήσεσθε. Προςεκτέον γάρ, ὡς τὴν τοῦ σώματος πρὸς τὰς ἡδονὰς ὁρμὴν || καὶ οὐχὶ τὸ σῶμα θανατοῦσθαι ἐβεβαιώσατο. pag. 577.

Κεφ. να΄. Ἐὰν δὲ πάλιν ἀνθυποφέρωσι λέγοντες, Πῶς δὴ οὖν τὸ φρόνημα τῆς σαρκὸς εἶναι εἴρηται ἔχθρα εἰς θεόν; τῷ γὰρ νόμῳ τοῦ θεοῦ οὐχ ὑποτάσσεται, οὐδὲ γὰρ δύναται, λεκτέον ὡς ἄρα καὶ ἐνθάδε διαπίπτουσιν. Οὐ γὰρ τὴν σάρκα αὐτήν, ἀλλὰ τὸ φρόνημα τῆς σαρκὸς ὑποτάσσεσθαι μὴ δύνασθαι τῷ νόμῳ τοῦ θεοῦ ὑπέθετο, ἕτερον παρὰ τὴν σάρκα ὑπάρχον. Καθάπερ εἰ ἔλεγεν, Ὁ ῥύπος τοῦ μὴ καλῶς ἀργύρου καθαρισθέντος εἰς τὸ γενέσθαι σκεῦος ἐπιτήδειον· οὐχ ὑποτάσσεται τῷ δημιουργῷ, οὐδὲ γὰρ δύναται· ἐκβληθῆναι γὰρ αὐτὸν πρότερον καὶ ἐκτακῆναι δεῖ. Καὶ οὐ παρὰ τοῦτο τὸν ἄργυρον ἀπεφήνατο μὴ δύνασθαι εἰς σκεῦος πονηθῆναι χρήσιμον, ἀλλὰ τὸ χαλκῶδες τὸ ἐν τῷ ἀργύρῳ, καὶ τὴν ἄλλην σκληρότητα. Οὕτω καὶ τὸ φρόνημα τῆς σαρκὸς εἰπὼν οὐ τὴν σάρκα ἔφη μὴ δύνασθαι ὑποτάσσεσθαι τῷ νόμῳ τοῦ θεοῦ, ἀλλὰ τὸ φρόνημα τὸ ἐν τῇ σαρκί, οἷον τὸ πρὸς τὰς ἀκρασίας αὐτῆς λέγων ὅρμημα. Ὅπερ ἀλλαχοῦ, ὁτὲ μὲν παλαιὰν ζύμην κακίας καὶ πονηρίας ἐκάλεσεν, ἐπισπέρχων αὐτοτελῶς ἀφ' ἡμῶν ἀϊστωθῆναι, ὁτὲ δὲ νόμον ἀντιστρατευόμενον τῷ νόμῳ τοῦ νοός, καὶ αἰχμαλωτίζοντα. Ἐπεί, εἰ αὐτὴν τὴν σάρκα ἔλεγε μὴ δύνασθαι ὑποτάσσεσθαι τῷ νόμῳ τοῦ θεοῦ, πρῶτον οὔτε μέμψιν ἂν ἀσελγαίνοντες, ἢ

8. μὴ δὲ cod. ms. ubique. 9. μέλλητε cod. ms.

vitae disputat, et non de carne ipsa. Solet enim hominem ita viventem carnaliter viventem dicere, quemadmodum psychicum etiam hominem eum cui spes omnis erepta est veritatem videndi atque mysterii lucem. Alioqui negent omnino vel animam posse salvari. Scriptum est enim, *Psychicus vero homo non accipit quae sunt dei spiritus: stultitia enim ei est, spiritalis autem universa dignoscit.* 1.Cor. 2, 15.
Quemadmodum enim illic psychicus introducitur aliquis et spiritalis homo, et spiritalis in eorum qui salvantur numero est, psychicus contra in eorum qui pereunt, et nihilo magis utique anima perit, sed iuxta animam salvatur, sic etiam hoc loco, cum carnales et eos qui in carnibus vivant perire dicat, non ipsam carnem deo placere non posse, sed vitae genus carnale tollere studet. Paulo infra autem dicens, *Qui vero in carne sunt, deo placere non possunt*, statim Rom. 8, 8.
subicit, *Vos autem non estis in carne, sed in spiritu, si quidem Christi spiritus in vobis habitat.* Et paulo post, *Quia vero spiritus Christi, qui de mortuis suscitat, habitat in vobis, Christus, qui de mortuis suscitat, vivificabit etiam mortua corpora vestra, per spiritum suum qui vobis inhabitat: itaque, fratres, non carni debitores sumus, ut secundum carnem vivamus: nam si secundum carnem vivitis, moriemini, sin vero spiritu mortificatis corporis actus, vivetis.* Animadvertendum est enim quod voluptatum appetitum, qui corporis est, neque corpus morte affici confirmat.

Quod si id rursus obiiciant, cur igitur *sapientia carnis esse deo* Cap. LI.
inimica dicitur, *legi enim dei non subiicitur, neque enim potest*, sic Rom. 8, 7.
occurrendum erit: vehementer illos hoc loco decipi. Non enim carnem ipsam, sed carnis sapientiam legi dei subiici non posse declarat, quae quidem a carne discrepat. Quemadmodum si dicat, Argenti sordes, quod non satis repurgatum sit, ut ex eo vas idoneum fieri possit, artifici non subiiciuntur; neque enim possunt. Etenim excerni prius illas, atque eliquari convenit. Nec argentum idcirco negat in vas aliquod utile conformari posse, sed id solum quod in argento subaeratum, ac propter duritiem contumax est. Sic apostolus de carnis sapientia loquens non carnem ipsam asserit dei legi non posse subiici, sed eam quae est in carne sapientiam, quo vocabulo illius in voluptates ac libidines propensiorem significat. Atque hoc alibi nonnunquam *vetus fermentum malitiae ac nequitiae* vocat, 1. Cor. 5, 7.
cum illud funditus a nobis profligari iubet. Nonnunquam *legem* appellat *repugnantem legi mentis, et captivum abducentem.* Alioqui si Rom. 7, 23.
carnem ipsam diceret divinae legi subiici non posse, primum quoties

10. πνεύματα *cod. ms.*

11. *Voce* θανατοῦτε *in cod. Veneto incip. fol.* 372. *v.*

ληστεύοντες, ἢ τὰ ἄλλα ὅσα ἅττα διὰ σώματος πράττοντες ἢ ποιοῦντες ἔχειν ἐδυνάμεθα παρὰ δικαίῳ κριτῇ, ἀδυνάτως ἐχούσης τῆς σαρκὸς ὑποτάσσεσθαι τῷ νόμῳ τοῦ θεοῦ. Πῶς γὰρ ἂν μεμπτέον ἐδύνατο τὸ σῶμα κατὰ τὴν προςοῦσαν αὐτῷ φύσιν βιοῦν εἶναι; Ἀλλὰ οὐδὲ ἄλλως εἰς ἁγνείαν ἢ ἀρετὴν ὑπαχθῆναι τὸ σῶμα ἐδύνατο, πεφυκὸς μὴ ὑποτάσσεσθαι τῷ ἀγαθῷ. Εἰ γὰρ ἡ φύσις τοιαύτη τῆς σαρκὸς μὴ δύνασθαι ὑποτάσσεσθαι τῷ νόμῳ τοῦ θεοῦ, νόμος δὲ θεοῦ δικαιοσύνη καὶ σωφροσύνη, ἐχρῆν μηδὲ παρθενεύειν, μήτε ἐγκρατεύεσθαι δύνασθαι τὸ σύνολον ὅλως ἐκ παντός. Εἰ δὲ παρθενεύουσι καὶ ἐγκρατεύονται, δηλονότι τὸ σῶμα ὑποτάσσουσιν. Ἄλλως γὰρ ἐγκρατεύεσθαι ἁμαρτίας ἀδύνατον. Οὐκ ἄρα οὐ δύναται τὸ σῶμα ὑποτάσσεσθαι τῷ τοῦ θεοῦ νόμῳ, ἐπεὶ πῶς ἂν ὁ Ἰωάννης ὑπέταξεν ἑαυτοῦ τὸ σῶμα εἰς
pag. 578. ἁγνείαν; ἢ πῶς Πέτρος εἰς ὁσιότητα; ἢ οἱ καθεξῆς εἰς δικαιοσύνην; πῶς δὲ καὶ Παῦλος, Μὴ οὖν βασιλευέτω ἡ ἁμαρτία ἐν τῷ θνητῷ ὑμῶν σώματι, λέγει, ἐν τῷ ἐπακούειν ταῖς ἐπιθυμίαις αὐτοῦ· μηδὲ παριστάνετε τὰ μέλη ὑμῶν ὅπλα ἀδικίας τῇ ἁμαρτίᾳ, ἀλλὰ παραστήσατε [1] ἑαυτοὺς τῷ θεῷ, ὡςεὶ ἐκ νεκρῶν ζῶντας, καὶ τὰ μέλη ὑμῶν ὅπλα δικαιοσύνης τῷ θεῷ; καὶ πάλιν, Ὥςπερ παρεστήσατε τὰ μέλη [2] ὑμῶν δοῦλα τῇ ἀκαθαρσίᾳ καὶ τῇ ἀνομίᾳ εἰς τὴν ἀνομίαν, οὕτως νῦν παραστήσατε τὰ μέλη ὑμῶν δοῦλα τῇ δικαιοσύνῃ εἰς ἁγιασμόν;

Κεφ. νβ'. Οὐκοῦν ἐγίνωσκε δύνασθαι διευθύνεσθαι τὸ σκήνωμα τοῦτο καὶ νεύειν πρὸς τὸ ἀγαθὸν, ἵνα νεκρωθῶσιν ἐν αὐτῷ τὰ ἁμαρτήματα. Ἐπεὶ πῶς ἑτέρως δουλωθῆναι τῇ δικαιοσύνῃ δύναται ὁ ἄνθρωπος, [1] καὶ ἐφ' ἡμῶν, ἐὰν μὴ πρότερον ὑποτάξας αὐτοῦ τὰ μέλη τῆς σαρκὸς εἰς τὸ μὴ ὑπακούειν αὐτὰ τῇ ἁμαρτίᾳ, ἀλλὰ τῇ δικαιοσύνῃ, πολιτεύσηται κατ' ἀξίαν τοῦ Χριστοῦ; ἐπειδὴ τὸ ἁμαρτῆσαι καὶ τὸ μὴ ἁμαρτῆσαι διὰ τοῦ σώματος γίνεται, τῆς ψυχῆς ἢ πρὸς ἀρετὴν ἢ πρὸς κακίαν ὀργάνῳ χρωμένης αὐτῷ. Εἰ γὰρ οὔτε πόρνοι, οὔτε εἰδωλολάτραι, οὔτε μοιχοὶ, οὔτε ἀρσενοκοῖται, οὔτε μαλακοὶ, οὔτε κλέπται, οὔτε πλεονέκται, οὔτε μέθυσοι, οὐ λοίδοροι, οὔτε ἅρπαγες, βασιλείαν θεοῦ κληρονομῆσαι δύνανται, πληροῦνται δὲ ταῦτα καὶ κρατύνονται διὰ τοῦ σώματος, δικαιοῦται δὲ οὐδεὶς, ἐὰν μὴ πρῶτον κρατήσῃ, κρατεῖ δὲ τούτων ὁ ἐκνεύων πρὸς σωφροσύνην καὶ πίστιν, ὑποτάσσεται ἄρα τῷ νόμῳ τοῦ θεοῦ· νόμος γὰρ θεοῦ σωφροσύνη. Ὥςτε ὁ ἀπόστολος οὐ τὴν σάρκα μὴ ὑποτάσσεσθαι τῷ ἀγαθῷ ἔφη, ἀλλὰ τὸ φρόνημα τῆς σαρκὸς, οἷον τὴν ὁρμὴν αὐτῆς, αὐτὴν τὴν πρὸς τὸ ἄδικον ἔκκαυσιν. Ἐκκαθαίρεσθαι γοῦν ἔφη, ἄχρι καὶ τὴν γαστριμαργι-

Cap. LI. — 1. ἑαυτοὺς *in libris vulgo desideratur.*
2. *Vulgo* ἡμῶν.

Cap. LII. — 1. *Non solum aliquis eorum quos allocutus est apostolus, sed etiam inter nos. Cornarius et Petavius*

vel intemperanter aliquid faceremus, vel furtum committeremus, vel cetera id genus corporis adminiculo perpetraremus, nulla ob id apud iustum iudicem reprehensione digni videremur, quandoquidem divinae legi subdi caro omnino non potest. Cur enim reprehendatur corpus, quod ex naturae suae necessitate vivat. Sed neque ad castimoniam aut virtutem traduci corpus poterit, quod bono subiici ex naturae suae conditione nequeat. Nam cum istiusmodi sit natura carnis, ut divinae legi subiici nequeat, divina porro lex iustitia sit ac temperantia, neque virginitatem servare, neque continentem esse posse penitus oporteret. Sin virginitatem ac continentiam colunt, consequens est ut et corpus subiiciant. Fieri enim aliter non potest ut a peccato sese contineant. Falsum est itaque divinae legi corpus non posse subiici. Quod si verum esset, quanam ratione Ioannes corpus suum ad castitatem sibi, aut ad sanctimoniam Petrus, aut ad iustitiam denique ceteri subdidissent? Cur etiam Paulus ita monuisset: *Ne igitur regnet peccatum in mortali vestro corpore, ut* Rom. 6, 12. *obediatis cupiditatibus illius: nec exhibete membra vestra arma iniustitiae peccato, sed exhibete deo, tanquam ex mortuis viventes, et membra vestra arma iustitiae deo?* Item illud: *Quemadmodum exhibuistis* Rom. 6, 19. *membra vestra servire immunditiae et iniquitati ad iniquitatem, sic nunc exhibete membra vestra servire iustitiae ad sanctificationem.*

Hoc igitur intelligebat, tabernaculum istud posse corrigi et ad Cap. LII. bonum converti, ut in eo peccata penitus extinguerentur. Quae enim alia ratio est qua in quandam iustitiae servitutem redigi homo possit, nisi prius carnis suae membra subiiciens, ut non peccato amplius obsequantur, sed iustitiae vitam suam perinde ac Christo dignum est instituat? Quoniam quidem peccare vel non peccare per corpus suppetit, quo ad virtutem aut nequitiam administro animus utitur. Et quidem cum *neque fornicatores, nec idololatrae, nec ad-* 1.Cor. 6, 10. *ulteri, neque masculorum concubitores, neque molles, neque fures, nec avari, nec ebriosi, neque conviciatores, neque raptores regnum dei possidere possint,* ea porro omnia corporis adminiculo perficiantur ac corroborentur, iustificari porro nemo possit, nisi prius ista superarit, quae quidem is superat qui se ad temperantiam fidemque convertit, efficitur legi dei corpus posse subiici. Dei quippe lex temperantia est. Quamobrem apostolus non carnem ipsam asserit legi dei subiici non posse, sed *carnis sapientiam,* hoc est eius impetum et ardentem ad iniustitiam inflammatamque cupiditatem. Repurgari proinde iussit, ut vel ipsam ventris ingluviem conaretur ex-

pro spuriis habuisse videntur verba ἐφ' ἡμῶν, dum alter in versione prorsus neglegit, alter uncinis includit. Sed libri tuentur.

κὴν ἀκρασίαν διαμιλλώμενος, διδάσκων δὲ τὰς τοιαύτας ὀρέξεις καὶ ἡδονὰς ἐξαπόλλυσθαι, καὶ καταισχύνων τοὺς τὸ τρυφᾶν τοῦτο καὶ πολιτεύεσθαι εἶναι νομίζοντας, οἳ θεὸν ἡγοῦνται τὴν κοιλίαν· Φάγωμεν καὶ πίωμεν, αὔριον γὰρ ἀποθνήσκομεν, καθάπερ ἀδηφάγα σώματα κάτω περὶ τὴν βορὰν μόνον καὶ τραπέζας ἀσχολούμενα· εἰπών τε, Τὰ βρώματα τῇ κοιλίᾳ, καὶ ἡ κοιλία τοῖς βρώμασιν, ὁ δὲ θεὸς καὶ ταύτην καὶ ταῦτα καταργήσει, ἐπήγαγε, Τὸ δὲ σῶμα οὐ τῇ πορνείᾳ, ἀλλὰ τῷ
pag. 579. κυρίῳ, καὶ ὁ κύριος τῷ σώματι. Ὁ δὲ θεὸς καὶ τὸν κύριον ἤγειρε, καὶ ἡμᾶς ἐξεγερεῖ διὰ τῆς δυνάμεως αὐτοῦ. Ἢ οὐκ οἴδατε ὅτι τὰ μέλη ἡμῶν μέλη Χριστοῦ ἐστιν; ἄρα οὖν τὰ μέλη τοῦ Χριστοῦ ποιήσω πόρνης μέλη; Μὴ γένοιτο. Ἢ οὐκ οἴδατε ὅτι ὁ κολλώμενος τῇ πόρνῃ ἓν σῶμά ἐστι; ἔσονται γὰρ, φησὶν, οἱ δύο εἰς σάρκα μίαν. Ὁ δὲ κολλώμενος τῷ κυρίῳ ἓν πνεῦμά ἐστι. Φεύγετε τὴν πορνείαν. Πᾶν ἁμάρτημα ὃ ἐὰν ἁμαρτήσῃ ἄνθρωπος ἐκτὸς τοῦ σώματός ἐστιν, ὁ δὲ πορνεύων εἰς τὸ ἴδιον σῶμα ἁμαρτάνει. Ἢ οὐκ οἴδατε ὅτι τὰ σώματα ὑμῶν ναὸς τοῦ ἐν ὑμῖν ἁγίου πνεύματός ἐστιν, οὗ ἔχετε ἀπὸ θεοῦ, καὶ οὐκ ἐστε ἑαυτῶν; ἠγοράσθητε γὰρ τιμῆς. Δοξάσατε οὖν τὸν θεὸν ἐν τῷ σώματι ὑμῶν.

Κεφ. νγʹ. Πρόσσχες ὅτι ἐπειδὴ τὸ σῶμα τοῦτο δύναται τὸν νόμον τοῦ θεοῦ καὶ τὴν ἀθανασίαν ὑποδέξασθαι, ἐὰν καθαίροιτο τῆς ἀκρασίας τῶν ὑπεκκαυμάτων, μὴ χραινόμενον ἀθέσμοις ὅλως οἴστρων παρατριβαῖς, διὸ ὁ ἀπόστολος ταῦτα διεφθέγξατο. Ποῖον γὰρ τὸ κολλώμενον ἕτερον τῇ πόρνῃ καὶ πλησιάζον καὶ σὰρξ μετ' αὐτῆς κατὰ τὴν ζεῦξιν τῶν μελῶν καὶ τὴν κοινωνίαν μίαν γιγνόμενον παρὰ τοῦτο τὸ σῶμα τὸ ἔξω, δι' οὗ πάντα ταῦτα πληροῦται τὰ πρὸς μίξιν καὶ ἔκκαυσιν ἁμαρτήματα; ὅθεν καὶ, Πᾶν ἁμάρτημα ὃ ἐὰν ποιήσῃ ὁ ἄνθρωπος, ἐκτὸς τοῦ σώματός ἐστιν, ὁ δὲ πορνεύων εἰς τὸ ἴδιον σῶμα ἁμαρτάνει. Τῦφος μὲν γὰρ καὶ ἀπιστία καὶ θυμὸς καὶ ὑπόκρισις ψυχῆς ἁμαρτήματα, πορνεία δὲ καὶ οἶστρος καὶ τρυφὴ σώματος· μεθ' ὧν οὔτε ψυχὴ πρὸς ἀλήθειαν ἀναπτήσεται, οὔτε σωφροσύνης ὑποταχθήσεται δόγμασιν, ἀλλὰ ἄμφω διολισθήσωσι τῆς βασιλείας τοῦ Χριστοῦ. Καὶ τοίνυν εἰ τὰ σώματα ἡμῶν ἐν ἁγιασμῷ διακρατούμενα ναός ἐστι τοῦ ἐν ἡμῖν οἰκοῦντος πνεύματος, καὶ ὁ κύριος ἐν τῷ σώματι, καὶ τὰ μέλη τοῦ σώματος μέλη Χριστοῦ, ὑποτάσσεται ἄρα τὸ σῶμα τῷ νόμῳ τῷ θείῳ, καὶ κληρονομῆσαι δύναται τὴν βασιλείαν τοῦ θεοῦ. Ὁ γὰρ ἐγείρας Χριστὸν ἐκ νεκρῶν ζωοποιήσει, φησὶ, καὶ τὰ θνητὰ σώματα ὑμῶν, διὰ τοῦ ἐνοικοῦντος αὐτοῦ πνεύματος ἐν ὑμῖν· ἵνα τὸ θνητὸν τοῦτο ἐνδύσηται τὴν ἀθανασίαν, καὶ τὸ φθαρτὸν τὴν ἀφθαρσίαν, εἰς νῖκός τε καταποθῇ ὁ θάνατος. Οὐ γὰρ περὶ ἄλλου διελάμβανεν ἐνταῦθα σώματος ὁ ἀπόστολος, ἀλλὰ περὶ τούτου καὶ τοῦ ἀποθνήσκοντος καὶ νεκρουμένου, δι' οὗ καὶ πορνεῦσαι καὶ ἀσελγῆσαι δυνατόν.

tinguere, cum eiusmodi cupiditates ac voluptates interire monstraret, iisque qui his uti deliciis vivere esse crederent pudorem incuteret, qui *deum esse ventrem* existimant. *Manducemus et bibamus, cras enim moriemur.* Phil. 3, 19. 1.Cor.15,32. Quemadmodum voracissima quaedam corpora, quae ad pabulum abiecta tota in mensis ac conviviis occupantur. Tum postquam his verbis usus est: *Esca ventri, et venter escis, deus autem hunc et illas destruet,* 1. Cor. 6, 13. adiecit, *Corpus autem non fornicationi, sed domino, et dominus corpori: deus autem et dominum suscitavit, et nos suscitabit per virtutem ipsius: an nescitis quoniam membra vestra membra Christi sunt? An igitur membra Christi faciam membra meretricis? Absit: nescitis quoniam qui adhaeret meretrici unum corpus est? Erunt enim, inquit, duo in carnem unam. Qui autem adhaeret domino, unus spiritus est. Fugite fornicationem. Omne peccatum quodcumque peccaverit homo, extra corpus est, qui autem fornicatur, in proprium corpus peccat. An nescitis quod corpora vestra templum sunt eius qui in vobis est spiritus, quem habetis a deo, et non estis vestri? Empti enim estis pretio: glorificate igitur deum in corporibus vestris.*

Cap. LIII. In quo velim illud animadvertas, pro eo quod corpus istud legi dei immortalitatique capiendae idoneum est, si ab omnibus libidinum incitamentis ita purgetur, nullis ut nefariarum illecebrarum stimulis commaculetur, idcirco haec ab apostolo esse dicta. Quid enim aliud est quod ad meretricem adhaerescat, et ad eam accedat, unaque cum illa caro coniunctione membrorum ac communione quadam efficiatur, praeterquam corpus illud externum, cuius ministerio omnia illa commistionis corporum et ardentis libidinis flagitia perpetrantur? Unde et *omne peccatum, quodcumque fecerit homo, extra corpus est, qui autem fornicatur, in proprium corpus peccat.* Etenim arrogantia, infidelitas, ita atque simulatio animae peccata sunt, stuprum vero et inflammatio illa libidinis corporum propria sunt. Quibus cum utique nec evolare anima poterit, neque temperantiae decretis subiici, sed ambo Christi regno excidere necesse est. Praeterea si corpora nostra in sanctimonia conservata *templum sunt habitantis in nobis spiritus,* atque et in corpore dominus residet, et *membra a corporis Christi membra sunt,* omnino divinae legi corpus subditur, ac regnum dei possidere potest. *Qui enim excitavit Christum a mortuis,* Rom. 8, 11. *vivificabit,* inquit, *et mortalia corpora vestra per inhabitantem eius spiritum in vobis: ut mortale hoc induat immortalitatem, et incorruptibile incorruptionem, morsque in victoriam absorbeatur.* 1.Cor.15,53. Non enim de alio corpore hoc loco disputabat apostolus, praeterquam de hoc ipso quod extinguitur ac morte conficitur, per quod scortari licet ac flagitia committere.

Κεφ. νδ'. pag. 560. Ἐὰν δὲ διαφορὰν εἶναι σώματος πρὸς σάρκα ὑποτοπάζωσιν, ἵνα δὴ καὶ ταῦτα αὐτοῖς ἐπιτρέψωμεν λογικεύεσθαι, καὶ σῶμα μὲν ἄλλο νομίζοιεν, οἷον αὐτῆς τῆς ψυχῆς, ὃ μὴ βλέπεται, σάρκα δὲ τοῦτο τὸ ἔξω τὸ βλεπόμενον, λεκτέον, ὡς οὐ μόνον ὁ Παῦλος καὶ οἱ προφῆται σῶμα γινώσκουσι τὴν σάρκα ὀνομάζεσθαι ταύτην, ἀλλὰ καὶ ἄλλοι φιλόσοφοι, παρ' οἷς δὴ μάλιστα καὶ ἡ τῶν ὀνομάτων ἀκρίβεια παρατετήρηται. Σὰρξ γὰρ ὅλως, εἰ βούλοιντο καὶ περὶ τούτων ἐπιστημόνως ἐπισκέψασθαι, πᾶς ὁ ὄγκος οὗτος τοῦ σκηνώματος ἡμῶν κυρίως οὐ λέγεται, ἀλλά τι μέρος τοῦ ὅλου, καθάπερ ἢ ὀστᾶ, ἢ νεῦρα, ἢ φλέβες, σῶμα δὲ τὸ ὅλον. Ὅθεν καὶ ἰατροί, οἳ δὴ καὶ περὶ φύσεως σωμάτων ἀκριβῶς διειλήφασι, σῶμα γινώσκουσι τοῦτο τὸ βλεπόμενον. Ἀλλὰ καὶ ὁ Πλάτων καὶ αὐτὸ τοῦτο σῶμα καὶ αὐτὸς ἐπίσταται. Ἐν γοῦν τῷ [1] Φαίδωνι ὁ Σωκράτης, Ἆρα μὴ ἄλλο τι τὸν θάνατον ἡγούμεθα εἶναι, ἔφη, ἢ τῆς ψυχῆς ἀπὸ τοῦ σώματος ἀπαλλαγήν; καὶ εἶναι τοῦτο τεθνάναι, χωρὶς μὲν ἀπὸ τῆς ψυχῆς ἀπαλλαγὲν αὐτὸ καθ' ἑαυτὸ τὸ σῶμα γεγονέναι, χωρὶς δὲ τὴν ψυχὴν τοῦ σώματος; Ὁ γάρ τοι Μωϋσῆς ὁ μακάριος (ἥκωμεν γὰρ καὶ ἐπὶ τὰς κυριακὰς ἤδη γραφὰς) οὐ σῶμα τοῦτο ὀνομάζεσθαι ἐπίσταται, ὃ λέγομεν, Καὶ πλυνεῖ τὰ ἱμάτια, λέγων, ἐν τοῖς καθαρισμοῖς, ὁ ἐπιψαύσας τοῦ ἀκαθάρτου, καὶ λούσεται [2] τὸ σῶμα αὐτοῦ ὕδατι, καὶ ἀκάθαρτος ἔσται ἕως ἑσπέρας; Τί δὲ καὶ ὁ Ἰώβ; οὐ σῶμα ἐπίσταται καὶ αὐτὸς τοῦτο τὸ νεκρούμενον καλεῖν, Φύρεται δέ μου τὸ σῶμα ἐν σαρπίᾳ σκωλήκων, λέγων; Ἀλλὰ καὶ ὁ Σολομών, ὅτι, Εἰς κακότεχνον ψυχὴν οὐκ εἰςελεύσεται σοφία, οὐδὲ κατοικήσει ἐν καταχρέῳ σώματι ἁμαρτίας. Καὶ ἐν τῷ Δανιὴλ ἐπὶ τῶν μαρτύρων, Οὐκ ἐκυρίευσεν αὐτῶν τὸ πῦρ τοῦ σώματος, λέγεται, καὶ ἡ θρὶξ τῆς κεφαλῆς αὐτῶν οὐκ ἐφλογίσθη. Καὶ ὁ κύριος ἐν τῷ εὐαγγελίῳ, Διὰ τοῦτο λέγω ὑμῖν, μὴ μεριμνᾶτε τί φάγητε, ἢ τί ἐνδύσησθε· οὐχὶ ἡ ψυχὴ πλεῖόν ἐστι τῆς τροφῆς, καὶ τὸ σῶμα τοῦ ἐνδύματος; Καὶ ὁ ἀπόστολος δὲ, Μὴ οὖν βασιλευέτω ἡ ἁμαρτία ἐν τῷ θνητῷ ὑμῶν σώματι, λέγων σῶμα γινώσκειν τοῦτο ὃ περικείμεθα συνίστησι. Καὶ πάλιν, Εἰ δὲ τὸ πνεῦμα τοῦ ἐγείραντος Ἰησοῦν οἰκεῖ ἐν ὑμῖν, ὁ ἐγείρας Χριστὸν ἐκ νεκρῶν ζωοποιήσει καὶ τὰ θνητὰ σώματα ὑμῶν. Καὶ πάλιν, Ἐὰν εἴπῃ ὁ πούς ὅτι, Οὐκ εἰμὶ
pag. 561. χείρ, οὐκ εἰμὶ ἐκ τοῦ σώματος, οὐ παρὰ τοῦτο οὐκ ἔστιν ἐκ τοῦ σώματος. Καὶ πάλιν, Καὶ μὴ ἀσθενήσας Ἀβραὰμ τῇ πίστει, οὐ κατενόησε τὸ ἑαυτοῦ σῶμα [3] νεκρούμενον. Καὶ πάλιν, Τοὺς γὰρ πάντας ἡμᾶς φανερωθῆναι δεῖ ἔμπροσθεν τοῦ βήματος τοῦ Χριστοῦ, ἵνα κομίσηται ἕκαστος τὰ διὰ τοῦ σώματος πρὸς ἃ ἔπραξε. Καὶ πάλιν, Αἱ μὲν ἐπιστολαὶ βαρεῖαι καὶ ἰσχυραί, ἡ δὲ παρουσία τοῦ σώματος ἀσθε-

Cap. LIV. — 1. *Plat. Phaed.* cap. 10. 2. *Correxi* τὸ σῶμα. *Libri enim vulgo* τῷ σώματι.

Quod si interesse nonnihil corpus inter ac carnem suspicentur, Cap. LIV.
ut vel subtilius hoc illos modo ratiocinari sinamus, adeo ut aliud esse corpus censeant, velut ipsius animae proprium, quod usurpari oculis nequeat, carnem autem externum illud esse quod oculis cernitur, sic eos refellere oportebit. Non modo Paulum ac prophetas corporis appellationem huic carni tribuere, sed alios quoque philosophos, a quibus accurata in primis haberi ratio nominum solet. Etenim carnis appellatione, si haec ad exactam scientiae normam exigere velint, non universa proprie huius, ut ita dicam, tabernaculi moles intelligitur, sed quaedam totius pars, quemadmodum ossa, nervi atque venae; corpus autem totum dicitur. Unde et medici, qui de natura corporum accurate disputant, hoc ipsum quod aspectabile est corpus esse sentiunt. Quin ipse Plato istud ipsum corpus esse non ignorat. Sane in Phaedone Socrates, An non idem, ait, esse mortem existimabimus quod animae a corpore discessum, atque hoc demum esse mori, corpus ab anima disiunctum per sese ipsum existere, itidemque animam a corpore separatam? Quid beatus ille Moyses? ut ad divinas quoque literas veniamus, nonne corpus idem intelligit esse, quod nos dicimus, cum ita loquitur: *Et la-* Levit. 14, 8.
vabit vestimenta in purgationibus, *qui tetigerit immundum et lavabit corpus suum aqua, et immundus erit ad vesperam?* Quid de Iobo dicemus? nonne et is id ipsum quod extinguitur morte corpus esse significat? *Versatur*, inquit, *corpus meum in putredine vermium.* Iob. 7, 5.
Praeterea Salomon, *In malevolam*, inquit, *animam non introibit sa-* Sap. 1, 4.
pientia, nec habitabit in corpore obnoxio peccato. Sed et apud Danielem ita de martyribus scriptum est: *Non dominatus est in illorum* Dan. 3, 27.
corpus ignis, et capillus capitis illorum non arsit. Item in evangelio dominus: *Propterea dico vobis, Nolite solliciti esse quid manducabitis,* Matth. 6, 25.
aut quid induemini: nonne anima pluris est quam esca, et corpus quam vestimentum? Nec minus apostolus his verbis, *Ne igitur regnet pec-* Rom. 6, 12.
catum in mortali vestro corpore, corpus se de eo quo circumdati sumus accipere demonstrat; ac rursum: *Quod si spiritus eius, qui sus-* Rom. 8, 11.
citavit Iesum, habitat in vobis; qui suscitavit Christum a mortuis vivificabit et mortalia corpora vestra. Tum alio loco: *Si dixerit pes,* 1. Cor. 12, 15.
Quoniam non sum manus, non sum ex corpore; non ideo non est ex corpore. Item: *Et non infirmatus Abraham fide, non animadvertit* Rom. 4, 19.
corpus suum mortuum. Deinde: *Nam nos omnes manifestari oportet* 2. Cor. 5, 10.
ante tribunal Christi; ut referat unusquisque quae per corpus, secundum quae gessit. Item: *Epistolae quidem graves et fortes; praesentia* 2. Cor. 10, 10.

3. *Fortasse* νενεχρωμένον. *Quam scripturam deprehendo in marg. exempli Schottiani annotatam, quod penes me est.* νεχρώμενον *ed. princ.*

νῆς. Καὶ πάλιν, Οἶδα ἄνθρωπον ἐν Χριστῷ πρὸ ἐτῶν δεκατεσσάρων, εἴτε ἐν σώματι οὐκ οἶδα, εἴτε ἐκτὸς τοῦ σώματος οὐκ οἶδα. Καὶ πάλιν, Οὕτως ὀφείλουσιν οἱ ἄνδρες ἀγαπᾶν τὰς ἑαυτῶν γυναῖκας ὡς τὰ ἑαυτῶν σώματα. Καὶ πάλιν, Αὐτὸς δὲ ὁ Θεὸς τῆς εἰρήνης ἁγιάσαι ὑμᾶς ὁλοτελῶς, καὶ ὁλόκληρον ὑμῶν τὸ πνεῦμα, καὶ ἡ ψυχὴ καὶ τὸ σῶμα ἀμέμπτως ἐν τῇ παρουσίᾳ τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ τηρηθείη. Οἱ δὲ ἀσφαλῶς οὐ νοήσαντες τούτων οὐδὲν ἐν σάλῳ καὶ ταραχῇ φέρεσθαι τὸν ἀπόστολον ὑπέλαβον, ὡς στάσιν αὐτοῦ τὰς διανοήσεις τῶν λόγων καὶ ἕδραν οὐκ ἐχούσας, ἀλλὰ ἀναπλεούσας ἄνω καὶ κάτω, καὶ ὁμιλούσας παλίμφημα, ὁτὲ μὲν τὴν σάρκα ἀνίστασθαι, ὁτὲ δὲ οὐκ ἀνίστασθαι.

Κεφ. νε΄. *Ὅθεν ἵνα μὴ παραλειφθῇ τῶν προταθέντων μηδὲ ἕν, ὅπως τελέως ἐκτέμνωμεν ὕδραν, εἰς τὸ προκείμενον πάλιν ἐπανελεύσομαι. Ἐφεξῆς γὰρ, καθάπερ ὑπεσχόμην, καὶ τὰ ἄλλα* [1] *ἃ προσαποροῦσι* [2] *κεφάλαια θεὶς, καὶ ἃ χρὴ πρὸς αὐτὰ λέγεσθαι ἀποδείξας, ἀκόλουθα παραστήσω* [3] *αὐτὸν καὶ σύμφωνα εἰς τὴν περὶ τῆς ἀναστάσεως τῆς σαρκὸς πίστιν καὶ αὐτὰ εἰρηκότα.* [4] *Ἴδωμεν δὴ οὖν ἃ τὸ πρῶτον εἰς τὸν ἀπόστολον προήχθημεν εἰπεῖν. Τὸ γὰρ, Ἐγὼ δὲ ἔζων* [5] *χωρὶς νόμου ποτὲ, λεχθὲν αὐτῷ ἄνω, τὴν ἐν τῷ Παραδείσῳ,* [6] *καθάπερ ἐξ ἀρχῆς ὑπεθέμεθα, πρὸ τῆς ἐντολῆς, οὐκ ἐκτὸς σώματος,* [7] *ἀλλὰ μετὰ σώματος ἡμῶν ἐν τοῖς πρωτοπλάστοις διαγωγὴν παρεγγυᾷ· ἐπειδὴ πρὸ τοῦ δοθῆναι τὴν ἐντολὴν χοῦν ὁ Θεὸς ἀπὸ τῆς γῆς λαβὼν ἔπλασε τὸν ἄνθρωπον, ἐκτός τε ἐπιθυμίας διήγομεν, οὐ γινώσκοντες ὅλως ἐπιθυμίας ἀλόγου* [8] *προσβολὰς, βιαζομένης ἡμᾶς ἑλκτικαῖς ἡδονῶν περιαγωγαῖς πρὸς ἀκρασίαν. Τὸ γὰρ μὴ ἔχον διορισμὸν καθ'* [9] *ὃν δεῖ πολιτεύεσθαι, μηδὲ ἐξουσίαν αὐτοδέσποτον* [10] *λογισμοῦ* [11] *ποίῳ χρῆσθαι αἱρεῖται πολιτεύματι,* [12] *ἵνα δικαίως ἢ τιμηθῇ ἢ ψεχθῇ, ἀνυπεύθυνον παντὸς* [13] *λεκτέον ὑπάρχειν τοῦτο ἐγκλήματος, ὅτι μὴ δύναται* [14] *τού-*
pag. 582. *των ἐπιθυμῆσαι ὧν μὴ κεκώλυται. Κἂν ἐπιθυμήσει δὲ, οὐκ αἰτιαθήσεται. Τὸ γὰρ ἐπιθυμῆσαι οὐχὶ ἐπὶ τῶν παρόντων καὶ ὑποκειμένων ἐν ἐξουσίᾳ πίπτει, ἀλλ' ἐπὶ τῶν παρόντων μὲν, μὴ ὄντων δὲ ἐν ἐξουσίᾳ. Πῶς γὰρ οὗ μὴ κεκώλυταί τις, μηδὲ ἐνδεής ἐστι, τούτου ἐπιθυμεῖ καὶ ἐρᾷ; Διὰ τοῦτο, Τὴν ἐπιθυμίαν οὐκ ᾔδειν, εἰ μὴ ὁ*

Cap. LV. — 1. ἃ προσαποροῦσι cod. *Venet. Vulgo* προσαποροῦσι, *omisso vocabulo* ἃ.

2. κεφάλαια θεὶς *cod. Venet.* κεφάλαια. αὖθις οὖν *reliqui libri.*

3. αὐτὸν *cod. Venet. Vulgo* αὐτῶν

4. Ἴδωμεν *cod. Venet.* ἴωμεν *vulgata scriptura est. Illud iam Gatakerus Adverss. Misc. p.* 806. *ex Photio (cod.* 234.) *restituit.*

5. λεχθὲν αὐτῷ χωρὶς νόμου ποτὲ ἄνω τὴν *cod. Venet. melius.*

6. καθάπερ *cod. Venet. Vulgo* καθάπαξ.

7. *Verba* ἀλλὰ μετὰ σώματος *desiderantur in cod. Veneto.*

8. προσβολὰς *cod. Venet. Vulgo* προσβολαῖς.

9. ὃ *cod. Venet.*

10. λογίου *habet Photius cod.* 234.

vero corporis imbecilla. Ad haec: *Scio hominem in Christo ante annos quatuordecim, sive in corpore nescio, sive extra corpus nescio.* 2. Cor. 12, 2.
Item: *Sic debent viri diligere uxores suas, tanquam sua corpora.* Eph. 5, 28.
Praeterea: *Ipse autem deus pacis sanctificet vos penitus, et integer vester spiritus, et anima et corpus sine querela in adventu domini nostri Iesu Christi servetur.* 1. Thess. 5, 23. At qui nihil horum accurate intelligunt, fluctuare apostolum ac perturbate ferri iudicarunt, tanquam illius sensus ac verborum sententiae stabilitate firmitateque penitus carerent, eaque pronuntiaret quae subinde retractarentur, vel interdum resurgere carnem, interdum non resurgere.

Quamobrem ne vel minima pars eorum quae proposita sunt Cap. LV. praetermittatur, atque ut hydram ipsam omnino succidamus, ad id quod erat propositum revertar. Deinceps enim, ut ostendimus, et in aliis quibusdam capitibus dubitationem movent. Itaque simul atque demonstravero quaenam adversus illa proponi debeant, palam istud faciam, de resurrectionis carnis fide consentanea illum ac consequentia dixisse. Primum igitur ad illa veniamus quae de apostolo iniecimus. Nam quod ab eo antea dictum est, *Ego vero vivebam* Rom. 7, 9. *sine lege aliquando*, vitam illam ostendit quam in primis nostris parentibus ante praeceptum, ut initio docuimus, in Paradiso duximus, non extra corpus, sed in corpore fuisse transactam. Ante enim quam edictum daretur, limo de terra sumpto hominem effinxit, ac tum ab omni cupiditate liberari vivebamus, cum ratione destitutae cupiditatis, quae nos blandis voluptatum illecebris ad libidinem impellit, ne notitiam quidem haberemus. Nam quod certa ac definita lege caret, ad quam accommodare vitam oporteat, neque libera arbitrii facultate praeditum est, ut ad quod velit se vivendi genus applicet, ex quo proprie honorem vel vituperationem mereatur, extra omnem esse reprehensionem concedi necesse est; quandoquidem ea concupiscere non potest quibus ipsi non fuerit interdictum. Quod si concupiverit, tamen non id ei crimini vertetur. Concupiscere quippe non ad ea refertur quae adsunt, quaeque potestati nostrae subiacent, sed ad ea duntaxat quae ita adsunt, ut in facultate nostra minime sint posita. Quod enim alicui neque est vetitum, neque illo is indiget, quomodo appetere illud ac diligere potest? Quocirca scriptum est: *Concupiscentiam* Rom. 7, 7.

(*pag.* 912. *ed. Rothomag.* 1653.). *Quod placet Gatakero l. l.*

11. ποίῳ δεῖ χρῆσθαι πολιτεύματι *Photius l. l.*

12. ἵνα δικαίως ἢ τιμηθῇ *Photius l. l.* ἵνα δικαιωθῇ ἢ τιμηθῇ *cod. Venet. Vulgo* ἵνα ἰδίως ἢ τιμηθῇ.

13. λεκτέον *cod. Venet.* δεικτέον *cod. Rhedig. et editi libri.* λέλεκται *habet Photius.* δεκτέον *placuit Petavio.*

14. τούτων τις ἐπιθυμῆσαι *Photius.*

νόμος ἔλεγεν, Οὐκ ἐπιθυμήσεις. [15]Ἀκούσαντες γάρ, Ἀπὸ δὲ τοῦ ξύλου τοῦ γινώσκειν καλὸν καὶ πονηρὸν, οὐ φάγεσθε ἀπ' αὐτοῦ, ᾗ δ' ἂν ἡμέρᾳ φάγητε ἀπ' αὐτοῦ, θανάτῳ ἀποθανεῖσθε, τότε τὸ ἐπιθυμῆσαι συνέλαβον καὶ [16] ἐνεκίσσησαν. Οὐ γὰρ ὧν ἔχει καὶ ὧν ἐξουσιάζει καὶ κέχρηται αὐτοῖς, ὁ ἐπιθυμῶν ἐπιθυμεῖ, ἀλλὰ ὧν κεκώλυται, καὶ ἀφῄρηται καὶ οὐκ ἔχει. Διὸ δὴ καλῶς, Τὴν ἐπιθυμίαν οὐκ ᾔδειν, ἐλέχθη, εἰ μὴ ὁ νόμος ἔλεγεν, Οὐκ ἐπιθυμήσεις, ὅ δή ἐστιν, Οὐ φάγεσθε ἀπ' αὐτοῦ. Ἐντεῦθεν γὰρ ἐκτήσατο τόπον καὶ ἀφορμὴν εἰςελθεῖν πρὸς τὸ διαπαῖξαί με καὶ παρατρέψασθαι ἡ ἁμαρτία.

Κεφ. νϛ'. Δοθείσης γὰρ τῆς ἐντολῆς ἔσχε λαβὴν διὰ τῆς ἐντολῆς ὁ διάβολος κατεργάσασθαι ἐν ἐμοὶ τὴν ἐπιθυμίαν, παρορμήσας με καὶ προςκαλεσάμενος ἐντέχνως εἰς ὄρεξιν καταπεσεῖν τῶν κεκωλυμένων. Χωρὶς γὰρ νόμου ἡ ἁμαρτία νεκρὰ, οἷον, Οὐ δοθείσης γὰρ οὐδὲ οὔσης οὐδέπω τῆς ἐντολῆς ἄπρακτος ἦν ἡ ἁμαρτία. Ἐγὼ δὲ ἔζων ἀμέμπτως πρὸ τῆς ἐντολῆς, οὐκ ἔχων διορισμὸν καὶ διαταγὴν καθ' ἣν ἔδει πολιτεύσασθαι, ἧς καὶ ὀλισθήσας ἁμαρτήσομαι. Ἐλθούσης δὲ τῆς ἐντολῆς ἡ ἁμαρτία ἀνέζησεν, ἐγὼ δὲ ἀπέθανον, καὶ εὑρέθη μοι ἡ ἐντολὴ εἰς ζωὴν αὕτη εἰς θάνατον, ὅτι μετὰ τὸ νομοθετῆσαι τὸν θεὸν καὶ διαστείλασθαι, ὃ ποιητέον καὶ μὴ ποιητέον, κατειργάσατο ἐν ἐμοὶ τὴν ἐπιθυμίαν ὁ διάβολος. Ἡ γὰρ παραίνεσις τοῦ θεοῦ καὶ παραγγελία ἡ δοθεῖσά μοι αὕτη εἰς ζωὴν καὶ ἀφθαρσίαν, ἵνα πειθόμενος αὐτῇ καὶ κατ' αὐτὴν βιοὺς ἀπήμονα καὶ μακαριστότατον δι' αἰῶνος καὶ ἀεὶ θάλλοντα πρὸς ἀθανασίαν βίον ἔχω καὶ χαράν· ἀθετήσαντι [1] δὲ καὶ αὐτὴν εἰς θάνατον ἀπέβη καὶ καταδίκην. Ἐπειδὴ ὁ διάβολος, ὃν ἁμαρτίαν νῦν οὗτος ἐκάλεσε, διὰ τὸ δημιουργὸν αὐτὸν ἁμαρτίας ὑπάρχειν καὶ εὑρετὴν, διὰ τῆς ἐντολῆς ἀφορμὴν λαβὼν πρὸς παρακοὴν ἐξηπά-
pag. 583. τησέ με καὶ ἀπατήσας ἀπέκτεινεν, ὑπεύθυνον τῷ, Ἧι δ' ἂν ἡμέρᾳ φάγητε ἀπ' αὐτοῦ, θανάτῳ ἀποθανεῖσθε, κατακρίματι γενέσθαι κατεργασάμενος· ὥστε ὁ μὲν νόμος ἅγιος, καὶ ἡ ἐντολὴ τοῦ θεοῦ δικαία καὶ ἁγία καὶ ἀγαθὴ, ὅτι μὴ [2] ἐπὶ τῷ βλάψαι, ἀλλὰ ἐπὶ τῷ σῶσαι ἐδόθη. Μὴ γὰρ οἰώμεθα ὅλως ἀνωφελές τι ποιεῖν ἢ βλαβερὸν τὸν θεόν. Τί οὖν τὸ ἀγαθὸν ἐμοὶ ἐγένετο θάνατος, ὃ τοῦ μεγίστου ὁμοίως αἴτιον ἐσόμενον ἀγαθοῦ νομοθέτημα ἐδόθη; Μὴ γένοιτο. Ὅτι μὴ ἡ ἐντολὴ τοῦ θεοῦ εἰς τὸ καταδουλωθῆναί με ἐγένετο τῇ φθορᾷ καὶ ἐναπομάξασθαι κῆρας ὀλέθρου [3] αἰτία, ἀλλὰ ὁ διάβολος, ἵνα φανερωθῇ

15. Ἀκούσαντες *reposui ex Photio. Vulgo* Ἀκούσας.
16. ἐνεκίσσησαν *libri omnes.* ἐκίσσησαν *Photius. Petavius edidit* ἐνεκίσσησα. *Quod non capio.*

Cap. LVI. — 1. δὲ καὶ *non habet Photius.*
2. ἐπὶ, *quod volebat iam Petavius, nunc reposui ex Photio. Epiphanii libri vulgo habent* ἐν.

non noveram, nisi lex dixisset, Non concupisces. Cum enim mandatum illud accepissent, *Ex arbore autem scientiae boni et mali non comedetis: quacumque autem die comedetis ex illa, morte moriemini,* tum demum cupiditatem animo concepit. Non enim quae cupidus quisque in potestate habet et obtinet, iisque uti potest, ea concupiscit, sed a quibus prohibetur, quibusque privatur, ut ea non possideat. Praeclare ergo dictum est, *Concupiscentiam non noram, nisi lex dixisset, Non concupisces,* hoc est, *Non comedetis ex illo.* Hinc enim locum occasionemque, ut ad me illudendum atque avertendum accederet, peccatum accepit. Gen. 2, 17.

Etenim mandato semel edito, occasionem inde perficiendae in me concupiscentiae diabolus est nactus, cum me singulari quadam calliditate in eorum quae vetita sunt concupiscentiam hortatu suo compulisset. Nam *absque lege peccatum mortuum est.* Quae lex nisi data foret, ac si nondum existeret, irritum esset otiosumque peccatum. Ego vero ante legem sine reprehensione vivebam, cum nulla mihi esset sanctio ac regula praescripta, ad quam comparari vitam oporteret, a qua si exciderem, peccatum committerem. Simulatque vero mandatum accessit, peccatum revixit, ego mortuus sum. Ita lex illa, quae ad vitam data fuerat, inventa mihi est in mortem: quoniam ubi deus legem imposuit, ac quid agendum aut non agendum esset definiit, concupiscentiam in me diabolus perfecit. Quippe cohortatio illa ac praeceptum mihi a deo constitutum ad vitam immortalitatemque pertinebat, ut si parerem illi, et ex eius praescripto degerem, sine ulla offensione felicissimam et ad aeternitatem florentem vitam ac gaudium in sempiternum consequerer. Sed illud praeceptum violanti mihi in mortem ac damnationem conversum est; quandoquidem diabolus, quem peccati modo nomine insignivit, eo quod peccati sit artifex ac repertor, *per peccatum occasionem nactus* illusit mihi, et illusum interfecit, cum videlicet ei me damnationi fecit obnoxium: *Quacumque die comederitis ex illo, morte moriemini. Itaque lex est sancta, et mandatum dei iustum, et sanctum, et bonum.* Non enim ut obesset, sed ut salutem conciliaret, est praescriptum. Siquidem nemo persuadere sibi debet inutile a deo quicquam, vel cum damno coniunctum fieri. Cur igitur quod bonum est, morti mihi atque exitio fuit, lexque illa constituta mihi est, quae perinde ingens mihi commodum posset afferre? Absit. Nam divinum illud mandatum non eo datum est ut in corruptionem velut servitutem incurrerem, eaeque mihi labes inurerentur quae in extremam perniciem coniicerent, sed ut diabolum per id quod bonum Cap. LVI. Gen. 2, 17. Rom. 7, 12.

3. *Reposui αἰτία ex Photio. Libri vulgo αἰτίας.*

διὰ τοῦ ἀγαθοῦ τὸ κακὸν ἐμοὶ κατασκευάσας, ἵνα γένηται καὶ ἐλεγχθῇ καθ' ὑπερβολὴν ὁ εὑρετὴς καὶ τέκτων τῆς ἁμαρτίας ἁμαρτωλὸς, καὶ διορισθῇ ἀπὸ τοῦ καλοῦ τἀναντία τῆς ἐντολῆς τοῦ θεοῦ ἐπιτροπεύσας. Οἴδαμεν γὰρ ὅτι ὁ νόμος ἐστὶ πνευματικὸς, διὸ καὶ κατ' οὐδὲν αἴτιον βλάβης οὐδενί· πόῤῥω γὰρ ἐπιθυμίας ἀλόγου καὶ ἁμαρτίας ἐσκήνωται τὰ πνευματικά. Ἐγὼ δὲ σάρκινός εἰμι, πεπραμένος ὑπὸ τὴν ἁμαρτίαν, οἷον, Ἐγὼ δὲ σαρκινὸς ὢν καὶ ἐν μέσῳ τοῦ πονηροῦ καὶ ἀγαθοῦ κατασταθεὶς ὡς αὐτεξούσιος, ἵν' ἐπ' ἐμοὶ ἑλέσθαι ὃ βούλομαι ᾖ (Τέθεικα γὰρ, φησὶ, πρὸ προςώπου σου τὴν ζωὴν καὶ τὸν θάνατον), νεύσας πρὸς τὸ παρακοῦσαι μὲν τοῦ πνευματικοῦ νόμου, οἷον τῆς ἐντολῆς, ὑπακοῦσαι δὲ τοῦ ὑλικοῦ, οἷον τοῦ ὄφεως, τὴν συμβουλίαν, πέπραμαι διὰ τὴν τοιαύτην αἵρεσιν, πεσὼν ὑπὸ ἁμαρτίαν, τῷ διαβόλῳ· ὅθεν ἐντεῦθεν πολιορκῆσάν με τὸ κακὸν ἐνιζάνει καὶ ἐμπολιτεύεται, εἰςοικεῖσθαι ἐν τῇ σαρκί μου καθάπερ κηφὴν ἐν κηρίῳ μελίσσης, περιϊπτάμενος πολλάκις περὶ αὐτὸν καὶ βομβῶν, δίκης ἐπιτεθείσης μοι τὴν ἐντολὴν ἀθετήσαντι παραθῆναι τῷ κακῷ. Διὸ καὶ οὐ γινώσκω ὃ κατεργάζομαι, λογιζόμενος ὃ μὴ θέλω. Τὸ γὰρ, Ὃ κατεργάζομαι οὐ γινώσκω, καὶ ποιῶ ὃ μισῶ, λεγόμενον οὐκ ἐπὶ τοῦ τελεσιουργῆσαι τὸ φαῦλον καὶ δρᾶσαι παραληπτέον, ἀλλ' ἐπὶ τοῦ μόνον ἐνθυμηθῆναι, λογισμῶν ἀνοικείων ἡμῖν προςιπταμένων πλεονάκις καὶ ἐμφανταζόντων ἡμᾶς πρὸς ἃ μὴ θέλομεν, τῆς ψυχῆς τοῖς λογισμοῖς περὶ πολλὰ περιαγομένης.

pag. 584.
Κεφ. νζ'. Οὐ γὰρ ἐφ' ἡμῖν ὅλως τὸ ἐνθυμεῖσθαι, ἢ μὴ ἐνθυμεῖσθαι κεῖται τὰ ἄτοπα, ἀλλὰ τὸ χρῆσθαι, ἢ μὴ χρῆσθαι τοῖς ἐνθυμήμασι. Κωλῦσαι μὲν γὰρ μὴ ἐμπίπτειν εἰς ἡμᾶς τοὺς λογισμοὺς οὐ δυνάμεθα, πρὸς δοκιμὴν ἡμῶν ἔξωθεν εἰςπνεομένους· μὴ πεισθῆναι μέν τοι, ἢ μὴ χρῆσθαι αὐτοῖς, δυνάμεθα. Ἐπεὶ πῶς ὁ ἀπόστολος τὸ μὲν κακὸν οὐχ ἥκιστα, ᾧ ἀπηρέσκετο, ἐποίει, τὸ δὲ καλὸν, ᾧ ἠρέσκετο, ἥκιστα, εἰ μὴ περὶ τῶν ὀθνείων ἐνθυμημάτων ἔλεγεν, ἃ ἐνθυμούμεθα ἔσθ' ὅτε καὶ μὴ βουλόμενοι, ἐξ οἵας οὐ γινώσκοντες αἰτίας; ἃ ἀνατρέπεσθαι χρὴ, καὶ ἐπιστομίζεσθαι, ἵνα μὴ [1] εὐρυνόμενα τῶν περάτων κρατήσωσι τῆς ψυχῆς. Ἀμήχανον γὰρ τούτων ἐνευκαιρούντων ἐν ἡμῖν ἐπανατεῖλαι τὸ ἀγαθόν. Ὀρθῶς ἄρα, Ὃ γὰρ κατεργάζομαι οὐ γινώσκω, ἔλεγεν· οὐ γὰρ ὃ θέλω πράσσω, ἀλλ' ὃ μισῶ, τοῦτο ποιῶ. Θέλομεν γὰρ τὰ μὴ προςήκοντα, καὶ ἃ μὴ θέμις [2] μηδ' ἐνθυμεῖσθαι· ἐπειδὴ τοῦτο ἀγαθὸν τέλειον, μὴ μόνον τοῦ ποιῆσαι αὐτὸ ἐγκρατεύεσθαι, ἀλλὰ καὶ τοῦ ἐνθυμηθῆναι. Καὶ ὃ θέλομεν, τοῦτο ἀγαθὸν οὐ γίνεται, ἀλλ' ὃ οὐ θέλομεν, πονηρόν. Ἐπιφοιτῶσι γὰρ περὶ τὴν καρδίαν ἡμῶν καὶ

Cap. LVII. — 1. *Libri vulgo* εὐρυνόμεθα. *Quod vitium correxit ante Petavium Cornarius, vertens* „dilatatae". 2. μηδ' *Petavius. Vulgo* μή.

est malum mihi perspicue molitum esse constaret, atque ut inventor ille peccati et architectus excellenti quadam ratione peccator esset, atque esse deprehenderetur, et a bono seiungeretur is qui divinae legi contraria procurasset. Spiritalem enim legem esse novimus, ideoque nemini esse fraudi ulla in re posse, cum ab experte rationis cupiditate longe spiritalia dissita sint. *Ego vero carnalis sum, ve-* Rom. 7, 14.
numdatus sub peccatum. Quasi diceret, *Ego vero carnalis sum*, atque in mali bonique medio positus, utpote liber, ut quod velim integrum mihi sit eligere (*Posui enim*, inquit, *ante faciem tuam vitam* Deut. 30, 15.
et mortem); cum in id inclinassem, ut et spiritali legi, hoc est mandato, minime parerem, et terrenae ac cum materiae faece concretae, hoc est serpentis monitis, obtemperarem, propter hunc delectum in peccatum prolapsus diabolo sum venditus. Hinc malum velut obsidens mihi adhaerescit, atque in carne mea, tanquam in domo quadam, habitat, quemadmodum fucus circum favos apum volitans ac bombis obstrepens. Mihi itaque violati mandati poena haec imposita est, uti malo quodammodo venderer. Propterea quod facio non intelligo, dum quod nolo cogito. Haec enim verba, *Quod facio non* Rom. 7, 15.
cognosco, et quod odi facio, non sic accipienda sunt, quasi malum perficere penitus ac committere dicatur, sed ad solam cogitationem referri par est, cum plerumque alienae nobis et absurdae cogitationes advolent, et ad ea quae nolumus illudendo nos provocent, quod anima cogitationibus suis per infinita rerum genera distrahatur.

Neque enim in nobis ullo modo situm est abhorrentia cogitare, Cap. LVII.
vel non cogitare, sed uti, vel non uti cogitatis. Nam ne nobis istiusmodi cogitationes obrepant quae probandi nostri caussa extrinsecus immittuntur, prohibere non possumus, non assentiri et oblatis non uti possumus. Alioqui quomodo tandem apostolus malum, quod sibi displicebat, maxime committeret, malum vero quod placebat nequaquam faceret, nisi de peregrinis cogitationibus loqueretur, quas animo quandoque vel inviti incertaque nobis ex caussa tractare solemus? Quas quidem evertere atque inhibere convenit, ne diffusae ac collatatae extremos quosque velut animae fines in potestatem redigant. Neque enim fieri potest ut si illae commode succreverint, bonum in nobis efflorescat. Recte itaque dicebat apostolus, *Quod enim perficio, non cognosco; non enim quod volo facio, sed quod odi hoc facio.* Volumus quippe ea quae minime conveniunt, quaeque illicita sunt, ne cogitare quidem. Illud enim perfectum demum bonum est, quod non modo a perpetrando, sed et cogitando malo temperat. Et *quod bonum volumus*, nequaquam efficitur, *sed quod nolumus malum*. Siquidem animo nostro frequentes incidunt, ac vel in-

ἐπιβαίνουσι, καὶ μὴ βουλομένων ἡμῶν, πολλάκις μύριά τε περὶ μυρίων περιεργίας ἡμᾶς καὶ [3] φιλοπραγμοσύνης ἀλόγου ἐμπιπλάντα. Διὸ τὸ μὲν θέλειν αὐτὰ μηδὲ ἐνθυμεῖσθαι παράκειται, τὸ δὲ κατεργάζεσθαι εἰς τὸ ἀφανίσαι, ἵνα μὴ καὶ αὖθις περὶ τὸν λογισμὸν ἀνέλθωσιν, ὅτι μὴ κεῖται τοῦτο ἐφ' ἡμῖν, ὡς ἔφην, ἀλλὰ τὸ χρήσασθαι μόνον αὐτοῖς πως, ἢ μὴ χρήσασθαι. Ὡς εἶναι τὸν νοῦν τοιοῦτον τοῦ ῥητοῦ· Οὐ γὰρ ὃ θέλω ποιῶ ἀγαθόν· θέλω γὰρ μὴ ἐνθυμεῖσθαι ἃ βλάπτει με, ἐπειδὴ τοῦτο ἀγαθὸν καὶ ἄμωμον, κατὰ τὸ λεγόμενον, Ἄνευ ψόγου τετυγμένον χερσί τε καὶ νόῳ τετράγωνον· καὶ τοῦτο μὲν ὃ θέλω ἀγαθὸν οὐ ποιῶ, ὃ δὲ μὴ θέλω πράσσω κακόν· οὐ θέλω ἐννοεῖσθαι, καὶ ἐννοοῦμαι ὅσα μὴ θέλω. Καὶ [4] ἐπισκέψασθε, εἰ μὴ διὰ ταῦτα αὐτὰ καὶ ὁ Δαβὶδ ἐνετύγχανε τῷ θεῷ, δυσχεραίνων ἐπὶ τῷ λογίζεσθαι καὶ αὐτὸν ἃ μὴ ἤθελεν· Ἀπὸ τῶν κρυφίων μου καθάρισόν με, καὶ ἀπὸ ἀλλοτρίων φεῖσαι τοῦ δούλου σου· ἐὰν μή μου κατακυριεύσωσι, τότε ἄμωμος ἔσομαι, καὶ καθαρισθήσομαι ἀπὸ ἁμαρτίας μεγάλης. Καὶ αὐτὸς δὲ ὁ ἀπόστολος ἐν ἑτέρῳ· Λογισμοὺς καθαιροῦντες, καὶ πᾶν
pag. 565. ὕψωμα ἐπαιρόμενον κατὰ τῆς γνώσεως τοῦ θεοῦ, καὶ αἰχμαλωτίζοντες πᾶν νόημα εἰς τὴν ὑπακοὴν τοῦ Χριστοῦ.

Κεφ. νη΄. Εἰ δέ τις ὁμόσε τῷ λόγῳ ἰέναι τολμῶν ἀποκρίνοιτο, ὡς ἄρα διδάσκει ὁ ἀπόστολος ὡς οὐ μόνον ἐν τῷ λογίζεσθαι τὸ κακὸν ὃ μισοῦμεν καὶ ὃ οὐ θέλομεν, ἀλλὰ καὶ ἐν τῷ ποιεῖν αὐτὸ καὶ κατεργάζεσθαι, διὰ τοῦ, Οὐ γὰρ ὃ θέλω ποιῶ, λελέχθαι, ἀγαθὸν, ἀλλὰ ὃ οὐ θέλω κακὸν, τοῦτο πράσσω, ἀξιώσωμέν που, εἰ ἀληθῆ λέγει ὁ ταῦτα λέγων, διασαφῆσαι τί ἦν τὸ κακὸν ὃ ἐμίσει ὁ ἀπόστολος, καὶ οὐκ ἠβούλετο μὲν ποιεῖν, ἐποίει δὲ, καὶ ἀγαθὸν ὃ ἐβούλετο μὲν ποιεῖν, οὐκ ἐποίει δὲ, ἀλλὰ ἀντιστρόφως ὁσάκις μὲν ἤθελε ποιῆσαι τὸ ἀγαθὸν, τοσαυτάκις οὐ τὸ ἀγαθὸν, ὃ ἤθελεν, ἀλλὰ τὸ πονηρὸν, ὃ μὴ ἤθελεν, ἐποίει. Ἄρα γὰρ οὐ θέλων εἰδωλολατρεῖν, ἀλλὰ θεολατρεῖν, ὃ μὲν ἤθελε, θεολατρεῖν, οὐκ ἠδύνατο, ὃ δὲ μὴ ἤθελεν, εἰδωλολατρεῖν, ἠδύνατο; ἢ σωφρονεῖν μὲν, ὃ ἤθελεν, οὐκ ἐποίει, ἀκολασταίνειν δὲ, ὃ ἤχθετο, ἐποίει; καὶ συλλήβδην κραιπαλᾶν, ἀλλὰ ἀσωτεύεσθαι καὶ θυμοῦσθαι, ἀδικεῖν καὶ τὰ ἄλλα τῆς πονηρίας ἔργα, ἃ μὴ ἤθελεν, ἐποίει μὲν, ἃ δὲ ἤθελε, δικαιοσύνην καὶ ὁσιότητα, οὐκ ἐποίει; Καὶ μὴν αὐτὸς ἐν ταῖς ἐκκλησίαις προτροπάδην ἐξεγείρων πάντας εἰς τὸ μὴ ἀνομεῖν οὐ μόνον τοὺς ποιοῦντας καὶ ἐπιτηδεύοντας τὰ ἄτοπα ὀλέθρῳ τηρεῖσθαι καὶ ὀργῇ παρεγγυᾷ, ἀλλὰ καὶ τοὺς συνευδοκοῦντας αὐτοῖς εἰς αὐτὰς, ἀμιγὲς ἁμαρτίας ἐν ἡμῖν τὸ δίκαιον ἀσκ[illegible] διαμιλλώ-

3. *Vulgo* περὶ φιλοπραγμοσύνης. [4] ἐπι[illegible]

vitos infinitis de rebus infinitae cogitationes invadunt, quae nos curiositate atque a ratione abhorrentium negotiorum multitudine implicant. Quocirca eiusmodi ne cogitare quidem velle potestatis est nostrae, id autem assequi, ut penitus extinguantur, neque nobis amplius occurrant, non est facultatis, uti diximus, nostrae, sed certo modo duntaxat uti, vel non uti; ut haec sit loci illius sententia: *Non enim quod volo facio bonum.* Volo enim minime cogitare quae mihi noceant, quoniam bonum istud est, ac reprehensione caret, ut illud dictum testatur, *Sine vituperatione factum manibusque ac mente quadratum.* Ergo illud quod *volo bonum non facio, sed quod nolo facio malum.* Cogitare enim nolo, et quae nolo tamen cogito. Atque illud videte quaeso, an non eandem ob caussam David deo supplicaret, indigne ferens, quod ea quae minus vellet animo pertractaret. *Ab occultis,* inquit, *meis munda me, et ab alienis parce servo* Ps. 18, 13.
tuo: si mei non fuerint dominati, tunc immaculatus ero, et emundabor a delicto magno. Sed et apostolus alio in loco: *Cogitationes de-* 2.Cor. 10, 5.
struentes et omnem altitudinem, quae extollitur adversus cognitionem dei, et captivantes omnem intellectum in obsequium Christi.

Cap. LVIII.

expansum? Undenam solis ille fulgor accensus est, aut ille ipse cum luna sideribusque conditus? Quanam vero ex priore materia translata terra est, quae est ex nihilo producta? Quonam ex naturae genere montes excisi sunt? Unde totius universi constitutio, quam ex nihilo deus peperit? Aut unde nubes conflatae sunt, quibus repente coelum obducitur? Unde culicum cyniphumque vim dei Exod. 8, 17. imperio servus eius Moyses comparare potuit? Quomodo ligneam Exod. 4, 3. virgam animatum ac prorepentem in colubrum convertit? Qui fieri Exod. 4, 6. potuit ut Moysis manus in nivem commutaretur? Sic igitur et tum deo, mortalium infidelissime, placuit, ac pelliceas, et quidem veras tunicas, sine ullis animalibus, sine humanae artis ac multiplicis operis adminiculo primis nostris parentibus simulatque voluit confecit, non secus atque initio simulac voluit coelum atque universa producta sunt. Ceterum de his nos saepius et aliis in locis et supra disputavimus. Atque his quidem, qui vitae desiderio tenentur, salutis est expedita ratio, et infidelissimi erroris confutatio facilis. Iis vero, qui salutis disciplinam ac magisterium repudiant, ne integrum quidem seculum potest ad disputandum sufficere; cum illorum aures perpetuo, *aspidis instar, obsurdescant: quae aures suas obdurat, ut* Ps. 57, 5. *non exaudiat vocem incantantium, venefici incantantis sapienter,* ut in sacris literis scriptum est. Veritatis porro filiis fructuosissimum hunc sermonem confido fore, tametsi latius illum hoc loco prosequamur.

Venio itaque ad institutam de resurrectione disputationem. Cap. LXVII. Cum enim ignaros deceperis, ac tuam opinionem pro vero dogmate subieceris, itaque dixeris, Nonnulli e rudioribus impios non putant resurrectionis compotes futuros, || et postea iidem rudiores rursus abs te interrogentur, Cuiusnam corporis erit resurrectio? et cum tu haeseris, ne ipse in eorum qui secundum te rudiores appellantur (nam hoc quoque aperte dicendum est) persona bonos appelles eos qui a te rudiores dicuntur, non per te erit responsum neque tuo gratia habenda responso, sed veritati erit, quae te servorum dei quae sint emendationis atque bonitatis insignia dicere cogit. Nam gentile quoque proverbium, Simplex, ait, narratio veritatis. Simplices vero consuevimus innocentes vocare, quibus multis locis a salvatore laus tribuitur, uti, *Estote simplices tanquam columbae*, et, *Patia-* Matth. 10, 16. Matth. 19, 14.

ad verba οὐ μόνον γὰρ τοῦτό ἐστιν *in cod. Rhedig. et Ien. et editis libris lacuna interhiat satis spatiosa, quam nunc demum explere licuit ope codicis Veneti, omnium integerrimi.*

5. ἀνάγκησα φῶς λέγειν *cod. ms.*

6. ὁ ἐκτὸς λόγος. *Cf. haer.* 66, 10., *ubi Marsipus quidam appellatur* „τῶν ἐκτὸς λόγων φιλόσοφος."

7. *Euripidis est Phoeniss.* 472. *Cf. Seneca Epist.* 49.

8. γίνεσθαι *cod. ms.*

γὰρ τοιούτων ἐστὶν ἡ βασιλεία τῶν οὐρανῶν, [9] τουτέστι τῶν ἁπλουστάτων. Ἀπεκρίθησαν δέ σοι οἱ ἁπλούστεροι, ὡς λέγεις, τούτου τοῦ σώματος οὐ περικείμεθα εἶναι τὴν ἀνάστασιν. Ἀνταπορούμενοι δὲ ὑπὸ σοῦ καὶ ἐρωτώμενοι, Ὅλου ἢ μέρους; αὐτοὶ ἀνταποκρίνονται λέγοντες ὅτι, Ὅλου τοῦ σώματος. Σοῦ δὲ κατὰ τὴν μέθοδον τῆς [10] πολλῆς φλυαρίας φάσκοντος μηδὲν τοῦτο δύνασθαι, διὰ τὰ ἐκ τῶν σωμάτων ἐκρεύσαντα αἵματά τε καὶ σάρκας καὶ τρίχας, καὶ τὰ ἄλλα διὰ πτυέλων [11] ἐφημέρων ῥέοντα καὶ μυκτήρων καὶ σκυβάλων, πολλῆς σου τῆς ἰατροσοφιστικῆς κακοπίστου γνώμης [12] μαγγανεία, ὡς καὶ ἤδη διὰ πολλῶν ἐξήλεγξέν σου τὴν μυθοποιΐαν [13] ὁ καλλίων ἡμῶν πρεσβύτης καὶ μακαριστὸς ἀνὴρ, καὶ Μεθόδιος. Ἀλλὰ καὶ ἀφ' ἡμῶν, τῶν σμικρῶν, ὀλίγα ἀκούσει. Πᾶν γὰρ ἀεὶ τὸ ζητούμενον καθαρώτατον ζητεῖται, τὰ δὲ περιττὰ τοῦ καθαροῦ ἀποβαλλόμενα ἀκαταζήτητά ἐστι. Τὸ γὰρ ἱμάτιόν ἐστιν ὅλον ἐξ ὅτε τῆς ὑφῆς ἔσχεν τὴν ἱστουργίαν, καὶ αὐτὸ μὲν ἔστι τὸ ἀπὸ τοῦ ἱστοῦ τεμνόμενον, οὔτε αὐτῷ προστιθέμενον οὔτε ἀφαιρούμενον. Κναφεῖ δὲ διδόμενον [14] οὐχ ἧσσον, ὡς παρὰ τοῦ κναφέως, ἀπαιτηθήσεται, ἀλλὰ παρ' αὐτοῦ τοῦ κναφέως τελειότατόν ἐστι κομιζόμενον, ὡς δῆλον πᾶσι καθέστηκεν, ὡς αὐτὸ μὲν ἔστιν ἐν τελειότητι, οὐδὲν δὲ μεῖον σῶμα γεγένηται πλὴν τῶν ῥύπων καὶ τῆς ἀποβολῆς τῆς ἀκαθαρσίας, καὶ οὐ πάντως που ἐπειδὴ τὸν ῥύπον ἀπέβαλεν, τούτου ἕνεκα μετὰ τοῦ ῥύπου ἀπαιτηθήσεται παρ' ἡμῶν ὁ τεχνίτης, ἀλλὰ αὐτὸ τὸ ἱμάτιον σῶον καὶ ὑγιὲς καὶ καθαρώτατον. Ἕτερον δὲ πάλιν ὑπόδειγμα. Παρὰ σοὶ μὲν γὰρ περὶ τῶν ἐκκρινομένων διὰ φλεβοτομιῶν καὶ νοσημάτων καὶ σκυβάλων καὶ ἐκκρίσεως [15] πτυέλων τε καὶ μυκτήρων τὸ ζήτημα παρηνέχθη· ἀπ' αὐτῶν δὲ ὧν
pag. 597. *ἔφης ἀνατραπήσῃ. || Οὐ μόνον γὰρ τοῦτό ἐστιν ἐν σώματι, ἀλλὰ καὶ κνώδαλα ἐξ ἡμῶν φύεται, ὡς εἰπεῖν, φθεῖρες, καὶ κόνεις, οὔτε ἐκτὸς τοῦ σώματος ὄντα, οὔτε ἀπὸ τοῦ σώματος λογιζόμενα. Καὶ οὐδείς ποτε ἐπεζήτησε κόνιν τὴν ἐκ τοῦ σώματος ἐκκριθεῖσαν εἰς περιποίησιν, ἀλλὰ μᾶλλον εἰς ἀναίρεσιν, οὐδὲ διαφθορὰν τὴν ἐξ αὐτῆς γεγενημένην, οὐδὲ ζημίαν τὴν ταύτης ἀπώλειαν ἡγήσοιτό τις. Τὰ ἀφ' ἡμῶν ῥυέντα, εἰ καὶ οὕτως ὑπάρχει κατὰ τόν σου λόγον, οὐ μωρῶς παρ' ἡμῶν ζητηθήσεται, οὐδὲ θεὸς ταῦτα εἰς ἡμῶν σύστασιν ἀγάγοι, ἀλλὰ δίκην ῥύπου ἐξ αὐτοῦ τοῦ ἱματίου ὑπάρχοντος, ἀπ' αὐτοῦ δὲ δι' εὐκοσμίαν ἀποβληθέντος, [16] ἐν δευτέρῳ καταλείψειεν, ἐκεῖνο δὲ σαφῶς τὸ ἐντελὲς ἱμάτιον μήτε λεῖπον, μήτε περιττὸν τῇ αὐτοῦ ἀγαθότητι τῆς τέχνης ὁ δημιουργὸς ἀγάγοι. Πάντα γὰρ αὐτῷ δυνατεῖ. Εἰ δὲ οὐχ οὕτως ἦν, [17] ὦ τὰς φρένας ἀδικηθεὶς ἐκ τῆς πολυλόγου σου ἐπινοίας,*

9. *Medio vocabulo* τουτέστι *in cod. Veneto incipit fol.* 386. *v.*
10. τῆς ἐκ πολλῆς *habet cod. ms.*
11. ἐξημερῶν *habet cod. ms.*
12. μαγγανία *cod. ms.*
13. *Idem anonymus doctor iam supra cap.* 8. *significabatur, eiusque alibi quoque passim fit mentio.*

mini filios venire ad me, talium enim est regnum coelorum, hoc est simplicissimorum. Responderunt autem tibi rudiores, quos dicis, huius quo circumdamur corporis resuscitationem esse. Tum vero denuo compellati abs te et interrogati, Utrum universi, an partis? illi, Universi corporis respondent. Quod cum tu secundum modulum multifariae tuae nugacitatis fieri posse neges, propter sanguinem qui corpore effluit, propter carnes et crines, propterque alias res quae per sputa quotidiana, per nares et stercora effluunt, ecce grande tuae quae pravam fidem sequitur medicae rationis veneficium, cuius nugas iam supra confutavit ille multo potior nobis senex beatissimus, et Methodius. At etiam a nobis, qui parvi sumus, pauca audies. Quicquid enim quaeritur, purissimum quaeritur, quod autem superest, reiectum a puritate est et non quaerendum. Vestimentum quippe absolutum ex quo texturae opus passum est, ipsumque est illud quod de tela resecatur, neque auctum neque minutum. Quod cum fulloni tradideris, non deterius, ut a fullone, repetetur, sed eiusdem fullonis cura perfectissimum redditur, ut omnibus clarum sit et hoc esse in perfectione et corpus esse nihil imminutum nisi sordibus et spurcitie quas abiecerit, nec futurum esse ullo modo ut iis semel reiectis ideo cum sordibus illud a nobis reposcat artifex, sed ipsum potius vestimentum salvum et sanum et emaculatissimum. Alterum vero rursus exemplum. Apud te enim de eis quae per sanguinis missiones et morbos et stercora, perque sputaminum et mucorum retrimenta excernuntur, quaestio inlata est: at tu iis quae profers ipsis refutaberis. || Non enim unum illud inest in corpore, sed ex nobis etiam bestiae nascuntur, pediculi videlicet ac lendes, quae neque extra corpus sunt neque in corporis ulla parte numerantur. Ac nemo excretam ex corpore suo lendem, ut conservaret, quaesiit, sed ut necaret potius, neque illatam ab ea perniciem adsciscit. Sed neque si perdita illa extinctaque fuerit, id in damno reputabit. Sic quae a nobis fluxerunt, tametsi ita tua fert opinio, a nobis ipsis nequaquam stolide requirentur. Neque illa deus in conflandis nobis componendisque restituet, sed tanquam maculam relinquet, quae ex vestibus exorta nitoris elegantiaeque studio diluitur, illam vero perfectam absolutamque vestem, neque mancam, neque redundantem, pro singulari artis suae peritia artifex reficiet. Omnia quippe in eius sunt potestate posita. Quod nisi ita se res haberet, o hominum insanctissime, atque ex verbosa illa calliditate

14. οὐχ ἧσσον *cod. ms.*

15. *Voce* πτυέλων *in cod. Veneto incipit fol.* 387. *r.*

16. *H. e.* negleget, nihili aestimabit prae ipsa carne. *Male igitur interpretatus est haec verba Petavius.*

17. ὦ *correxerunt Cornarius atque Petavius. Libri habent* ὡς.

εἶχεν ἄρα ὁ σωτὴρ ἡμῶν καὶ κύριος υἱὸς τοῦ θεοῦ, ὁ ἐλθὼν δι' ἀσφάλειαν πᾶσαν τῆς ἡμετέρας ζωῆς ποιήσασθαι τὴν ἡμῶν ἐλπίδα, ἐν ἑαυτῷ τε τὰ πλεῖστα ἀνατυπωσάμενος εἰς τὴν τῆς ἀληθείας πρὸς ἡμᾶς σύστασιν, μέρος αὐτοῦ εἶχεν ἀποθέσθαι, μέρος δὲ ἐξεγεῖραι κατὰ τὴν μυθώδη σου ἀνασκευὴν καὶ πλήθους λογισμῶν ματαίων συλλογήν, ὦ φιλόνεικε. Αὐτὸς γὰρ εὐθὺς διελέγχων σου τὸν τρόπον φάσκει λέγων ὅτι, Ἐὰν μὴ ὁ κόκκος τοῦ σίτου πεσὼν εἰς τὴν γῆν ἀποθάνῃ, μόνος μένει, ἐὰν δὲ πεσὼν ἀποθάνῃ, πολλοὺς κόκκους φέρει. Καὶ τίνα ἄρα ἔλεγε κόκκον; Παντί τῳ σαφές ἐστι καὶ ὡμολόγηται παντὶ τῷ κόσμῳ ὅτι περὶ ἑαυτοῦ ἔλεγε, τουτέστι περὶ τοῦ σώματος τῆς σαρκὸς τῆς ἁγίας, ἧς ἀπὸ Μαρίας εἴληφε, καὶ ὅλης αὐτοῦ τῆς ἐνανθρωπήσεως. Τὸ δὲ πεσεῖν καὶ ἀποθανεῖν, ὡς λέγει, Ὅπου τὸ πτῶμα, ἐκεῖ συναχθήσονται οἱ ἀετοί, περὶ τῆς αὐτοῦ τριημέρου τοῦ σώματος κοιμήσεως ἔλεγεν, ὡς καὶ αὐτὸς ὁμολογήσεις. Ἡ γὰρ θεότης αὐτοῦ ἀκοίμητος, ἄπτωτος, ἀκράτητος, ἄτρεπτος. Ἀπέθανε τοίνυν ὁ κόκκος τοῦ σίτου, καὶ ἀνέστη. Ὅλος οὖν ὁ κόκκος ἀνέστη, ἢ λεῖμμα αὐτοῦ ἀνέστη; ἄλλος κόκ-
pag. 598. κος παρὰ τὸν ὄντα, ἢ αὐτὸς ὁ ὢν εἰς τὸ εἶναι, τὸ διὰ τοῦ Ἰωσὴφ κεκηδευμένον ἐν σινδόνι καὶ ἐν μνήματι καινῷ τεθὲν, ἀνέστη; Πάντως ὅτι οὐκ ἀρνήσῃ. Τίνα τοίνυν εὐηγγελίζοντο ἐγηγέρθαι οἱ ἄγγελοι ταῖς γυναιξίν; ὥς φασι, Τίνα ζητεῖτε; Ἰησοῦν τὸν Ναζωραῖον; ἀνέστη, οὐκ ἔστιν ὧδε· δεῦτε, ἴδετε τὸν τόπον. Ὡςεὶ ἔλεγε, Δεῦτε, ἴδετε τὸν τόπον, καὶ συνετίσατε τὸν Ὠριγένην, ὅτι οὐκ ἔνι λεῖμμα κείμενον ἐνταῦθα, ἀλλὰ ὅλον ἀνέστη. Καὶ ὅπως γνῷς ὅτι ὅλον ἀνέστη, Ἀνέστη, οὐκ ἔστιν ὧδε, ἵνα ἀποκρούσῃ σου τὴν φλυαρίαν, ὅτι λεῖμμα αὐτοῦ οὐκ ἐγκατελείφθη, ἀλλ' αὐτὸ τὸ ἡλωθὲν, αὐτὸ τὸ νυχθὲν τῇ λόγχῃ, αὐτὸ τὸ κρατηθὲν ὑπὸ τῶν Φαρισαίων, αὐτὸ τὸ ἐμπτυσθέν.

Κεφ. ξη'. Καὶ τί μοι τὰ πλήθη λέγειν πρὸς ἔλεγχον τούτου τοῦ ἐλεεινοῦ καὶ πολυκόμπου τῆς ἐν αὐτῷ γενηθείσης φλυαρίας; Ἄρα οὖν ὡς ἀνέστη καὶ ἑαυτοῦ τὸ σῶμα ἔγειρεν, οὕτως καὶ ἡμᾶς ἐγερεῖ. Ἀπὸ τούτου γὰρ ἔδειξεν ὁ ἅγιος ἀπόστολος τὴν ἡμῶν ἐλπίδα, φήσας ὅτι, Πῶς λέγουσί τινες ἐν ὑμῖν ὅτι ἀνάστασις νεκρῶν οὐκ ἔστιν; εἰ δὲ ἀνάστασις νεκρῶν οὐκ ἔστι, οὐδὲ Χριστὸς ἐγήγερται, εἰ δὲ Χριστὸς οὐκ ἐγήγερται, κενὸν ἄρα τὸ κήρυγμα ἡμῶν, ματαία καὶ ἡ πίστις ἡμῶν, εὑρισκόμεθα δὲ καὶ ψευδομάρτυρες τοῦ θεοῦ, ὅτι εἴπομεν, Ἤγειρε τὸν Χριστὸν, καὶ τὰ ἑξῆς. Καὶ ὕστερον ἐπιφέρει, λέγων, Δεῖ τὸ φθαρτὸν τοῦτο

in amentiam converse, poterat utique redemptor noster ac dominus deique filius, qui idcirco venerat ut vitae nobis spem certissimam faceret, quique, ut dictorum suorum fidem nobis adstrueret, pleraque in se ipso voluit exprimere, poterat, inquam, corporis sui parte deposita aliam excitare partem, quemadmodum verbosa illa tua rectae fidei confutatio atque ineptissimarum rationum, o contentionis cupide, multitudo declarat. Verum ipse tuum e vestigio modum ac rationem redarguens ita pronuntiat: *Nisi granum frumenti cadens in terram mortuum fuerit, solum manet: si autem ceciderit, mortuumque fuerit, grana multa parit.* Quodnam illud èrat granum de quo loquebatur? Nemo est qui dubitet, idque mundi totius confessione constat, de se ipso dominum locutum, hoc est de corpore suo sanctissimaque illa carne quam ex Maria ceperat, ac de humana omni natura. Quod autem cadendi ac moriendi vocabulis utitur, ut et alio in loco dicit, *Ubi erit cadaver, illic congregabuntur et aquilae,* ad triduanum corporis soporem retulit, quod ne ipse quidem diffiteri potes. Nam divinitas ipsa cum somni est expers, tum cadere superarique non potest, nec est omnino mutabilis. Mortuum est itaque frumenti granum, atque iterum excitatum. Utrumnam igitur integrum granum excitatum est, an illius pars est aliqua derelicta? Aliudne porro quam quod antea erat, an idem penitus esse ac reviviscere coepit, quod et ab *Iosepho sindone obvolutum ac sepultum et in novo monumento positum* surrexit? Tute ipse non negaveris. Quemnam autem mulieribus angeli resurrexisse nuntibant, cum ita dicerent, *Quem quaeritis? Iesum Nazarenum? Surrexit, non est hic, venite, videte locum.* Perinde ac si diceret, *Venite, videte locum,* et Origenem docete, nullas istic illius iacere reliquias, sed integrum surrexisse. Atque ut intelligas resurrexisse totum, *Surrexit,* inquit, *non est hic;* ut nimirum nugas tuas discuteret demonstraretque residuum illius nullum abiectum ac relictum fuisse, sed idem esse plane corpus, quod et clavis confixum et lancea perforatum et a Pharisaeis comprehensum est ac sputis adspersum.

Ioann. 12, 24. Matth. 24, 28. Matth. 27, 59. Marc. 16, 6. Matth. 28, 5.

Cap. LXVIII.

Quid autem attinet plura ad infelicem illius et insolentem loquacitatem congerere? Quocirca non secus atque ille resurrexit suumque corpus excitavit, ita et nos excitabit. Nam ex eo sanctissimus apostolus spem nostram confirmavit his verbis: *Quomodo dicunt quidem in vobis mortuorum resurrectionem non esse? Quod si mortuorum resurrectio non est, neque Christus resurrexit, si autem Christus non resurrexit, inanis ergo est praedicatio nostra, vana est et fides vestra: invenimur autem et falsi testes dei, quoniam diximus, Suscitavit Christum etc.* Deinde subiecit, *Oportet corruptibile hoc* 1. Cor. 15, 12.

ἐνδύσασθαι ἀφθαρσίαν· καὶ οὐκ εἶπε τὸ θνητὸν μόνον, οὐδὲ τὸ φθαρτὸν μόνον, οὐδὲ τὴν ἀθάνατον ψυχὴν, ἀλλὰ, Τὸ φθαρτὸν τοῦτο, μετὰ προςθήκης τῆς Τοῦτο, καὶ, Τὸ θνητὸν τοῦτο, μετὰ προςθήκης τῆς Τοῦτο. Αὐτὸς οὖν [1] ὅλος ὁ κόκκος αὐτοῦ ἀνέστη· καὶ οὐ μέρος ἀνέστη, ἀλλὰ [2] ὅλος ἀνέστη· καὶ οὐκ ἄλλος κόκκος παρὰ τὸν ὄντα ἀνέστη, ἀλλ' αὐτὸς ὁ πεσὼν ἐν τῷ μνήματι [3] ὅλος ἀνέστη. Καὶ ποῦ ἰσχύει σου ἡ κενοφωνία; Δύο γὰρ κόκκους οἶδεν ἡ θεία γραφὴ εἰρημένους, ἕνα ἐν τῷ εὐαγγελίῳ, καὶ ἕνα παρὰ τῷ ἀποστόλῳ. Καὶ ὁ μὲν εἰς τὴν πᾶσαν σαφήνειαν δηλοῖ κατὰ τὰ τελείως ἐν αὐτῷ ἐνεργηθέντα· ὅπερ ἐστὶ πρωτότυπον τῆς ἀναστάσεως. Τοῦτο γὰρ καὶ διδάσκων καὶ ποιῶν ὁ σωτὴρ τὰ πάντα ἡμῖν εἰς παράστασιν βεβαίως εἰργάσατο εὐθύς. Ἔλεγε γὰρ περὶ τοῦ κόκκου καὶ τοῦ [4] ἐγεῖραι τὸν κόκ-
pag. 599. κον, ἵνα ἡμῖν τὴν πίστιν τῆς ἐλπίδος βεβαιώσῃ τῆς ἡμῶν ἀναστάσεως ἐν ἀληθείᾳ. Ἀπὸ τούτου διαδεξάμενος ὁ ἀπόστολος, πνεύματι ἁγίῳ φερόμενος, τὴν μετὰ τὴν ἀνάστασιν ἐσομένην δόξαν τῶν ἁγίων διηγούμενος ἡμῖν, καὶ τὴν τῆς ἀπολαύσεως τῶν ἀγαθῶν, δείκνυσι πάλιν διὰ τοῦ κόκκου τοῦ σίτου, κατὰ τῶν ἀπίστων ἐπικηρυκευσάμενος. Ἀλλὰ ἐρεῖς μοι, Πῶς ἐγείρονται οἱ νεκροί; ποίῳ δὲ σώματι ἔρχονται; Καί φησι πρὸς τὸν τὰ τοιαῦτα λέγοντα, Ἄφρον. Ὁ γὰρ ὅλως περὶ ἀναστάσεως ἀμφιβάλλων ἄφρων ἐστὶ καὶ ἀσύνετος. Εἶτά φησιν, Ἄφρον, σὺ ὃ σπείρεις οὐ ζωογονεῖται, ἐὰν μὴ ἀποθάνῃ· καὶ ὃ σπείρεις, οὐ τὸ γενησόμενον σῶμα σπείρεις, ἀλλὰ γυμνὸν κόκκον εἰ τύχοι σίτου, ἢ τῶν ἄλλων σπερμάτων· καὶ οὐ ζωογονεῖται, ἐὰν μὴ ἀποθάνῃ· ὁ δὲ θεὸς δίδωσιν αὐτῷ σῶμα ὡς ἠθέλησε, καὶ ἑκάστῳ τῶν σπερμάτων ἴδιον σῶμα. Καὶ ὁρᾷς ὅτι οὐκ ἀλλάσσεται τὸ σῶμα. Οὐδεὶς γὰρ σπείρας κριθὰς ζητεῖ σῖτον. Οὐδὲ μελάνθιον ἔσπειρε, καὶ εὗρε κριθὴν, ἀλλὰ τὸ σπειρόμενον αὐτό ἐστι τὸ ἐγειρόμενον. Ἐὰν δὲ καὶ καταλειφθῇ ἐξ αὐτοῦ κάτω ἐν τῇ γῇ, καὶ ἀναστῇ ἐξ αὐτοῦ τὸ βλάστημα, ὧδε μὲν ἐν τούτῳ τῷ φθαρτῷ σίτῳ καὶ μὴ εἰς κρίσιν ἐρχομένῳ τὸ μὲν καταλειφθὲν ἄχρηστον, τὸ δὲ ἐξ αὐτοῦ ἐγειρόμενον κάλλιον. Ἠθέλησε δὲ δεῖξαι τὴν φαιδρότητα, διὰ τὴν ἀπιστίαν τῶν μὴ τὴν ἐλπίδα τοῦ θεοῦ καραδοκούντων. Τἀληθῆ μὲν γὰρ ὁ κόκκος τοῦ σίτου λεπτότατος. Ποῦ δὲ ἐν τῷ τοιούτῳ κόκκῳ τῷ σμικροτάτῳ καὶ ῥίζαι, καὶ βάσεις, καὶ καλάμη, καὶ αἱ γονατίδες, καὶ αἱ τοσαῦται σύριγγες, καὶ κεφαλίδες, καὶ θῆκαι, καὶ ἀνθέρικες, καὶ κόκκοι πολυπλασιάζοντες;

Κεφ. ξθ'. Ἵνα δὲ καὶ σαφέστερον εἴπωμεν τὰ ὅμοια τούτοις διηγούμενοι, πόθεν τῷ Μωϋσεῖ υἱῷ τῆς Ἰωχαβὲθ, υἱῷ τοῦ Ἀμρὰμ, τὸ νύξαι πέ-

Cap. LXVIII. — 1. ὁ λόγος pro ὅλος habet edit. princ. 2. ὁ λόγος edit. princ. 3. ὁ λόγος edit. princ.

induere incorruptionem, et mortale hoc induere immortalitatem. Non dixit mortale solum, neque corruptibile solum, nec immortalem denique animam, sed *corruptibile hoc et mortale,* addito utrobique pronomine *hoc.* Quamobrem granum ipsius, et quidem integrum, non eius tantummodo pars, sed integrum, uti diximus, surrexit, nec aliud quam quod erat antea granum, sed illud ipsum quod in monumentum ceciderat, totum integrumque surrexit. Quid igitur virium habet absurda illa tua sententia? Duo siquidem grana, quae paulo ante retulimus, scriptura commemorat; quorum alterius in evangelio, alterius apud apostolum fit mentio. Primum illud ad rem declarandam efficacissimum est, secundum ea quae perfecte in eo gesta sunt; quod est velut resurrectionis exemplar. Etenim docens istud salvator, et faciens, subinde confirmandis nobis omnia constanter praestitit. Nam de grano deque eodem excitando idcirco disseruit, ut spei nostrae quam de vera resurrectione concepimus fidem assereret. Huic successit apostolus, qui divini spiritus afflatu, sanctorum gloriam, quae post resurrectionem futura est, ac bonorum fructum voluptatemque declarans, eadem grani tritici similitudine demonstrat tale adversus infideles praeconium instituens. *At* Ibid. 35.
dices mihi, Quomodo resurgunt mortui? quonam vero corpore veniunt? Ad haec ita respondit: *Stulte.* Stultus enim est et imprudens, qui omnino de resurrectione dubitat. Ergo ita subiicit, *Stulte, tu quod seminas non vivificatur nisi mortuum fuerit: et quod seminas, non futurum corpus seminas, sed nudum granum, exempli caussa tritici, aut aliorum seminum, et non vivificatur nisi mortuum fuerit: deus autem dat illi corpus sicut voluit, et unicuique semini proprium corpus.* Animadvertis, opinor, non commutari corpus. Nemo enim qui hordeum severit, triticum requirit, neque nigella Romana consita hordeum reperit, sed id ipsum excitatur quod satum est. Ac dummodo aliquid ex ipso relictum in terra fuerit atque ex eo germen effloruerit, sic in corruptibili hoc tritico, quod nulli iudicio obnoxium est, inutile est quod relinquitur, quod excitatur vero praestantius. Illum porro splendorem ac claritatem propter eorum infidelitatem declarare voluit qui nihil a deo quod speretur expectant. Nam revera tenuissimum est tritici granum. In qua quidem tam exigua mole ubinam radices et quasi fundamenta sunt? tum deinde culmus, genicula, tot fistulae, capitella, folliculi, aristae granaque multiplicata?

Clarius quid velim eloquar, atque his similia percurram. Undenam Moysi Iochabethae et Amrami filio illa virtus, ut virga sili- Cap. LXIX. Num. 20, 11.

4. *Libri vulgo* ἤγειρε.

τραν ἐν ῥάβδῳ καὶ προσενεγκεῖν ὕδωρ ἐξ ἀπόρου ὕλης; τὸ ξηρὸν εἰς ὑγρὸν [1] μεταβαλεῖν; τὸ πατάξαι θάλασσαν καὶ διαιρεῖν εἰς δώδεκα ὁδοὺς ὁδοιπορίας ἐν θαλάσσῃ τῷ κελεύσματι; τὸ ποταμὸν εἰς αἷμα μεταβαλεῖν; τὸ βάτραχον ὑπὸ θίξιν συναγαγεῖν τοσοῦτον; τὸ τὴν σκνίφα ἐπιπέμψαι Αἰγυπτίοις; τὸ χάλαζαν μῖξαι μετὰ τοῦ πυρός; τὸ νύκτα μέλαιναν καὶ ἐσκοτισμένην Αἰγυπτίοις ἐπικεράσαι ζοφώδη; τὸ πρωτότοκα κτεῖναι τῶν Αἰγυπτίων ἐν θανάτῳ; τὸ στύλῳ πυρὸς καθοδηγεῖν. λαὸν δι' αὐτοῦ ποιμαινόμενον; τὸ ἄρτον ἀγγέλων ἐπενέγκαι εὐχῇ καὶ
pag. 600. ἱκεσίᾳ; τὸ ὀρτυγομήτραν ἀνιέναι, καὶ κορεννύειν τοσαύτας μυριάδας ἀνδρῶν διὰ προςτάγματος θεοῦ; τὸ ἀκοῦσαι φωνὴν θεοῦ; τὸ καταξιωθῆναι ἀνὰ μέσον τοσούτων τῶν μυριάδων θεοῦ φωνῆς ἀκούειν καὶ συνομιλεῖν θεῷ; τὸ διὰ τεσσαράκοντα ἡμερῶν καὶ διὰ τεσσαράκοντα νυκτῶν μὴ ἐπιζητῆσαι τὰ χρειώδη τῶν κατὰ τὴν φύσιν τῆς ἡμετέρας πλάσεως; τὸ μεταβληθῆναι τὴν σάρκα εἰς φαιδρότητα ἡλίου καὶ ἀκτῖνα φωτεινὴν, στροβοῦσαν λαὸν πρὸς τὸ μὴ δύνασθαι ἀτενίσαι τοὺς υἱοὺς Ἰσραὴλ εἰς τὸ πρόςωπον αὐτοῦ; τὸ τὴν χεῖρα σαρκίνην οὖσαν μεταβληθῆναι εἰς χιόνα; τὸ κελεῦσαι τῇ γῇ χᾶναι τὸ στόμα πρὸς ὑποδοχὴν [2] τῶν περὶ Κορὲ καὶ Δαθᾶν καὶ Ἀβειρὼν καὶ Αὐνᾶν; τὸ τέλος ἀκοῦσαι, Ἀνάβηθι εἰς τὸ ὄρος, κἀκεῖ τελεύτα; τὸ μὴ γινώσκειν ἄνθρωπον τὴν αὐτοῦ ταφήν; σημαίνοντος τοῦ θείου γράμματος, ὡς ὑπὸ ἀνθρώπων τὸ σῶμα Μωϋσέως μὴ κεκηδεῦσθαι, ἀλλὰ, καθὼς ὑποτίθεται ἡ διάνοια, ὑπὸ ἁγίων ἀγγέλων, καὶ ταῦτα πάντα ἔτι ὄντος αὐτοῦ ἐν τῷ κόσμῳ τούτῳ, ἔτι ἐν τῷ ψυχικῷ τούτῳ καὶ πνευματικῷ ἅμα τελείως γενομένῳ, [3] λαβόντες δὲ ἀπεντεῦθεν τὸν ἀρραβῶνα εἰς ὑπόδειγμα τῆς τελείας τότε βλαστήσεως, ὅτε πληροῦται τὸ εἰρημένον, Σπείρεται ἐν ἀτιμίᾳ, ἐγείρεται ἐν δόξῃ, σπείρεται ἐν ἀσθενείᾳ, ἐγείρεται ἐν δυνάμει. Πῶς γὰρ οὐκ ἀσθενὲς τὸ σπειρόμενον, καὶ μὴ γινώσκον ποῦ σπείρεται; πῶς οὐκ ἄτιμον τὸ ἐν μνήματι βαλλόμενον καὶ κόνιν ἐπαμώμενον, λακιζόμενόν τε καὶ ῥιπτούμενον, καὶ ἀναισθητοῦν; πῶς οὐκ ἔντιμον τὸ ἐγειρόμενον, καὶ εἰς αἰῶνα διαμένον, καὶ ἐν ἐλπίδι τῆς τοῦ θεοῦ φιλανθρωπίας οὐρανῶν βασιλείαν κτώμενον, ὅπου λάμψωσι δίκαιοι ὡς ὁ ἥλιος, ὅπου ἔσονται ἰσάγγελοι, ὅπου μετὰ τοῦ νυμφίου χορεύσουσιν, ὅπου οἱ περὶ Πέτρον καθέζονται ἐπὶ δώδεκα θρόνους, τὰς δώδεκα φυλὰς κρίνοντες τοῦ Ἰσραὴλ, ὅπου λήψονται οἱ δίκαιοι ἃ ὀφθαλμὸς οὐκ εἶδε καὶ οὖς οὐκ ἤκουσε καὶ ἐπὶ καρδίαν ἀνθρώπου οὐκ ἀνέβη, ἃ ἡτοίμασεν ὁ θεὸς τοῖς ἀγαπῶσιν αὐτόν; Ἡμῶν τοίνυν ἡ ἀνάστασις ἐν θεῷ, καὶ παντὸς ἀνθρώπου δικαίου τε καὶ ἀδίκου, ἀπίστου τε καὶ

Cap. LXIX. — 1. *Forlasse* μεταβαλών.
2. *Libri vulgo* τοὺς περὶ.
3. *An fortasse* λαβόντος?

cem perforaret, minimeque idonea ex materia laticem aquae proferret? quod siccum erat in humorem converteret? percussum mare Exod. 14.
duodecim in vias atque itinera maritima solo imperio divideret? flu- Exod. 7.
vium in sanguinem mutaret? ranarum tantam repente copiam in unum Exod. 8.
cogeret? culices Aegyptiis immitteret? misceret igni grandinem? nigerrimam noctem ac densissimis tenebris obductam iisdem illis Aegy- Exod. 9. et 10. et 12. et 13.
ptiis offunderet? primos Aegyptiorum partus interficeret? igneae columnae beneficio populo, quem pastoris instar regebat, iter praeiret? angelorum panem oratione ac precibus eliceret? coturnices largis- Exod. 16 et Ps. 77, 25.
sime suppeditaret, ac tot hominum millia deo iubente satiaret? eiusdem dei vocem exaudiret? dignus inquam haberetur ex tam infinita Exod. 14, 18.
hominum multitudine, qui et dei vocem audiret, et illius colloquio frueretur? quadraginta dies totidemque noctes nullam earum rerum desideraret, quibus naturae necessitate ad vitam sustentandam alimur? illius deinde caro solis in splendorem ac radiantem fulgorem verteretur, qui ita populi oculos perstringeret ut illius faciem fixis oculis contemplari Israelis posteri nequirent? ut illius manus in ni- Exod. 4, 7.
vem mutaretur ex carne? ut ad Core, Dathan, Abiron, et Annan Num. 16.
hauriendos dehiscere terram iuberet? ut illud audiret denique: *Ascende in montem, et illic morere?* ut illius sepulturam hominum Deut. 32, 49.
nemo cognosceret? Quandoquidem sacrae istud literae significant, non esse ab hominibus Moysis corpus sepultum, sed ab angelis videlicet, quod verba ipsa tacite intelligentiae nostrae subiiciunt. Atque haec omnia tum gesta sunt, cum adhuc in hoc mundo versaretur, gesta autem in eo quod animale erat ac spiritale perfecte simul est factum. Sed nos velut quoddam illinc pignus accipimus, ad illius perfectae pullulationis exemplum, quae tum accidet, cum dictum illud implebitur: *Seminatur in ignobilitate, resurget in gloria: semi-* 1. Cor. 15, 43.
natur in infirmitate, resurget in virtute. Etenim nonne infirmum est quod ita seminatur, ut ubi seminetur ignoret? Ignobilitate vero nonne plenum illud est quod in sepulchrum abiectum obruitur aggestu pulveris, ac laceratur, proiicitur omnique sensu destituitur? Contra vero nonne gloriosum id est, quod ad vitam excitatur, et in sempiternum permanet, ac cum divinae benignitatis spe ac fiducia coeleste regnum possidet? *Ubi fulgebunt iusti sicut sol?* Ubi *an-* Matth. 13, 43.
gelis erunt aequales? Ubi cum sponso choreas agent? ubi cum Pe- Matth. 22, 30.
tro apostoli *duodecim in thronis consident, totidemque Israelitarum tri-* Matth. 19, 28.
bus iudicant? Ubi ea iusti percipient, *quae nec oculus vidit, nec au-* 1. Cor. 2, 9.
ris audivit, nec in cor hominis ascenderunt, quae praeparavit deus diligentibus se? Nostra igitur resurrectio dei est ope ac virtute futura, generisque hominum omnis, tam iustorum videlicet quam in-

πιστοῦ, τῶν μὲν ἐγειρομένων εἰς ζωὴν αἰώνιον, τῶν δὲ εἰς κρίσιν αἰώνιον.

Κεφ. ό. pag. 601. Καὶ σιώπα Βαβυλὼν, ἡ ἀρχαία πάλιν ἡμῖν ἀνακαινιζομένη σύγχυσις. Πεφίμωσο Σόδομα, καὶ ἡ τῆς πολλῆς σου δεινότητος πρὸς θεὸν κραυγὴ ἀνερχομένη· Ἥξει γὰρ ἐκ Σιὼν ὁ ῥυόμενος ἀποστρέψαι ἀσεβείας ἀπὸ Ἰακὼβ, καὶ σαλπίσει, καὶ οἱ νεκροὶ ἀναστήσονται, καὶ ἡμεῖς ἁρπαγησόμεθα εἰς συνάντησιν αὐτῷ εἰς ἀέρα. Ὡς καὶ ὁ καλλίων μακαρίτης Μεθόδιος εἶπε· τοῖς δὲ αὐτοῖς καὶ αὐτοὶ οἰκοδομοῦντες προςεθήκαμεν. Ἀπὸ γὰρ τῶν συνεζευγμένων ἑκάστης λέξεως ἔστιν ἰδεῖν τὰ [1] ἐπίχειρα. Διαιρῶν γὰρ ὁ ἅγιος ἀπόστολος τῶν δύο τρόπων τὸ εἶδος εἰς μίαν ἐλπίδα συνήγαγεν, ἀπὸ τοῦ, Ἡμεῖς ἁρπαγησόμεθα ἐν νεφέλαις εἰς συνάντησιν αὐτοῦ, ἵνα δείξῃ ὄντως τοῦτο τὸ σῶμα, καὶ οὐχ ἕτερον παρὰ τοῦτο (ὁ γὰρ ἁρπαγεὶς οὔπω τέθνηκε), δεικνὺς δὲ ὅτι οὐ φθάσομεν τὴν τῶν νεκρῶν ἀνάστασιν, ἵνα τὸ παρὰ ἀνθρώποις ἄπορον θεῷ εὐπόριστον καὶ δυνατὸν ἀποδείξῃ. Ἡμεῖς γὰρ οἱ ζῶντες οὐ μὴ φθάσωμεν τοὺς κεκοιμημένους, καὶ τὴν αὐτῶν ἀνάστασιν· ἔδειξε τοὺς ζῶντας καὶ ἁρπαζομένους, ἵνα ἀπὸ τῶν ζώντων δείξῃ τὰ ἐκείνων σώματα ὁλοσχερῆ ἐγειρόμενα, καὶ ἀπὸ τοῦ ἐκείνους πρωτεύειν τῶν περιλειπομένων ζώντων τὸ δυνατὸν τοῦ θεοῦ ἀποδείξῃ. Καὶ ὁρᾶτε οἱ τῆς ἑαυτῶν ζωῆς ἐπιμελόμενοι, ὅτι πάντες οἱ κατὰ τῆς ἀληθείας ἐνεχθέντες ἑαυτοῖς τὴν ἀδικίαν προςεπορίσαντο. Ὡς καὶ ὁ ἅγιος προφήτης Δαβὶδ λέγει, Συνέλαβε πόνον, καὶ ἔτεκεν ἀνομίαν. Πᾶς γὰρ ὁ ἑαυτῷ συνάγων τὸν πόνον τῶν ἀλλοτρίων διανοημάτων ἑαυτῷ τίκτει τὴν ἀδικίαν καὶ τοῖς πειθομένοις. Λάκκον ὤρυξε, καὶ ἀνέσκαψεν αὐτὸν, καὶ ἐμπεσεῖται εἰς βόθρον ὃν εἰργάσατο. Ἀλλὰ πρὸς ταῦτα πάντα εἴ τις ἔχει ἀντιλέγειν, ἡκέτω ἐπὶ τῷ θεῷ, ἀντιπράττων [2] καμέτω. Θεὸς γὰρ ἰσχυρὸς οὐ κοπιάσει, οὐδὲ διψήσει, οὐδὲ ἔστιν ἐξεύρεσις τῆς φρονήσεως αὐτοῦ. Ἐν ᾗ τὰ λελυμένα σώματα ἐγείρει, ἐν ᾗ τὸ ἀπολλύμενον σώζει, ἐν ᾗ τὸ τεθνηκὸς ζωογονεῖ, ἐν ᾗ τὸ φθαρτὸν ἀφθαρσίαν ἀμφιέννυσιν, ἐν ᾗ τὸν κόκκον τὸν πεσόντα εἰς ἀνάστασιν φέρει, ἐν ᾗ τὸν σπαρέντα καὶ ἀποθανόντα εἰς περισσοτέραν φαιδρότητα ἄγει ἀνακαινίζων· ὡς ἐν πολλαῖς γραφαῖς ἐμφέρεται, αἰνιττομένης τῆς ἡμῶν ἀναστάσεως.

Κεφ. οα΄. pag. 601. Ἐν μὲν τῷ Δαβὶδ περὶ τοῦ ἐγκαινισμοῦ τοῦ οἴκου Δαβὶδ ψαλμὸς, ὡς καραδοκῶν ὁ προφήτης καὶ πνεύματι ἁγίῳ σκοπῶν τὸ μέλλον εὐλόγως περὶ ἀναστάσεως ἔφη, Ὑψώσω σε, κύριε, ὅτι ὑπέλαβές με,

Cap. LXX. — 1. „Vox τὰ ἐπίχειρα non satis huic sententiae convenit. Fort. ἐπίχαιρα". *Petavius. Retinendum esse* τὰ ἐπίχειρα *persuadet alter locus haer.* 66, 45., *ubi* ἐπίχειρα *item fere significat* πρόχειρα, *vel* προὖπτα, *h. e.* aperta, prompta.

iustorum, infidelium perinde ac fidelium, quorum *ad vitam alii, ad aeternum alii iudicium resurgunt.* Matth. 25. 46.

Sile igitur Babylon, vetus illa nobis instaurata confusio: tacete, inquam, Sodoma, horribiliumque vestrorum scelerum clamor ad deum usque provectus. *Veniet enim ex Sion liberator qui ab Iacob impietates avertat*, atque is *tuba personabit, et resurgent mortui, et nos rapiemur in occursum illius in aëra.* Id quod longe quam ego praeclarius beatus Methodius pertractavit, et nos iis quae ab eo disputata sunt istud adstruximus. Enimvero ex his quae coniuncta sunt uniuscuiusque dictionis sensum licet intelligere. Atque apostolus duplicis modi speciem distinguens in unam spem contulit, ab iis verbis: *Nos rapiemur in nubibus in occursum illius*, ut hoc ipsum corpus vere esse, non praeter ipsum aliud, ostenderet. Nam qui rapitur, nondum est mortuus. Sed et illud demonstrat, mortuorum nos resurrectionem minime anteversuros esse, ut quod expediri ab hominibus non potest, a deo explicari facile ac fieri posse declararet. *Nos enim*, inquit, *qui vivimus, non praeveniemus eos qui dormiunt;* quorum resurrectionem indicat. Et has voces, *viventium* ac *raptorum*, addidit, ut priori corpora illorum doceret integra resurgere, atque ex eo quod viventes reliquos anteirent dei potentiam indicaret. Videte quaeso quotquot vitae vestrae curam geritis, omnes qui ad oppugnandam veritatem insurrexerunt sibi ipsis iniustitiae labem acquisivisse. Quod iis verbis David propheta testatur: *Concepit laborem, et peperit iniquitatem.* Nam qui alienarum absurdarumque cogitationem laborum sibi colligit, tam sibi quam quibus persuadere potuerit, iniustitiam parit. *Lacum aperuit, et effodit illum, et incidet in foveam quam fecit.* Ac si quis his omnibus contradicere potest, prodeat in medium, ac deo, si potest, labore suo resistat. *Deus enim fortis, non laborabit, neque sitiet, neque est investigatio prudentiae ipsius.* Qua fretus dissoluta corpora excitat, quod perditum est servat, quod mortuum est ad vitam revocat, corruptum incorruptione vestit, granum quod cecidit ad resurrectionem erigit, hominemque qui satus ac mortuus est uberiorem ad splendorem instaurando perducit, uti pluribus in scripturae locis expressum est, in quibus resurrectio nostra significatur.

Cap. LXX. Isai. 59, 20. 1. Cor. 15, 52. 1. Thess. 4, 17. Ps. 7, 14. Ps. 7, 15. Isai. 40, 28.

Sic apud Davidem in illo Psalmo qui *De aedis dedicatione* inscriptus est, in quo velut expectationis suspensus et futura spiritus sancti ope diu ante propheta prospiciens consentanee de resurrectione ita pronuntiat: *Exaltabo te, domine, quoniam suscepisti me;* instau- Ps. 29, 1.

Cap. LXXI.

2. χαμέτω *ego. Libri omnes* χαμάτῳ. *Petavio placuit* ἀχαμάτῳ.

ἀνακαινίζων μου τὸν οἶκον, τουτέστι τὸ σῶμα τὸ πεσὸν, καὶ οὐκ εὔφρανας τοὺς ἐχθρούς μου ἐμέ. Καὶ Σολομὼν ἐν Παροιμίαις ὡσαύτως εἰς τὴν ἐκεῖσε ἑτοιμασίαν τὰ πάντα τῆς ἐλπίδος παρασκευάζων προὔτρεπε, φάσκων, Ἑτοίμαζε εἰς τὴν ἔξοδον τὰ ἔργα σου, ἔξοδον λέγων τὴν ἀπεντεῦθεν ἀπαλλαγὴν, καὶ, Ἑτοιμάζου, φησὶν, εἰς τὸν ἀγρὸν, ὁμοῦ πᾶσι τὴν νουθεσίαν ἐπεκτεινόμενος τοῖς κατὰ ἀγρόν τε καὶ κατὰ ἄστυ, λογίοις τε καὶ τοῖς τὰς βαναύσους τέχνας ἐπιχειροῦσιν, οἷς οὐδεμία ἐργασία κατὰ ἀγρὸν ἐπιζητουμένη. Πόθεν γὰρ λινουργοῖς καὶ ἀργυροχόοις, ποιηταῖς τε καὶ λογογράφοις, ἡ κατὰ τὴν ἄρουραν ἑτοιμασία; — συλλήβδην γὰρ ὁμοῦ ἡ φωνὴ ἀδιακρίτως τοὺς πάντας ἐπειποῦσα κέκληκεν, Ἑτοιμάζου εἰς τὸν ἀγρόν· — ἀλλ' ἢ τοῦτο αἰνίττεται, ὅτι παντὶ ἀνθρώπῳ πολίτῃ τε καὶ ἀγροίκῳ ἀπόθεσις τοῦ σώματος ἀγρὸς, διὰ τὴν ταφὴν καὶ τὸ τέλος. Εἶτα μετέπειτα τὴν αὐτὴν τῆς ἀναστάσεως σημαίνων ἐλπίδα φάσκει, Καὶ ἀνοικοδομήσεις τὸν οἶκόν σου. Ἅπαξ γὰρ ᾠκοδομήθη ἐν τῇ πλάσει τῇ κατὰ τὴν γαστέρα, ὅτε αἱ μητέρες ἐκύϊσκον ἕκαστον ἡμῶν ἐν τῇ πλάσει, ἀπὸ δὲ τῆς γῆς ἡ ἀνάστασις, ἢ ἀπὸ ἀγροῦ, [1] ἔτι οἰκοδομουμένου, διὰ τὴν ἐπενεχθεῖσαν αὐτῷ καθαίρεσιν ἐν τῷ τῆς ταφῆς πτώματι. Ὡς καὶ ὁ σωτὴρ ἔφη, Λύσατε τὸν ναὸν τοῦτον, καὶ ἐν τρισὶν ἡμέραις ἐγερῶ αὐτὸν, ἢ οἰκοδομῶ αὐτὸν, σοφία ὢν, καὶ ἐν τῇ φρονήσει αὐτοῦ, ᾗ οὐκ ἔστιν ὑπὸ ἀνθρώπων ἐξεύρεσις, ἐν ᾗ ἐξ ἀπόρων τόπων, διαχυθέντων ἡμῶν τῶν σωμάτων τῶν μὲν εἰς τέφραν, τῶν δὲ ἐν θαλάσσῃ, [2] τῶν δὲ ὑπὸ σαρκοβόρων οἰώνων, τῶν δὲ ὑπὸ θηρῶν, τῶν δὲ ὑπὸ σκωλήκων φθαρέντων, φέρει.

Κεφ. οβ΄. Εἰ γὰρ τὰ ἐξ οὐκ ὄντων ἐποίησεν εἰς τὸ εἶναι, πόσῳ γε μᾶλλον τὸ ὂν εἰς τὴν ἰδίαν κατάστασιν εὐχερῶς ἀποκαταστήσειεν; ἵνα δικαίαν ὁρίσῃ κρίσιν, ἵνα μὴ ἕτερον ἀνθ' ἑτέρου κρίνῃ, ἵνα μὴ ἀποστερήσῃ τὸ καμόν. Εἰ γὰρ ψυχῆς ἡ ἀπόλαυσις καὶ βασιλείας οὐρανῶν κληρονομία, μετασχέτω τὸ σῶμα ὃ βούλεται. Τρυφάτωσαν οἱ περὶ τὸν Γεδεών· μὴ μάτην καμνέτω Ἰωάννης ἐκ καμήλων ἔχων τὸ ἔνδυμα, μὴ ἐν
pag. [illegible]. ἀναχωρήσει τὴν σάρκα ὑπωπιάσωμεν, μὴ τὰ σώματα ἡμῶν δαμάσωμεν τῇ ἁγνείᾳ. Εἰ δ' ἄρα κοινωνεῖ σῶμα ἐν πολιτείαις, ἐν ἁγνείᾳ, ἐν νηστείᾳ, καὶ ταῖς ἄλλαις ἀρεταῖς, οὐκ ἄδικος ὁ θεὸς ἀποστερεῖν τὸν κάματον τοῦ κεκμηκότος, καὶ μὴ ἀποτῖσαι τὴν μισθαποδοσίαν τῷ ἅμα τῇ ψυχῇ κεκμηκότι σώματι. Εὐθὺς γὰρ εὑρεθήσεται ἀργὴ ἡ κρίσις. Εἰ γὰρ ἡ ψυχὴ μονωτάτη εὑρεθήσεται, ἀντιλέξειεν κρινομένη ὅτι, Οὐκ

Cap. LXXI. — 1. *Rescripsi* ἔτι οἰκοδομουμένου, διὰ τὴν ἐπενεχθεῖσαν αὐτῷ, *Petavium secutus, atque Cornarium, qui vertit:* „— quae reaedificatur propter illatam ipsi destructionem in sepulturae ruina.“ *Libri praebent vulgo:* οὐκέτι οἰκοδομουμένη, διὰ τὴν ἐνεχθεῖσαν αὐτῇ.

2. *Vulgo* τῆς.

randa scilicet domo mea, hoc est corpore quod ceciderat, *et non delectasti inimicos meos super me.* Ita et in Proverbiis Salomon ad futuram illam vitam spem omnem nostram praeparans hunc in modum hortatur: *Praepara in exitum opera tua.* Nam exitus nomine Prov.24, 27.
decessionem ex hac vita complexus est. Et, *Praeparare*, inquit, *ad agrum.* Quam commonitionem pertinere ad omnes voluit qui in agro aut in urbe degerent, ac tam eruditos quam opifices ac mechanicos, qui nullum in agro opus habent quod exerceant. Quid enim linificibus et aurifabris, aut poëtis ceterisque scriptoribus est cum agrorum cultura commune? Quare vox illa sine ullo discrimine universos simul appellat, *Praepara te ad agrum*, atque illud significat, omnium hominum generi, tam urbano quam rustico, corporis depositionem agri instar esse, propter sepulturam ac vitae exitum. Deinde eandem spem resurrectionis ostentans addit, *Et instaurabis domum tuam.* Quippe semel cum in utero formaretur est exstructa, cum scilicet unumquemque nostrum matres fingendi caussa parturirent. Tum a terra fit agrove resurrectio, cum eversa post illam in sepulchrum deiectionem domus erigitur. Quod et redemptor noster sic locutus aperuit: *Solvite templum hoc, et in tribus diebus su-* Ioann. 2, 19.
scitabo illud, sive aedificabo; utpote cum sapientia sit, et quidem pro summa sua prudentia, quam *nulla hominum investigatio* potest Isai. 40, 28.
assequi. Qua etiam praeditus difficillimis ex locis, delapsis dissolutisque corporibus nostris, ac partim in cineres conversis, partim in mari, partim a carnivoris avibus, partim a bestiis, partim vermibus consumptis, eadem nihilominus restituit.

Cap. LXXII.
Nam si quae nihil erant, aliquid ut essent, perfecerit, quanto id quod iam existit propriam in naturam conditionemque facilius instaurabit, ut et rectum iudicium instituat, et alterum pro altero non condemnet, et quod labore fatigatum est sua mercede non privet? Etenim si ad solam animam fructus et coelestis regni possessio pertinet, sane corpus iis omnibus quae concupiverit fruatur, versetur in deliciis Gedeon, neque frustra Ioannes labore se cruciet, contexto ex camelorum pilis cilicio vestitus, neque in solitudines abditi *car-* Matth. 3, 4.
nem nostram suggillemus, neque corpora castitatis exercitatione do- 1.Cor. 9, 27.
memus. Sin autem omnium vitae institutorum, si castimoniae, si ieiunii, si ceterarum virtutum corpus est particeps, *non iniustus est* Hebr. 6, 10.
deus, ut ei qui laboraverit laboris mercedem subtrahat, corporique quod cum anima communiter in laborem incubuerit nullum praemium persolvat. Hoc enim posito inane ac supervacaneum erit iudicium. Nam si sola duntaxat anima sisteretur, obiicere in iudicio posset,

ἀπ' ἐμοῦ τὸ αἴτιον τῆς ἁμαρτίας, ἀλλὰ ἀπ' ἐκείνου τοῦ φθαρτοῦ, καὶ γηΐνου σώματος, τὸ πορνεύειν, τὸ μοιχεύειν, τὸ ἀσελγαίνειν· ἐξότε γὰρ ἀπ' ἐμοῦ ἀπέστη, οὐδέν μοι τούτων πέπρακται. Καὶ ἔσται εὐαπολόγητος, καὶ παραλύουσα τὴν τοῦ θεοῦ κρίσιν. Εἰ δὲ καὶ τὸ σῶμα καθ' ἑαυτὸ ἀγάγοι ὁ θεὸς (δύναται γὰρ, ὡς καὶ ἄνω μοι διὰ τοῦ Ἰεζεκιὴλ δεδήλωται, εἰ καὶ διὰ παραβολὴν τὸ ἔργον γεγένηται), ἀλλὰ τὸ εἶδος εἰς ἀλληγορίαν τῆς τότε [1] παραβουλευθείσης ἀληθείας ἐτελειώθη, ὡς συνήχθη ὀστέον πρὸς ὀστέον, καὶ ἁρμονία πρὸς ἁρμονίαν, καὶ ξηρῶν ὄντων τῶν ὀστέων, καὶ οὐδέπω ψυχῆς, οὐδὲ πνεύματος τοῦ κινοῦντος ἐν αὐτοῖς ὄντος· καὶ εὐθὺς τὰ σώματα συνήχθη, καὶ κατὰ τὸν τοῦ προφήτου λόγον ἐστερεώθη. Καὶ εἰ θέλει θεὸς, δυνατός ἐστι τοῦτο ποιῆσαι, ἄνευ ψυχῆς παρεῖναί τε καὶ κινεῖσθαι, ὡς καὶ τὸ τοῦ Ἄβελ αἷμα σῶμα ὂν μετὰ θάνατον ἐφθέγγετο, καὶ οὐ ψυχὴ (οὐ γὰρ ψυχή ἐστι τὸ αἷμα, ἀλλὰ σῶμά ἐστι τὸ φαινόμενον), ἀλλ' οὐ δυνήσεται σῶμα ἄνευ ψυχῆς κριθῆναι. Ἀντιλέξειε γὰρ καὶ αὐτὸ, λέγον ὅτι, Οὐκ ἐγὼ ἥμαρτον, ἀλλὰ ἡ ψυχή· μὴ ἐξότε ἀπεκινήθη ἀπ' ἐμοῦ, [2] μὴ ἐμοίχευσα; μὴ ἐπόρνευσα; μὴ εἰδωλολάτρησα; Καὶ ἔσται ἀντιλέγον τὸ σῶμα τῇ τοῦ θεοῦ δικαιοκρισίᾳ, καὶ εὐλόγως ἀντιλέγον. Τούτου ἕνεκα τοίνυν, καὶ διὰ πολλὰ ἄλλα καὶ ἀναγκαῖα, ὁ θεὸς ἐν τῇ αὐτοῦ σοφίᾳ τὰ τεθνεῶτα ἡμῶν σώματα καὶ τὰς ψυχὰς εἰς παλιγγενεσίαν φέρει ἐν τῇ αὐτοῦ ὑποσχέσει τῆς φιλανθρωπίας, εἰς τὸ τὸν κεκμηκότα ἐν ὁσιότητι ἀπολαβεῖν τὴν πᾶσαν ὑπὸ θεοῦ καλὴν ἀνταπόδοσιν, καὶ τοὺς τὰ μάταια πεποιηκότας ὡσαύτως κριθῆναι, σῶμα ἅμα ψυχῇ, καὶ ψυχὴν ἅμα σώματι.

Κεφ. ογ'. Ἀλλὰ ἀρκέσει μοι ταῦτα πρὸς τὸν ἐθελόσοφον Ὠριγένην, τὸν ματαίως ἑαυτῷ ἐπιθέμενον ὄνομα Ἀδαμάντιον, καὶ πρὸς τὴν αὐτοῦ ἀτο-
pag. 604. πίαν καὶ κατὰ τῆς ἀληθείας ἐν πολλοῖς μέρεσι τῆς πίστεως κακῶς ἐπινενοημένην ὀλέθριον διδασκαλίαν. Παρελθὼν δὲ καὶ τούτου τὴν αἵρεσιν καθεξῆς τὰς ἄλλας, ἐπιπόθητοι, διασκέψομαι, θεὸν συνήθως ἐπικαλούμενος [1] ἀρωγὸν τῆς ἡμῶν ἰδιωτίας, πρὸς τὸ δυνηθῆναι ἀντισχεῖν πρὸς πᾶσαν κατὰ τῆς ἀληθείας ἐπεγειρομένην φωνὴν ματαίαν καὶ ἡττῆσαι, κατὰ τὰ ὑπὸ τοῦ ἁγίου Ἡσαΐου ῥηθέντα ὅτι, Πᾶσα φωνὴ ἣ ἐπαναστήσεται ἐπὶ σὲ, πάντας αὐτοὺς ἡττήσεις, οἱ δὲ ἔνοχοι ἔσονται ἐν αὐτῇ· ἵν' οὕτως ἐν θεῷ τὸ ἐπάγγελμα περαιωσάμενοι τοῖς βουλομένοις νουνεχῶς ἐντυγχάνειν, εἰς γυμνασίαν ἀληθείας καὶ φάρμακον ἰάσεως περὶ ἑκάστου θηρὸς καὶ ἰοβόλου ἑρπετοῦ, τῶν προςώπων τῶν

Cap. LXXII. — 1. παραβολευθείσης placuit Petavio. 2. μὴ uncinis notavit Petavius.

Non a me peccatum exortum est, sed a corruptibili illo terrenoque corpore stuprum, adulterium ac libidines profectae sunt: nam ex quo tempore a me seiunctum est, nihil est horum commissum. Honesta sane excusandi sui ratio, et ad dei iudicium evertendum idonea. At si corpus ipsum quoque deus produxerit, hoc enim facere potest, ut Ezechiele supra demonstravimus, tametsi figura quadam ac similitudine tum id opus perfectum fuerit: verum ad veritatem, quae tunc similitudine illa referebatur, adumbrandam istiusmodi species est expressa. Cum scilicet os unum ad alterum, et compages Ezech. 37, 7.
ad compagem accommodata est, ac cum arida essent ossa, nec ulla adhuc anima vel spiritus, quo agitarentur, in ipsis inesset, subinde tamen coagmentata sunt et, ut propheta loquitur, *solidata corpora.* Ac si ita deo libuerit, perficere istud potest, nullo ut animae interventu prodeant, ac sese commoveant. Non secus atque *Abelis san-* Gen. 4.
guis post obitum loquebatur, non anima. Non enim anima est sanguis, sed corpus illud quod apparet. Verum corpus sine anima iudicari non potest. Nam et ipsum resisteret, et hunc in modum exciperet: Non ego peccavi, sed anima; ex quo enim tempore a me discessit, num adulterium, num stuprum ullum admisi? num simulacra colui? Ita corpus iustissimo dei iudicio, et quidem iure, contradicet. Quibus de caussis, aliisque compluribus ac necessariis, pro infinita sua sapientia deus emortua nostra corpora et animas novam ad generationem perducit, quemadmodum ex ingenti sua humanitate promisit. Ut qui in sanctitatis officiis elaboraverit, eximium a deo praemium omne percipiat, et quorum inania fuerint opera, perinde iudicentur: ut et corpus cum anima, et anima cum corpore ei se iudicio subiiciant.

Cap. LXXIII.

Atque haec adversus arrogantem illum Origenem dicta sufficiant, qui frustra Adamantii sibi nomen imposuit, atque adversus illius absurda dogmata perniciosamque doctrinam, quam contra veritatem multis in fidei nostrae partibus excogitavit. Nunc illius haeresi praetermissa deinceps me, carissimi, ad alias considerandas transferam, a deo pro more postulans tenuitatis ut nostrae adiutor esse velit, ut adversus inanem vocem omnem quae contra veritatem insurgit resistere ac victoriam obtinere possimus; ut Esaias propheta dicit: *Omnis vox, quae insurget contra te, omnes illos superabis; hi* Isai. 54, 17.
autem rei erunt in illa. Ut cum dei auxilio quod proposuimus executi, in eorum gratiam, qui sapienter haec nostra legere voluerint, ad illustrationem veritatis et salutare quoddam medicamentum, quod antidoti sit instar, adversus uniuscuiusque serpentis, ac venenati

Cap. LXXIII. — 1. ἀῤῥωγὸν *edit. princ.*

αἱρέσεών φημι, δίκην ἀντιδότου, καὶ ταυτησὶ τῆς τῶν Ὠριγενιαστῶν φρύνου δίκην μεμορφωμένης, ἐκ νοτίδος πολλῆς κυκῶντος καὶ φωνῇ μείζονι ἐπικραυγάζοντος, λαβόμενοι τὴν τοῦ κυρίου ἀνάστασιν προπότιον, ὡς εἰπεῖν, ἀποβλύσωμεν τὸ γλισχρῶδες τοῦ ἰοῦ τοῦ φρύνου καὶ ἑρπετώδους μοχθηροῦ τὴν ἀδικίαν. Συμβέβηκε γὰρ αὐτῷ καὶ τοῦτο μετὰ πάντων τῶν παθῶν. Ὡς ὑπὲρ αὐτοῦ πάσχω καὶ στενάζω ὅτι, Οἴμοι, πῶς ἐβλάβης, πόσους τε ἄλλους ἔβλαψας, ὡς ὑπὸ δεινῆς ἐχίδνης δηχθεὶς, ἀπὸ τῆς κοσμικῆς προπαιδείας φημὶ, καὶ ἄλλοις δηλητήριον γέγονας.

Φασὶ γὰρ οἱ φυσιολόγοι τὸν [2] μυωξὸν ἐμφωλεύειν καὶ τὰ γεννήματα αὐτοῦ ἐπιτοαυτὸ πολλὰ τίκτειν, ἕως πέντε καὶ ἔτι, τὰς δὲ ἐχίδνας [3] τούτους θηρᾶσθαι· καὶ ἐὰν εὕρῃ ὅλον τὸν φωλεὸν ἡ ἔχιδνα, μὴ δυναμένη τοὺς ὅλους καταφαγεῖν ὑπὸ ἓν, ἐσθίει εἰς κόρον ἕνα ἢ δύο, τῶν δὲ λοιπῶν κατακεντήσασα τοὺς ὀφθαλμοὺς σιτία φέρει καὶ ἀνατρέφει τυφλὰ γεγονότα, ἕως ὅτε βούλεται ἕκαστον αὐτῶν προφέρειν, καὶ τοῦτον ἐσθίειν. Ἐὰν δὲ συμβῇ τινας ἀπείρους περιτυχεῖν τοῖς τοιούτοις, καὶ λάβωσιν αὐτὰ εἰς ἐδωδὴν, δηλητήριον ἑαυτοῖς λαμβάνουσιν ἀπὸ τοῦ ἰοῦ τῆς ἐχίδνης ἀνατεθραμμένα. Οὕτω καὶ σὺ, Ὠριγένη, ἀπὸ τῆς προειρημένης Ἑλληνικῆς παιδείας τυφλωθεὶς τὸν νοῦν ἐξήμεσας τὸν ἰὸν τοῖς πεισθεῖσί σοι, καὶ γέγονας αὐτοῖς εἰς βρῶμα δηλητηρίου, δι' ὧν αὐτὸς ἠδίκησαι ἀδικήσας τοὺς [4] πλείους.

ΤΕΛΟΣ ΤΟΥ ΠΡΩΤΟΥ ΤΟΜΟΥ ΤΟΥ ΔΕΥΤΕΡΟΥ ΒΙΒΛΙΟΥ.

2. μ..ξον *edit. princ. At in versione Latina Cornarius plene scripsit* Myoxum.

3. τούτοις *edit. princ.*

4. *In fine capitis huius et libri in cod. Veneto ab eadem manu addita leguntur haec:* Εἴπαμεν δὲ κατ' αὐτοῦ τοῦ Ὠριγένους ἐν ταῖς ἄνω διαλαλιαῖς ὡς τὸν υἱὸν τοῦ θεοῦ ἐβλασφήμησε, ποιητὸν θεὸν ὁρισάμενος, καὶ μὴ δύνασθαι ὁρᾶν τὸν πατέρα· ὡςαυτῶς καὶ τὸ ἅγιον πνεῦμα μὴ δύνασθαι ὁρᾶν τὸν υἱὸν, καὶ ὡς τὴν ψυχὴν προϋπάρχουσαν παρεξηγή-

reptilis insidias, hoc est varias haereseon formas, et huius Origenianae potissimum, quae instar rubetae multo ex humore formatae miscet omnia, ac maiori clamore contendit, Christi domini resurrectione sumpta, velut potione quadam ad praecavendum parata, lentum ac viscosum virus exspuamus, nimirum rubetae illius ac serpentis nequissimi perniciem. Hoc enim ipsi ad alias calamitates accessit. Unde illius caussa doleo ac vehementer ingemisco. Hei mihi! quomodo laesus ipsae alios plerosque laesisti, atque ab externis mundi huius disciplinis, quasi ab horribili quadam vipera morsus, ceteris veneni instar es factus!

Ceterum naturalium rerum scriptores asserunt Myoxum in latibulis suis fetus eodem partu plures edere, quinque videlicet, et eo amplius iisque insidiari viperam. Quae universos in latibulo nacta cum devorare simul omnes nequeat, tum quidem unum alterumque ad satietatem absumit, ceteros confossis oculis ad pabulum aufert, caecosque nutrit, donec prolatos, ubi libitum est, singulos depascatur. Ac si forte ignari quidam in tales inciderint, et ad vescendum ceperint, letiferum ex iis venenum hauriunt, utpote viperae veneno nutritis. Ita et tu, Origenes, a Graecanicis illis disciplinis mentis oculis excaecatus, in eos qui tibi adhaeserunt tuum virus evomuisti, iisdemque exitialis cibi loco fuisti, atque iis ipsis rebus, quae detrimento tibi fuerunt, detrimentum illis attulisti.

FINIS PRIORIS TOMI LIBRI SECUNDI.

σατο, καὶ ἄνω πλημμελήσασαν εἰς τὸ σῶμα κατῆχθαι, καὶ ὅτι ὁ διάβολος ἀποκαταστασθήσεται εἰς τὴν ἰδίαν ἀρχήν. Ἐμακαρίσθη τοίνυν Ἰωάννης ὁ βαπτιστὴς καὶ οἱ λοιποὶ ἅγιοι ὅτι κοινωνοὶ αὐτοῦ ἔσονται ἐν τῇ βασιλείᾳ τῶν οὐρανῶν. Καὶ ἀλληγορικῶς εἶναι Παράδεισον, καὶ τὰ ὕδατα ἐπάνω τοῦ οὐρανοῦ, καὶ τὰ ὑποκάτω τῆς γῆς, καὶ οὐκ ἀληθείᾳ.

pag. 605. ΤΑΔΕ ΕΝΕΣΤΙ ΚΑΙ ΕΝ ΤΩΙ ΔΕΥΤΕΡΩΙ ΤΟΜΩΙ ΤΟΥ ΑΥΤΟΥ ΔΕΥΤΕΡΟΥ ΒΙΒΛΙΟΥ, ΠΕΜΠΤΩΙ ΔΕ ΟΝΤΙ ΚΑΤΑ ΤΟΝ ΠΡΟΕΙΡΗΜΕΝΟΝ ΑΡΙΘΜΟΝ, ΕΝ ΩΙ ΕΙΣΙΝ ΑΙΡΕΣΕΙΣ ΠΕΝΤΕ, ΟΥΤΩΣ.

α΄. Παύλου τοῦ Σαμοσατέως. Οὗτος ἀνύπαρκτον τὸν Χριστὸν ὀλίγου δεῖν διαβεβαιοῦται, λόγον προφορικὸν [1] ὄντα σχηματίσας, ἀπὸ δὲ Μαρίας καὶ δεῦρο εἶναι· προκαταγγελτικῶς τὰ περὶ αὐτοῦ ἐν ταῖς θείαις γραφαῖς εἰρημένα [2] ἔχοντος, μὴ ὄντος δὲ, ἀλλὰ ἀπὸ Μαρίας καὶ δεῦρο ἀπὸ τῆς ἐνσάρκου [3] παρουσίας.

β΄. Μανιχαῖοι, [4] οἳ καὶ Ἀκουανῖται, οἱ [5] ἀπὸ τοῦ Μάνη μαθηταὶ τοῦ Πέρσου, Χριστὸν [6] σχήματι λέγοντες, ἥλιον σέβοντες καὶ σελήνην, ἄστροις τε καὶ δυνάμεσι καὶ δαίμοσιν εὐχόμενοι, ἀρχὰς δύο εἰσάγοντες, πονηράν τε καὶ ἀγαθὴν, ἀεὶ οὔσας· Χριστὸν δὲ δοκήσει πεφηνέναι, καὶ δοκήσει πεπονθέναι· παλαιὰν διαθήκην βλασφημοῦντες, καὶ τὸν ἐν αὐτῇ λαλήσαντα θεόν· κόσμον δὲ οὐ τὸν πάντα, ἀλλὰ μέρος ἐκ θεοῦ γεγενῆσθαι ὁριζόμενοι.

γ΄. Ἱερακῖται, οἱ ἀπὸ τοῦ [7] Ἱέρακος τοῦ Λεοντοπολίτου τοῦ Αἰγύπτου, ἐξηγητοῦ τινος, σαρκὸς ἀνάστασιν [8] ἀθετοῦντος· χρώμενοι παλαιᾷ καὶ νέᾳ διαθήκῃ, καὶ ἀπαγορεύοντες γάμον παντελῶς, μονάζοντάς τε καὶ παρθένους δεχόμενοι, καὶ ἐγκρατευομένους, καὶ [9] χήρους· τὰ δὲ μηδέπω ἐν ἡλικίᾳ γεγονότα παιδία βασιλείας μὴ μετέχειν, διὰ τὸ μὴ ἠθληκέναι.

δ΄. [10] Μελητιανοὶ, οἱ ἐν Αἰγύπτῳ σχίσμα ὄντες, ἀλλ' οὐχ αἵρεσις, μὴ συνευξάμενοι τοῖς ἐν τῷ διωγμῷ παραπεπτωκόσι, νῦν δὲ Ἀρειανοῖς συναφθέντες.

1. αὐτὸν *Io. Damascenus et Anacephal.*
2. ἔχοντος μὲν, μὴ *Io. Damasc. In Anacephalaeosi hoc* μὲν *comparet post* προκαταγγελτικῶς.
3. παρουσίας ἔχειν τὴν ὕπαρξιν *Io. Damasc.*
4. οἱ *libri.*
5. *Vocem* ἀπὸ *uncinis inclusit Petav. Nec habent Io. Damasc. et Anaceph. Pro* Μάνη *in Anaceph. extat* Μανῆ, *in Io. Damasc.* Μανοῦ.

INDICULUS HAERESEON QUAE IN TOMO II. LIB. II. CONTINENTUR, QUI EST EO QUEM SUPRA POSUIMUS ORDINE V., IN QUO HAERESES V CONTINENTUR, HOC MODO.

I. Pauli Samosateni. Hic propemodum non existere Christum affirmat, atque eiusmodi verbum esse fingit quod in prolatione consistit; eundem porro esse a Maria coepisse. Ac quae sacris in literis de eo pronuntiata sunt, praedicentis esse more dicta, cum ipse nondum existeret, sed a Maria, uti diximus, et ab eo duntaxat tempore quo carne praeditus advenit esse coeperit.

II. Manichaei, quos et Acuanitas vocant, Manis Persae discipuli. Christum figuram quandam esse defendunt, Solem Lunamque venerantur. Stellis ac virtutibus et daemonibus supplicant. Sempiterna duo principia, bonum ac malum, constituunt. Christum specie tenus apparuisse, specieque tenus esse passum. Vetus testamentum, eumque qui in illo locutus est, maledictis onerant. Mundum non universum a deo, sed eius partem fabricatam esse statuunt.

III. Hieraciae ab Hierace interprete ac doctore quodam Leontopoli, quod Aegypti oppidum est, oriundo. Qui resurrectionem carnis respuit. Utuntur illi veteri ac novo testamento. Nuptiis penitus interdicunt. Monachos et virgines continentes ac viduos admittunt. Pueros matura nondum aetate regni coelestis participes esse negant, quod nondum certamine perfuncti sunt.

IV. Meletiani schismatis in Aegypto, non haeresis locum obtinent. Qui cum illis precum communione coniungi noluerunt, qui in persecutione lapsi sunt. Nunc se ad Arianos aggregarunt.

6. *Ita et Io. Damasc. Sed in utroque fortasse reponendum* σχῆμά τι.

7. *Ab ipso Epiphanio plerumque appellatur* Ἱέραχας; *sed et* Ἱέραξ *haer.* 55, 5.

8. ἀθετοῦντες *Io. Damasc.*

9. χήρας *Io. Damasc. Cf. haer.* 67, 2., *ubi etiam extat* χήρα.

10. Μελιτιανοί, *uterque codex scriptus.*

pag. 606. ε΄. Ἀρειανοὶ, [11] οἳ καὶ Ἀρειομανῖται, οἱ τὸν υἱὸν τοῦ θεοῦ κτίσμα λέγοντες, καὶ τὸ πνεῦμα τὸ ἅγιον κτίσμα κτίσματος, σάρκα μόνον τὸν σωτῆρα ἀπὸ Μαρίας εἰληφέναι διαβεβαιούμενοι, καὶ οὐχὶ ψυχήν. Ἦν δὲ οὗτος ὁ Ἄρειος πρεσβύτερος Ἀλεξάνδρου ἐπισκόπου Ἀλεξανδρείας.

[12] Αὕτη καὶ ἡ τοῦ δευτέρου βιβλίου, πέμπτου δὲ ἀπ' ἀρχῆς τῆς ἀκολουθίας ὄντος, ἀνακεφαλαίωσις αἱρέσεων πέντε.

11. *Vulgo* οἱ.

V. Ariani, sive Ariomanitae, dei filium creaturam esse dicunt, spiritum vero sanctum aliam esse creaturam. Salvatorem nostrum carnem duntaxat a Maria, non animam accepisse confirmant. Fuit hic Arius Alexandri episcopi Alexandriae presbyter.

Haec est quinque haereseon summa, quae in hoc II. libro, sive ordine V., continentur.

12. *Verba* Αὕτη - - - πέντε *non extant in cod. Rhedig.*

pag. 607. # * ΤΟΥ ΕΝ ΑΓΙΟΙΣ ΠΑΤΡΟΣ ΗΜΩΝ

ΕΠΙΦΑΝΙΟΥ

ΚΑΤΑ ΤΩΝ ΑΙΡΕΣΕΩΝ

ΤΟΜΟΣ ΔΕΥΤΕΡΟΣ ΤΟΥ ΔΕΥΤΕΡΟΥ ΒΙΒΛΙΟΥ.

ΚΑΤΑ ΠΑΥΛΟΥ ΤΟΥ ΣΑΜΟΣΑΤΕΩΣ,

τεσσαρακοστὴ πέμπτη, ἡ καὶ ἑξηκοστὴ πέμπτη.

Κεφ. α'. *Παῦλος ὁ Σαμοσατεὺς καλούμενος τούτους διαδέχεται, γεγονὼς μετὰ Ναυᾶτον καὶ Ὠριγένην, τὸν [1] λοιπὸν ἐν αἱρέσει ἀριθμούμενον δι' ἣν ἠθέλησεν ὑψαυχενίαν ἑαυτῷ ἐπισπάσασθαι, καὶ ἐπαρθῆναι κατὰ τῆς ἀληθείας, διὰ τῆς κομπώδους αὐτοῦ φλυαρίας καὶ ἐν διαβόλου [2] ἐπισεσεισμένης ἐννοίας. Ὃν πενθεῖν δεῖ, ὡς ἀληθῶς φθόνῳ διαβόλου [3] ἐξοκείλαντα, καὶ ἀπὸ ὕψους παραπεπτωκότα. Ἐπ' αὐτῷ γὰρ πληροῦται τὸ εἰρημένον, Βασκανία φαυλότητος ἀμαυροῖ τὰ καλά· καὶ ῥεμβασμὸς ἐπιθυμίας μεταλλεύει νοῦν ἄκακον.*

Οὗτος δὴ οὖν ὁ ἡμῖν εἰς ἐξήγησιν ἐπιμνημονευόμενος Παῦλος ὁ Σαμοσατεὺς, οὗ τοῦ ὀνόματος ἐν ἀρχῇ ἐμνήσθημεν, καὶ τῆς αἱρέσεως αὐτοῦ ποιούμεθα τὴν διήγησιν, ἀπὸ Σαμοσάτων ἦν τῆς ἐπὶ τὰ μέρη τῆς Μεσοποταμίας καὶ Εὐφράτου, ὃς ἐν τούτῳ τῷ χρόνῳ, ἐν ἡμέραις pag. 608. *Αὐρηλιανοῦ καὶ Πρόβου τῶν βασιλέων ἐπὶ τῆς Ἀντιοχέων καθίσταται ἐπίσκοπος τῆς ἁγίας καθολικῆς ἐκκλησίας. Ἀρθεὶς δὲ τῇ διανοίᾳ ἐξέπεσε τῆς ἀληθείας, καὶ ἀνεκαίνισε τὴν αἵρεσιν τοῦ Ἀρτέμωνος, τοῦ ποτε ὄντος ἐν ἀρχῇ πρὸ ἐτῶν πολλῶν, καὶ ἐσβεσμένου.*

Φάσκει δὲ οὗτος θεὸν πατέρα καὶ υἱὸν καὶ ἅγιον πνεῦμα ἕνα θεὸν, ἐν θεῷ δὲ ἀεὶ ὄντα τὸν αὐτοῦ λόγον καὶ τὸ πνεῦμα αὐτοῦ, ὥςπερ ἐν ἀνθρώπου καρδίᾳ ὁ ἴδιος λόγος· μὴ εἶναι δὲ τὸν υἱὸν τοῦ θεοῦ ἐνυπόστατον, ἀλλὰ ἐν αὐτῷ [4] τῷ θεῷ, ὥςπερ ἀμέλει καὶ ὁ Σαβέλλιος, καὶ ὁ Ναυᾶτος, καὶ ὁ Νόητος, καὶ ἄλλοι. Οὐκ ἴσως δὲ ἐκείνοις οὗτος, ἀλλὰ [5] ἄλλως παρ' ἐκείνους. Ἐλθόντα δὲ τὸν λόγον, καὶ ἐνοικήσαντα

* Inscriptio haec desideratur in utroque libro ms.

Cap. I. — 1. Post λοιπὸν in cod. Rhedig. est rasura septem fere litterarum. 2. ἐπισεσεισμένης cod. Rhedig. ἐπισπεισμένης cod. Ien., et editi.

SANCTI

EPIPHANII

CONTRA HAERESES

LIBRI II. TOMUS II.

CONTRA PAULUM SAMOSATENUM, haeresis XLV., sive LXV.

Secundum illos Paulus Samosatenus sequitur, qui post Novatum atque Origenem extitit. Qui quidem Origenes postremo inter haereticos numeratus est, ob arrogantiam illam quam adsciscere sibi voluit, et insolenti ac nugarum plenissima loquacitate immissaque a diabolo mente adversus veritatem insurgere. Sane is lugendus nobis admodum venit, qui diaboli invidia lapsus ex alto praecipitavit. Nam in illo scripturae dictum illud impletur: *Fascinatio enim nugacitatis obscurat bona, et inconstantia concupiscentiae transvertit mentem sine malitia.* Cap. I. Sap. 4, 12.

Recedo nunc ad illum, cuius explicandum dogma suscepimus, Paulum Samosatenum, cuius nominis supra mentionem fecimus, et nunc illius haeresin proponimus. Hic Samosatis Mesopotamiae ad Euphratem urbe natus, Aureliano ac Probo imperantibus Antiochenae ecclesiae propositus est. Qui elatus arrogantia ac fastu a veritate excidit, atque Artemonis haeresin instauravit, qui cum ante multos annos extitisset, penitus est extinctus.

Est autem haec illius opinio. Deum patrem et filium ac spiritum sanctum unum esse deum; verbum dei eiusque spiritum inesse deo perpetuo, sicut hominis in corde proprium verbum inesse cernimus. Filium dei subsistentiam habere per sese nullam, sed in deo subsistere, id quod Sabellio quoque placuit, et Novato, et Noëto, aliisque nonnullis, quamquam non eodem cum istis modo, sed diverso quodam ille sentiat. Ad haec, dei verbum in terras delapsum

3. *ἐξωκειλαντα cod. scr. uterque et ed. princ.*

4. τῷ *adieci ex utroque libro ms.*

5. ἄλλος *uterque liber ms.*

ἐν Ἰησοῦ ἀνθρώπῳ ὄντι· καὶ οὕτως, φησὶ, εἷς ἐστιν ὁ θεὸς, καὶ οὐχὶ πατὴρ ὁ πατὴρ, καὶ υἱὸς ὁ υἱὸς, καὶ ἅγιον πνεῦμα τὸ ἅγιον πνεῦμα· ἀλλὰ εἷς θεὸς ὁ πατὴρ, καὶ [6] *ὁ υἱὸς αὐτοῦ ἐν αὐτῷ, ὡς λόγος ἐν ἀνθρώπῳ· δῆθεν ἀπὸ τῶν μαρτυριῶν τούτων ἑαυτοῦ τὴν αἵρεσιν προβαλλόμενος, ἀπὸ τοῦ εἰρηκέναι τὸν Μωϋσέα, Κύριος ὁ θεός σου κύριος εἷς ἐστιν. Οὐ φάσκει δὲ οὗτος κατὰ τὸν Νόητον τὸν πατέρα πεπονθέναι, ἀλλὰ, φησὶ, ἐλθὼν ὁ λόγος ἐνήργησε μόνος, καὶ ἀνῆλθε πρὸς τὸν πατέρα καὶ πολλὴ παρὰ τούτῳ ἡ ἀτοπία.*

Κεφ. β΄. *Ἴδωμεν δὲ οἱ λόγοι αὐτοῦ συσταθήσονται τοῦ ἠπατημένου. Φάσκει γὰρ ὅτι, Εἶπεν, Ἐγὼ ἐν τῷ πατρὶ, καὶ ὁ πατὴρ ἐν ἐμοί. Καὶ αὐτοὶ δέ φαμεν ἐκ πατρὸς θεὸν λόγον, καὶ μετ' αὐτοῦ ἀεὶ ὄντα ἐξ αὐτοῦ γεγεννημένον, ἀλλ' οὐχὶ τὸν πατέρα λέγομεν ἄνευ λόγου ἐνυποστάτου, ἀλλ' ὁ λόγος τοῦ πατρὸς ὁ μονογενὴς υἱὸς θεὸς λόγος, ὥς φησι, Πᾶς ὁ ὁμολογῶν ἐν ἐμοὶ ὁμολογήσω κἀγὼ ἐν αὐτῷ ἔμπροσθεν τοῦ πατρός μου· τὸ δὲ Ἐν ἐμοὶ, Ἔμπροσθεν τοῦ πατρός μου, ἔδειξε φύσει ἐνυπόστατον τὸν πατέρα. Οὗτοι δὲ τὸν Ἰουδαϊσμὸν παραφθείροντες, οὐδὲν περισσότερον τῶν Ἰουδαίων κεκτημένοι, δεύτεροι Ἰουδαῖοι κληθήσονται, καὶ Σαμοσατῖται, μηδὲν ἕτερον ὄντες ἢ τῷ ὀνόματι μόνον* [1] *Ἰησοῦ προσεσχημένοι. Τὸν γὰρ ἐκ θεοῦ θεὸν υἱὸν μονογενῆ καὶ λόγον ἀρνούμενοι ἐκεῖνοί εἰσιν ὁποῖοι καὶ οἱ αὐτὸν ἐν τῇ παρουσίᾳ ἀρνησάμενοι, θεοκτόνοι τε καὶ κυριοκτόνοι καὶ ἐπαρνησίθεοι γεγονότες. Τἀληθῆ δὲ, ὅτι οὔτε περιτομὴν ἔχουσιν, οὔτε σάβ-*
pag. [illegible]. *βατον φυλάσσουσι, καὶ τὰ ἄλλα πάντα καθάπερ Ἰουδαῖοι.*

Κεφ. γ΄. *Καὶ γὰρ τὸ ὄντι καὶ αὐτοὶ οὐ δύο φαμὲν εἶναι θεοὺς, οὐδὲ θεότητας, ἀλλὰ μίαν θεότητα, ἐπειδὴ γὰρ οὔτε δύο λέγομεν πατέρας, οὔτε δύο υἱοὺς, οὔτε δύο πνεύματα ἅγια, ἀλλὰ πατέρα καὶ υἱὸν καὶ ἅγιον πνεῦμα, μίαν θεότητα, μίαν δοξολογίαν. Οὗτος δὲ οὐ λέγει μόνον θεὸν διὰ τὸ πηγὴν εἶναι τὸν πατέρα, ἀλλὰ μόνον θεὸν, ἀναιρῶν ὅσον τὸ κατ' αὐτὸν τὴν τοῦ υἱοῦ θεότητα καὶ ὑπόστασιν, καὶ τοῦ ἁγίου πνεύματος, ἔχων δὲ αὐτὸν τὸν πατέρα ἕνα θεὸν, ἄγονον υἱοῦ, ὡς εἶναι τὰ δύο ἀτελῆ, πατέρα καὶ υἱὸν, τὸν μὲν πατέρα ἄγονον υἱοῦ, καὶ ἄκαρπον τὸν λόγον θεοῦ ζῶντος καὶ σοφίας ἀληθινῆς. Λόγον γὰρ οἷον τὸν ἐν καρδίᾳ εἶναι νομίζουσι, καὶ σοφίαν,* [1] *οἵαν ἐν ψυχῇ ἀνθρώπου ἕκαστος ἔχει τὴν ἐκ θεοῦ φρόνησιν ἐκ θεοῦ κεκτημένος.*

6. ὁ *om. ed. Pet.*

Cap. II. — 1. Ἰησοῦ προσεσχημένοι (*vel* προσισχόμενοι) *mea est emendatio. Etiam Petavium video vocabulum* οἰήσει *vertisse Iesu, quamquam in marg. suae edit. proposuit solum* τὸ ὄνομα *et* προισχόμενον, *de voce* οἰήσει *vel* Ἰησοῦ *vero tacuit. Vulgata librorum scriptura est* οἰήσει προϊσχημένοι. *Cornarius vertit* nihil aliud existentes quam nomine so-

in Iesu, qui homo merus esset, habitasse. Ita unus, inquit ille, deus est, neque aut pater est pater, aut filius filius, aut spiritus sanctus spiritus est sanctus, imo vero deus unus est pater, et huius in ipso filius, ut est in homine sermo. Quam quidem opinionem ex hisce fere testimoniis colligit, primum, quod Moyses dixerit, *Do-* Deut. 6, 4.
minus deus tuus dominus unus est. Neque vero cum Noëto patre ille passum esse definit, sed solum, inquit, adveniens verbum, totum illud administravit, et ad patrem revertit. Ac sunt omnia quae ab illo dicuntur sane quam absurda.

Videamus igitur ecquid opinione falsi hominis constare possit Cap. II.
oratio. Nam ita proponit. Dixit, inquit, Christus, *Ego in patre,* Ioann. 14, 10.
et pater in me est. Et nos istud una profitemur, ex patre profectum esse deum verbum, ac cum eodem esse perpetuo, ab eoque progenitum. Sed non ideo patrem sine subsistente verbo esse dicimus. Quinimo verbum patris unigena filius deus est verbum, ut et ipse declarat: *Omnino qui confitetur in me, confitebor et ego in illo coram* Matth. 10, 32.
patre meo. Ubi haec ipsa verba *In me*, *Coram patre meo*, patrem ipsum natura sua subsistere demonstrant. At isti Iudaicam opinionem interpolantes, neque quicquam iis habentes amplius, Iudaei alteri nominandi sunt, et Samosateni, neque aliud omnino sunt, ac solum nomen Iesu prae se ferunt. Nam cum deum ex deo, unigenamque filium ac verbum abnegent, eiusmodi sunt quales ii fuerunt qui praesentem illum eiurarunt, hoc est dei ac domini parricidae, et eiusdem dei negatores. Quamquam neque circumcisionem adhibent, neque sabbatum, aliosve Iudaeorum ritus observant.

Enimvero neque nos ipsi duos esse deos divinitatesque duas, Cap. III.
sed unam duntaxat asserimus, cum neque patres constituamus duos, neque filios item duos, aut duos spiritus sanctos, sed patrem, et filium, ac spiritum sanctum, divinitatem unam, unamque trium praedicationem ac gloriam. Iste vero non unum idcirco deum esse confitetur quod velut fons quidam sit pater, sed unum absolute deum facit, ac, quantum in ipso est, filii ac spiritus sancti divinitatem ac subsistentiam evertit. Patrem ipsum praeterea ita esse deum unum affirmat ut omni ad producendum filium fecunditate careat, adeoque imperfecta illa duo sint, pater et filius, quorum ille ad producendum filium genitalem vim nullam habeat, hic autem, quod est viventis dei verbum veraque sapientia, nullo modo sit fructuosus. Verbum enim tale esse putant quale in hominis est pectore, et eiusmodi sapientiam qualem in animo quilibet hominum insitam a deo infusam-

lum ex sua opinione praevalentes, *quod non intellego.*

Cap. III. — 1. οἷαν *cod. ms. uterque.* οἵαν *ed. pr.* οἷον *ed. Petav.*

Διὰ τοῦτο πρόςωπον ἓν τὸν θεὸν ἅμα τῷ λόγῳ φασὶν, ὡς ἄνθρωπον ἕνα καὶ τὸν αὐτοῦ λόγον, οὐδὲν πλέον τῶν Ἰουδαίων, ὡς ἔφην, δοξάζοντες, τυφλώττοντες ἀπὸ τῆς ἀληθείας, καὶ κεκωφωμένοι ἀπὸ τοῦ θείου λόγου, καὶ κηρύγματος τῆς ζωῆς τῆς αἰωνίου. Οὔτε γὰρ αἰδοῦνται τὸν ἀληθῆ τοῦ εὐαγγελίου λόγον τὸν λέγοντα, Ἐν ἀρχῇ ἦν ὁ λόγος, καὶ ὁ λόγος ἦν πρὸς τὸν θεὸν, καὶ θεὸς ἦν ὁ λόγος· πάντα δι' αὐτοῦ ἐγένετο, καὶ χωρὶς αὐτοῦ ἐγένετο οὐδὲ ἓν ὃ γέγονεν. Εἰ γὰρ ἐν ἀρχῇ ἦν ὁ λόγος, καὶ ὁ λόγος ἦν πρὸς τὸν θεὸν, τὸ [2] υἱὸν εἶναι οὐ κατὰ τὴν προφορὰν μόνον ἐστὶν, ἀλλὰ κατὰ τὴν ὑπόστασιν. Καὶ εἰ ὁ λόγος ἦν πρὸς τὸν θεὸν, οὐχ ὁ λόγος ἐστὶ πρὸς ὃν ἦν· οὐδὲ γὰρ ὁ πρὸς ὃν ἦν ἐστι λόγος. Εἰ γὰρ ἐν καρδίᾳ λόγον θεὸς ἔχει, καὶ οὐ γεγεννημένον, πῶς πληροῦται τὸ Ἦν, καὶ ὅτι θεὸς ἦν ὁ λόγος; οὐ γὰρ ὁ τοῦ ἀνθρώπου λόγος ἄνθρωπος πρὸς τὸν ἄνθρωπον. Οὔτε γὰρ ζῇ, οὔτε ὑπέστη, καρδίας δὲ ζώσης καὶ ὑφεστώσης κίνημά [3] ἐστι μόνον, καὶ οὐχ [4] ὑπόστασις. Λέγεται γὰρ ἅμα καὶ παραχρῆμα οὐκέτι ἔστιν, ἀλλὰ λαλούμενος διαμένει· τοῦ δὲ θεοῦ ὁ λόγος ὥς φησι τὸ
pag. 610. *ἅγιον πνεῦμα ἐν στόματι τοῦ προφήτου, ὁ λόγος σου εἰς τὸν αἰῶνα διαμένει. Συμφώνως δὲ τούτῳ ὁ εὐαγγελιστὴς λέγει, θεὸν ὁμολογῶν φανερωθέντα καὶ παραγενόμενον, οὐ συμπαραλαμβάνων τῇ τοῦ λόγου σαρκώσει τὸν πατέρα. Ὁ λόγος γὰρ, φησὶ, σὰρξ ἐγένετο, καὶ ἐσκήνωσεν ἐν ἡμῖν· καὶ οὐκ εἶπεν, Ὁ λόγος καὶ ὁ πατὴρ σὰρξ ἐγένετο· καὶ ὅτι, Ἐν ἀρχῇ ἦν ὁ λόγος, καὶ ὁ λόγος ἦν πρὸς τὸν θεὸν, καὶ θεὸς ἦν ὁ λόγος· καὶ οὐκ εἶπεν, Ἐν θεῷ ἦν ὁ λόγος.*

Κεφ. δ'. *Καὶ ἵνα μή τινες νομίσωσι κακοβούλως, τὰ φωτεινὰ καὶ ζωτικὰ ῥήματα μεταβάλλοντες εἰς κακίαν ἑαυτῶν καὶ εἰς βλάβην (ἄλλως γὰρ καὶ ἄλλως ἔγκειται ἡ καρδία τοῦ ἀνθρώπου ἐπιμελῶς ἐπὶ τὰ πονηρὰ ἐκ νεότητος), καὶ ἄρξωνται λέγειν, Οὐκ εἶπεν, Ἐν θεῷ ἦν ὁ λόγος, ὡς καὶ σὺ φῄς, ἀλλὰ, Πρὸς θεὸν ἦν ὁ λόγος· [1] ἄρα γοῦν οὐκ ἔστιν ἐκ τῆς ὑποστάσεως τοῦ πατρὸς ὁ λόγος, ἀλλὰ ἐκτὸς θεοῦ ὁ λόγος, — πάλιν ἐπιστρέφει διορθουμένη τοὺς ἑαυτῆς υἱοὺς ἡ ἀλήθεια, ἐξελέγχουσα τὰς διανοίας τὰς κατ' αὐτῆς πορνευούσας, καί φησιν αὐτὸς ὁ μονογενὴς, Ἐγὼ ἐκ τοῦ πατρὸς ἐξῆλθον, καὶ ἥκω· καὶ πάλιν, Ἐγὼ ἐν τῷ πατρὶ, καὶ ὁ πατὴρ ἐν ἐμοί. Ὁ δὲ ἐν τοῖς προφήταις περὶ τοῦ υἱοῦ [2] οὐ σωματικοὺς ἔχων ὄγκους, νοηματικοὺς δὲ ἔχων λόγους, ὑπο-*

2. υἱὸν *mea est emendatio. Libri habent* ὄν. *Petavius coniecit* οὖν.
3. ἔχει *cod. Rhedig.*
4. ὑπόστασιν *cod. Rhedig., cum rasura litterae ultimae.*

que possidet. Quare unam esse dei verbique personam existimant, non secus atque homo unus est cum verbo suo. Neque quicquam amplius, uti dixi, quam Iudaei in opinione sua posuerunt, caeci homines, ne veritatem intueri possint, et surdi, ne divinum verbum atque aeternae vitae praedicationem percipiant. Non enim illi verissimum evangelii testimonium verentur: *In principio erat verbum,* Ioann. 1, 1.
et verbum apud deum, et deus erat verbum: omnia per ipsum facta sunt, et sine ipso factum est nihil quod factum est. Si enim *in principio verbum erat, et verbum erat apud deum,* hoc ipsum quod dicitur esse non ad solam prolationem, sed ad hypostasin par est pertinere. Ac si *verbum apud deum,* non potest verbum ille esse ipse apud quem erat; neque enim apud quem erat est verbum. Quod si verbum illud velut in corde deus continet, nulloque modo genitum, quinam illud impleri potest quod legitur, *Erat,* itemque, *Deus erat verbum?* Non enim verbum hominis homo est apud hominem, quod neque vivit neque subsistit, sed viventis ac subsistentis quidam cordis motus est, non hypostasis. Simul enim profertur, subinde nusquam est, ac tamdiu dum pronuntiatur permanet. At dei verbum perinde se habet ac per os prophetae spiritus sanctus pronuntiat. *Verbum tuum in aeternum permanet.* Huic porro consentanea quae- Ps. 118, 89.
dam evangelii scriptor affirmat, cum deum hominibus apparuisse atque advenisse prodit. Neque cum susceptam a verbo carnem asserit, patrem adiungit. *Verbum enim,* inquit, *caro factum est, et ha-* Ioann. 1, 14.
bitavit in nobis. Non dixit, *Verbum et pater caro factum est.* Similiter dum his verbis utitur: *In principio erat verbum, et verbum erat apud deum, et deus erat verbum,* non dixit, In deo erat verbum.

Ac ne fortassis aliqui perperam ac malitiose haec interpreten- Cap. IV.
tur, et clarissima vitamque conciliantia verba ad suam pravitatem fraudemque convertant. (neque enim uno eodemque modo cor hominis ab iuventute quodam est in mala studio propensum), atque ita dicere aggrediantur: Non ita scripsit Ioannes, *In deo erat verbum,* ut et ipse narras, sed *Apud deum erat verbum;* qua re non est ex patris substantia verbum, sed extra deum: ut igitur iis occurrat, filios rursum suos corrigens veritas ad saniorem mentem reducit, cogitationesque velut contra se meretricio more scortantes redarguit, ita denique unigenitus ipse testatur: *Ego a patre exivi, et venio:* Ioann. 16, 28.
Item: *Ego in patre, et pater in me est.* At pater de filio per pro- Ioann. 14, 10.
phetas loquens, non quasi corporea mole constet, sed intelligibili-

Cap. IV. — 1. ἄρα *liber scriptus* 2. οὐ *excidit ab edit. Petav. uterque.*

καταβαίνων τὴν ἀσθένειαν τῆς ἀνθρωπότητος εἰς αἴσθησιν παραστάσεως, διὰ τῶν ἐν ἡμῖν γιγνομένων τὴν παράστασιν τοῦ υἱοῦ ὅτι ἐξ αὐτοῦ ἀληθῶς γεγέννηται θεὸς ἐκ θεοῦ, θεὸς ἀληθινὸς ἐκ θεοῦ ἀληθινοῦ, οὐκ ἔξωθεν ὤν, ἀλλὰ ἐκ τῆς αὐτοῦ οὐσίας, φάσκει ἐν τῷ Δαβὶδ λέγων, Ἐκ γαστρὸς πρὸ ἑωςφόρου ἐγέννησά σε, ὡς οἱ Ἑβδομήκοντα ἡρμήνευσαν, ὡς δὲ οἱ ἄλλοι ἐκδόται, Ἀκύλας μὲν, Ἀπὸ μήτρας ἐξωρθρισμένης σοι δρόσος παιδιότητός σου, Σύμμαχον δὲ, Ὡς κατ' ὄρθρον δρόσου ἡ νεότης σου, Θεοδοτίων δὲ, Ἐκ μήτρας ἀπὸ πρωῒ νεότητός σου, πέμπτη δὲ ἔκδοσις, Ἐκ μήτρας ἀπὸ ὄρθρου σοι δρόσος ἐν νεότητί σου, ἡ δὲ ἕκτη ἔκδοσις, Ἐκ γαστρὸς ζητήσουσί σε, δρόσος νεανικότητός σου, ἐν δὲ τῷ Ἑβραϊκῷ, Μηρὲμ, μεσσαὰρ, λακτὰλ, ἰελεδεχὲθ, ὅπερ ἐστὶ σαφῶς καὶ ἀναμφιβόλως, Ἐκ γαστρὸς πρὸ ἑωςφόρου ἐγέννησά σε. Τὸ γὰρ Μηρὲμ [3] γαστρός ἐστι, Μεσσαὰρ δὲ pag. 611. τὸ ὀρθριαίτερον πάντων, ὅπερ ἐστὶ, Πρὸ ἑωςφόρου· λακτὰλ, Καὶ πρὸ τῆς δρόσου παιδίον· ἰελεδεχὲθ, τουτέστι τὸ, Ἐγέννησά σε. Ὅπως ἐκ τοῦ λόγου γνῴης ὅτι ὁ ἐνυπόστατος θεὸς λόγος ἐκ πατρὸς φύσει ἐστὶ γεγεννημένος, ἀνάρχως καὶ ἀχρόνως, πρὸ τοῦ τι εἶναι. Οὐ γὰρ τὸν ἑωςφόρον μόνον ἔλεγε τὸν ἀστέρα, καί τοί γε πολλῶν ὄντων τῶν ἄστρων, καὶ ἡλίου καὶ σελήνης ἐν τῇ τετάρτῃ ἡμέρᾳ γενομένων, προγενομένων δὲ θαλάσσης καὶ ξύλων καὶ καρπῶν, στερεώματός τε γῆς καὶ οὐρανοῦ καὶ ἀγγέλων ἅμα σὺν τούτοις γεγονότων. Εἰ μὴ γὰρ ἅμα οὐρανῷ καὶ γῇ καὶ ἄγγελοι ἐκτίσθησαν, οὐκ ἂν ἔλεγε τῷ Ἰὼβ ὅτι, Ὅτε ἐγενήθησαν ἄστρα, ᾔνεσάν με πάντες ἄγγελοί μου φωνῇ. Τὸ οὖν, Πρὸ ἑωςφόρου, ἵνα εἴπῃ πρὸ τοῦ εἶναί τι καὶ κτισθῆναι· ἦν γὰρ ἀεὶ [4] ὁ λόγος σὺν πατρί. Δι' αὐτοῦ γὰρ πάντα γέγονε, καὶ χωρὶς αὐτοῦ ἐγένετο οὐδὲ ἕν.

Κεφ. ε'. Λέξειε δ' ἄν τις, Ἔδειξας εἶναι πρὸ ἄστρων τοὺς ἀγγέλους, ἅμα δὲ οὐρανῷ καὶ γῇ τούτους ἔφης γεγονέναι. Πόθεν πεποίησαι τὴν ἀπόδειξιν; λέγε ἡμῖν, οὐχὶ ἄρα πρὸ τοῦ οὐρανοῦ καὶ τῆς γῆς πάντως γεγόνασιν; οὐδαμοῦ γὰρ τηλαυγῶς σημαίνει τὸν χρόνον τῆς τῶν ἀγγέλων ποιήσεως. Καὶ [1] ὅτι μὲν καλῶς αὐτοὺς ἔδειξας εἶναι πρὸ ἄστρων. Εἰ μὴ γὰρ ἦσαν, πῶς ὕμνουν θεὸν ἐπὶ τῇ τῶν ἄστρων ποιήσει; ἡμεῖς δὲ ἑκάστην ζητήματος εὕρεσιν οὐκ ἀπὸ ἰδίων λογισμῶν δυνάμεθα λέγειν, ἀλλὰ ἀπὸ τῆς τῶν γραφῶν ἀκολουθίας. Τηλαυγῶς γὰρ σημαίνει ὁ τοῦ θεοῦ λόγος ὅτι οὔτε μετὰ τὰ ἄστρα γεγόνασιν ἄγγελοι, οὔτε πρὸ

3. ἐκγαστρὸς *coniectura est Petavii. In seqq. pro* μεσσαὰρ *cod. Rhedig. habet* μεσαὰρ.

4. ὁ *non legitur in edit. Petav.*

Cap. V. — 1. *Ante* ὅτι *cogitatione addas verbum demonstrandi, putandi vel*

bus verbis praeditus, atque ad humanam se imbecillitatem accommodans, quo facilius nostris veluti sensibus obiiciat, ac per ea quae in nobis fiunt filium suum demonstret a se revera esse genitum, deum ex deo, deum verum de deo vero, non extrinsecus ascitum, sed ex ipsius substantia progressum, sic igitur apud Davidem pronuntiat: *Ex utero ante Luciferum genui te,* uti Septuaginta interpre- Ps. 109, 3.
tantur. Ex aliis autem editoribus Aquila ita reddit: *Ab utero diluculo excitato tibi ros pueritiae tuae;* Symmachus porro: *Velut diluculo roris iuventus tua;* Theodotio vero: *Ex utero a matutino tempore iuventutis tuae;* at quinta editio: *Ex utero ab diluculo tibi ros in iuventute tua;* sexta porro editio: *Ex utero quaerent te, ros iuventutis tuae;* postremo in Hebraeo: *Merem, messaar, lactal, ieledecketh,* quod manifeste ac citra ullam ambiguitatem id ipsum significat: *Ex utero ante Luciferum genui te.* Vox enim illa, *Merem,* idem est atque, *E ventre: Messaar* vero, Diluculo prae omnibus, hoc est *ante Luciferum: lactal,* id est *Atque ante rorem puerum: ieledecketh* denique idem est ac, *Genuit te.* Ut ex eo sermone cognoscas deum verbum hypostasi propria praeditum a patre esse genitum, nullo neque initio neque tempore, priusquam aliquid aliud existeret. Nam non Luciferi modo stellam intellexit, cum alia sint permulta sidera, puta sol et luna, quae die IV. condita sunt, et ante mare, arbores, fructusque procreata, praeter quae firmamentum etiam ac terra coelumque productum est, et angeli, qui cum illis extiterunt. Nisi enim cum coelo terraque creati forent angeli, non dixisset Iob,
Cum facta sunt sidera, laudaverunt me omnes angeli mei voce sua. Iob. 38, 7.
Itaque voces illae, *Ante Luciferum,* idem significant ac si diceret, priusquam esset condereturque quidpiam. Verbum enim cum patre semper extitit. Nam *per ipsum omnia facta sunt, et sine ipso factum* Ioann. 1, 3.
est nihil.

Cap. V. Etenim dicat aliquis angelos ante sidera esse monstrasti. Quod autem simul cum coelo terraque productos esse dixisti, cedo quanam id ratione comprobasti? Nonne ante coelum ac terram omnino prodierunt? nusquam enim aperte scriptura tempus expressit, quo angeli procreati sunt. Ac tu quidem priores illos sideribus extitisse non male demonstrasti: alioqui enim quomodo deum ob fabricata sidera praedicarent? Nos autem cuiusque quaestionis dissolutionem non ex ingenio nostro, sed ex scripturarum serie ac consequentia afferre possumus. Atqui illud evidenter divinus sermo declarat, neque post sidera productos angelos, neque ante coelum terramque

concedendi, aut transpone καὶ καλῶς μὲν ὅτι. *Cornarius vertit,* Et bene quidem ostendisti ipsos fuisse ante sydera.

οὐρανοῦ καὶ γῆς, σαφῶς ἀμεταθέτου ὄντος τοῦ ῥητοῦ [2] τοῦ ὅτι πρὸ οὐρανοῦ καὶ γῆς οὐδὲν ἦν τῶν [3] κεκτισμένων, ὅτι ἐν ἀρχῇ ἐποίησεν ὁ θεὸς τὸν οὐρανὸν καὶ τὴν γῆν, ὡς ἀρχῆς οὔσης κτίσεως, καὶ οὐδὲν πρὸ αὐτῆς τῶν κεκτισμένων.

Οὐ δύναται οὖν, ὡς προεῖπον, ὁ ἐν ἀνθρώπῳ λόγος ἄνθρωπος καλεῖσθαι, ἀλλὰ λόγος ἀνθρώπου. Εἰ δὲ ὁ λόγος τοῦ θεοῦ θεός ἐστιν, οὐκ ἔστιν ἀνυπόστατος λόγος, ἀλλὰ ἐνυπόστατος θεὸς λόγος ἐκ τοῦ θεοῦ γεγεννημένος, ἀνάρχως καὶ ἀχρόνως· ὁ γὰρ λόγος σὰρξ ἐγένετο, καὶ ἐσκήνωσεν ἐν ἡμῖν, καὶ εἴδομεν τὴν δόξαν αὐτοῦ, δόξαν ὡς μονο-
pag. 612. γενοῦς παρὰ πατρὸς, πλήρης χάριτος καὶ ἀληθείας. Ἰωάννης μαρτυρεῖ περὶ αὐτοῦ, καὶ κέκραγε λέγων, Οὗτός ἐστιν ὃν εἶπον [4] ὑμῖν, ὁ ὀπίσω μου ἐρχόμενος ἔμπροσθέν μου γέγονεν, ὅτι πρῶτος μου ἦν· οὗτος ἦλθεν εἰς τὸν κόσμον, ἵνα σωθῇ ὁ κόσμος δι' αὐτοῦ. Ἐν τῷ κόσμῳ ἦν, καὶ ὁ κόσμος δι' αὐτοῦ ἐγένετο, καὶ ὁ κόσμος αὐτὸν οὐκ ἔγνω. Ὁρᾷς μονογενῆ λόγον; ὁρᾷς ἐν κόσμῳ πεπληρωμένον [5] ἐν ἀνθρώποις, καὶ πλήρη ἔχοντα δόξαν μονογενοῦς παρὰ πατρός; οὐχ ὡς τοῦ πατρὸς ὄντος λόγου· οὐ πατρὸς ἅμα λόγῳ συναλιφῇ πεφηνότος, ὡς ἄνθρωπος ἅμα τῷ ἑαυτοῦ λόγῳ φαινόμενος, καὶ ὁ λόγος αὐτοῦ οὐ δύναται φανῆναι ἐὰν μὴ παρῇ ὁ φθεγγόμενος τὸν λόγον. Τίνι τοίνυν πιστεύσω; τίνι συνθῶμαι; παρὰ τίνων λάβω ζωὴν ἐν μαθήμασι; Παρὰ τῶν ἁγίων εὐαγγελιστῶν καὶ πνευματοφόρων, τῶν τὸν λόγον παρὰ πατρὸς ἀπεσταλμένον φησάντων; ἢ τούτων τῶν ἀπὸ Παύλου τοῦ Σαμοσατέως, τῶν σὺν τῷ λόγῳ θεὸν, καὶ λόγον σὺν τῷ θεῷ φασκόντων, τῶν ἓν πρόσωπον πατρὸς πρὸς τὸν λόγον, καὶ τὸν λόγον πρὸς τὸν πατέρα ὁριζόντων; Εἰ δὲ ἓν τὸ πρόσωπον, πῶς ὁ μὲν ἀποστέλλει, ὁ δὲ ἀποστέλλεται; ἀποστελεῖς γὰρ, φησὶ ὁ προφήτης, τὸν λόγον, καὶ τήξει αὐτά· πνεύσει τὸ πνεῦμα αὐτοῦ, καὶ ῥυήσεται ὕδατα. Καὶ πάλιν, Ἐγὼ ἐξῆλθον ἐκ τοῦ πατρός μου, καὶ ἥκω. Καὶ, Ζῶ ἐγὼ, καὶ ζῇ ἐν ἐμοὶ ὁ ἀποστείλας με πατήρ. Πῶς οὖν ἀποστέλλεται ὁ ἀποσταλεὶς, καὶ διὰ σαρκὸς φαίνεται; θεὸν γὰρ οὐδεὶς πώποτε ἑώρακεν. Ὁ μονογενὴς θεὸς, ὁ ὢν εἰς τὸν κολπὸν τοῦ πατρὸς, ἐκεῖνος ἐξηγήσατο. Καί φησι, Ὁ μονογενὴς θεός· ὁ μὲν γὰρ λόγος ἐστὶν ἐκ πατρὸς γεννηθεὶς, ὁ πατὴρ δὲ οὐκ ἐγεννήθη, διὰ τοῦτο μονογενὴς υἱός.

Κεφ. ϛ'. Προὔλαβε γὰρ ἡ θεῖα γνῶσις, κηρύττουσα ἑαυτῆς τὴν ἀλήθειαν, διὰ τὴν αὐτῆς πρόγνωσιν, εἰς ἀσφάλειαν τῶν ἡμετέρων ψυχῶν, ἐπειδήπερ ᾔδει τοῦ Σαμοσατέως τὴν ἄνοιαν, καὶ τῶν Ἀρειανῶν τὴν κακοδοξίαν, καὶ τῶν Ἀνομοίων τὴν κακουργίαν, καὶ τῶν Μανιχαίων τὴν πτῶσιν, καὶ λοιπῶν αἱρέσεων τὴν κακομηχανίαν. Καὶ διὰ τοῦτο περὶ ἑκάστης λέξεως ἀσφαλίζεται ἡμᾶς ὁ θεῖος λόγος. Τὸν μὲν γὰρ πατέρα

2. τοῦ *non habet ed. Petav.*
3. ἐκτισμένων *cod. ms. uterque.*
4. *Ita uterque liber ms. In editis est* ἡμῖν.

constitutos. Est enim certa illa et immutabilis sententia, ante coelum ac terram nihil omnino conditarum rerum extitisse, quoniam *In principio creavit deus coelum et terram.* Ut illud sit creandi principium ante quod creatis ex rebus omnino nulla fuerit. Gen. 1, 1.

Quamobrem non potest, uti diximus, quod inest in homine verbum homo nuncupari, sed hominis verbum. Quod si dei verbum deus est, subsistentia minime caret, adeoque deus verbum subsistit, a deo genitus, sine initio ullo ac tempore; *Verbum enim caro factum* Ioann. 1, 14. *est, et habitavit in nobis, et vidimus gloriam eius, gloriam quasi unigeniti a patre, plenum gratiae et veritatis. Ioannes de illo testatur, et clamat dicens, Hic est quem dixi vobis: qui post me venit, ante me factus est, quia prior me erat: hic venit in mundum, ut salvetur mundus per ipsum: in mundo erat, et mundus per ipsum factus est, et mundus eum non cognovit.* Vides unigenitum verbum? Vides in mundum completum inter homines, ac plenam a patre unigeniti gloriam obtinentem? Non ut pater ipse sit verbum, aut cum verbo coalescens apparuerit, velut homo cum verbo ipsius apparet; neque illius verbum apparere potest, nisi adsit qui illud eloquitur. Cuinam igitur adhibeo fidem? Cuinam assentiar? A quibusnam vitam in disciplinis accipiam? Num ab sanctis evangeliorum scriptoribus et afflatu sancti spiritus impulsis, qui verbum a patre missum esse prodiderunt? An a Pauli Samosateni discipulis, qui cum verbo deum, et cum deo verbum esse dicunt? qui patris cum verbo, et verbi cum patre comparati unam esse personam definiunt? At si unica duntaxat est persona, quomodo hic mittit, ille vero mittitur. *Emittes enim*, ait propheta, *verbum, et liquefacit ea: flabit spiritus* Ps. 14, 18. *eius, et fluent aquae.* Item, *Exivi a patre meo, et venio;* et, *Vivo* Ioann. 16, 28. *ego, et vivit in me qui misit me pater.* Quomodo qui missus est Ioann. 6, 57. mitti potest, et in carne prodire? *Deum enim nemo vidit unquam.* 1. Ioann. 4, 12. *Unigenitus deus qui est in sinu patris, ille narravit*, ait unigenitus deus: quoniam verbum a patre genitum est, pater autem a nullo genitus; ob id unigenitus est filius.

Etenim divina scientia pro sua providentia veritatem suam praedicare ante voluit, quo animas nostras cautione ac securitate muniret. Noverat enim et Samosatensis vecordiam, et Arianorum impium dogma, et Anomoeorum improbitatem, et Manichaeorum ruinam, et ceterarum haereseon calliditatem ac fraudem, proindeque de singulis propemodum vocibus securitati nostrae divinus sermo consulit. Patrem enim unigenitum non appellat; unigenitus enim Cap. VI.

5. ἐν abest a cod. Rhedig.

οὐ λέγει μονογενῆ. Πῶς γὰρ μονογενὴς ὁ μὴ γεγεννημένος; τὸν δὲ υἱὸν μονογενῆ, ἵνα μὴ ὁ υἱὸς νομισθείη πατὴρ, καὶ ἵνα μὴ ὡς λόγος
pag. 613. ἐν καρδίᾳ ἀνθρώπου ἀπεικασθῇ ὁ θεὸς λόγος. Εἰ γὰρ λόγος λέγεται, διὰ τὴν τοιαύτην χρῆσιν λέγεται, ἵνα μὴ νομίσῃ τις ἀλλότριον εἶναι τῆς τοῦ θεοῦ πατρὸς οὐσίας, καὶ οὐκέτι λόγος ἀνυπόστατος, ἀλλὰ ἐνυπόστατος, διὰ τὸ, Μονογενὴς πλήρης χάριτος καὶ ἀληθείας. Καὶ ὁρᾷς πόσα ἔστι πρὸς ἀσφάλειαν τῆς ἡμετέρας ζωῆς; Τὸ γοῦν, Θεὸν οὐδεὶς πώποτε ἑώρακεν, ἵνα τὸ ἀόρατον τοῦ πατρὸς σημάνῃ, καὶ τῆς αὐτοῦ θεότητος, ἵνα τὴν ἰδίαν θεότητα διὰ τῆς σαρκὸς φαινομένην ἐπιβεβαιώσῃ.

Πόσα δὲ ἄλλα, καὶ ἐπέκεινα τούτων, εἰς παράστασιν ἡμῖν ἀναλέξειέ τις, καὶ παραστήσειε πρὸς τὴν τοῦ Σαμοσατέως ἄνοιαν; Εἰ γὰρ ἦν ἐν τῷ πατρὶ, ὡς ὁ λόγος ἐν καρδίᾳ ἀνθρώπου, πῶς παραγέγονε διὰ ἰδίας θεωρίας φθεγγόμενος; ἐν τῷ γὰρ αὐτὸν διηγεῖσθαι τοῖς αὐτοῦ μαθηταῖς φάσκει, Ὁ ἑωρακὼς ἐμὲ ἑώρακε τὸν πατέρα. Καὶ οὐκ εἶπεν, Ἐγώ εἰμι ὁ πατὴρ, ἀλλὰ τὸ Ἐμὲ ἐν τῷ πατρὶ σημαίνει. Καὶ οὐκ εἶπεν, Ἐγώ εἰμι ἐκεῖνος, ἀλλ', Ἐγὼ ἦλθον ἐπὶ τῷ ὀνόματι τοῦ πατρός μου, καὶ, Ἐκεῖνός ἐστιν ὁ μαρτυρῶν περὶ ἐμοῦ. Καὶ πάλιν περὶ τοῦ πνεύματος τοῦ ἁγίου ὅτι, Ἄλλον παράκλητον ὑμῖν ἀποστελῶ. Ὅρα πῶς [1] τὸ Ἀποστελεῖ, καὶ [2] τὸ Ἄλλον τοῦ Ἐγὼ, ἵνα δείξῃ πατέρα ἐνυπόστατον, πνεῦμα ἅγιον ἐνυπόστατον, Ἐκεῖνός με γὰρ δοξάσει, περὶ τοῦ ἁγίου πνεύματος λέγων, [3] ὅτι τοῦ ἐμοῦ λήψεται. Καὶ ποῖόν φησι τὸ, Ἐκ πατρὸς ἐκπορευόμενον, [4] καὶ, Τοῦ ἐμοῦ λήψεται; Ἀλλὰ καί φησι, Δύο μαρτυρίαι ἀνθρώπων σταθήσονται, καὶ, Ἐγὼ μαρτυρῶ ἐπὶ ἐμαυτοῦ, καὶ, Μαρτυρεῖ περὶ ἐμοῦ ὁ ἀποστείλας με πατήρ. Πόσα δὲ ἄλλα τοσαῦτα, καὶ ἐπέκεινα τούτων; Ἰδοὺ γὰρ, φησὶ, ἐξομολογοῦμαί σοι πάτερ κύριε οὐρανοῦ καὶ γῆς, ὅτι ἀπέκρυψας ταῦτα ἀπὸ σοφῶν καὶ συνετῶν, καὶ ἀπεκάλυψας αὐτὰ νηπίοις· ναὶ ὁ πατὴρ, ὅτι οὕτως γέγονεν εὐδοκία ἔμπροσθέν σου. Πάντα μοι παρεδόθη ὑπὸ τοῦ πατρός μου, καὶ οὐδεὶς οἶδε τὸν υἱὸν εἰ μὴ ὁ πατὴρ, καὶ τὸν πατέρα οὐδεὶς ἔγνω εἰ μὴ ὁ υἱὸς, καὶ ᾧ ἐὰν ὁ υἱὸς ἀποκαλύψῃ. Ἀπεκάλυψας γὰρ νηπίοις, καὶ, Πάντα μοι παρεδόθη ὑπὸ τοῦ πατρός μου, ἵνα ἐκκόψῃ τὴν τούτων ἐπινενοημένην ξενολεξίαν.

Κεφ. ζ. Ἀλλ' ὅρα τὸν ἀεὶ ἀντιπολεμοῦντα τῇ τῶν ἀνθρώπων φύσει διάβολον, τί ἐν αὐτοῖς ἐνεκίσσησεν, ὥςπερ ἀπὸ διαβολικῆς ἐνεργείας τοῦ λέγειν. Δῆθεν γὰρ ἀπολογοῦνται πρὸς ταῦτα οἱ τῆς τῶν Ἰουδαίων
pag. 614. αἱρέσεως ὑπηρέται, ὑπὲρ τούτου αἰσχυνόμενοι διὰ τὴν τῶν θείων εὐ-

Cap. VI. — 1. *Immo* τὸ Ἀποστελῶ? 2. τὸ Ἄλλον τοῦ Ἐγὼ *mea est emendatio, cum libri praebeant* τὸ ἄλλον τὸ ἐγὼ, *quod Petavius in* τὸ ἄλλον, καὶ τὸ ἐγὼ *mutandum esse censuit. Solves brachylogiam vertendo* Animadverte quomodo vocibus illis utatur, *Mittam*, et *Alium* ab illo *Ego*, et diversum *cett.*

esse qui potest, qui nunquam sit genitus? Filium vero unigenitum vocat; ne is pater existimetur, aut ne verbo, quod in hominis est pectore, deus verbum similis esse credatur. Quod enim verbum dicitur, id eo fit, ne quis a dei patris substantia alienum esse suspicetur. Neque verbum illud subsistentia caret, sed ea praeditum est; quod his verbis declaratur: *Unigenitus plenus gratiae et veritatis.* Ioann. 1, 14. Vides quam multis praesidiis vita nostra muniatur? Iam vero quod scriptum est, *Deum nemo vidit unquam*, hunc usum habet, ut 1. Ioann. 4, 12. patrem eiusque divinitatem minime sub aspectum cadere monstraret, quo divinitatis suae, quae per carnem apparebat, fidem astrueret.

Quam multa praeterea ad eam rem comprobandam colligi possunt, et adversus Samosatensis insaniam afferri? Etenim si in patre esset, quemadmodum hominis in corde verbum, quinam adesse potuit, atque ex propria intelligentia sententiaque loqui? Cum enim ad discipulos suos verba faceret, ita dixit: *Qui vidit me, vidit patrem.* Ioann. 14, 9. Non dixit, *Ego sum pater*, sed vox *Me* in patre significat. Neque vero dixit, Ego sum ille, sed, *Veni in nomine patris mei;* Ioann. 8, 18. et: *Hic est qui testimonium perhibet de me.* Item de spiritu sancto, *Alium paracletum mittam vobis.* Ioann. 15, 26. Animadverte quemadmodum vocibus illis utatur, *Mittam alium* et *Ego*, quo et patrem et spiritum sanctum sua utrumque constare doceret hypostasi. *Ille me clarificabit*, Ioann. 16, 14. ait de spiritu sancto loquens, *quia de meo accipiet.* Qualemnam autem illum facit? *Qui a patre procedit*, inquit, *et de meo accipiet.* Quinetiam alio in loco, *Duo hominum*, ait, *testimonia stabunt;* Ioann. 8, 14. 17. 18. et, *Ego testimonium praebeo de meipso*, et, *Testimonium praebet de me qui misit me pater.* Quam multa sunt numero totidem adeoque plura testimonia? Ecce tibi sic ille quodam in loco narrat. *Confiteor tibi pater domine coeli ac terrae, quoniam abscondisti haec a sapientibus et prudentibus, et revelasti ea parvulis: ita pater, quoniam sic placitum est ante te. Omnia mihi tradita sunt a patre meo, et nemo novit filium nisi pater; et patrem nemo novit nisi filius, et cui filius revelaverit:* Matth. 11, 25.-27. *Revelasti*, inquit, *ea parvulis*, et, *Omnia mihi tradita sunt a patre meo*, ut peregrinam ab istis excogitatam loquendi rationem praecideret.

Cap. VII. Aspice nunc quid humani generis assiduus hostis diabolus in eorum animis pepererit, quod velut illius afflatu perciti pronuntiarent. Nam adversus illa purgare sese student Iudaicae opinionis satellites, quandoquidem lux illa doctrinae, quae in divinis evangeliis

Petavio praeivit Cornarius vertens voces Mittam, et Alium, et Ego. 3. *Sic libri manu exarati et ed. pr. At Petavius edidit* ὅτι ἐκ τοῦ ἐμοῦ. 4. *Ita libri mss. et ed. pr. Petavius edidit* καὶ ἐκ τοῦ ἐμοῦ.

αγγελίων σαφῆ ὑφηγήσεως διδασκαλίαν, ἵνα μὴ ὀφθῶσι τελειότατα ἀντιπράττοντες τῇ τοῦ εὐαγγελίου ἀληθινῇ γνώσει. Φάσκουσι γὰρ ὅτι ἄνθρωπος ἦν ὁ Ἰησοῦς, καὶ ἐν αὐτῷ ἐνέπνευσεν ἄνωθεν ὁ λόγος, καὶ ταῦτα περὶ ἑαυτοῦ ὁ ἄνθρωπος λέγει. Ὁ πατὴρ γὰρ ἅμα τῷ υἱῷ εἷς θεός, ὁ δὲ ἄνθρωπος κάτωθεν τὸ ἴδιον πρόσωπον ὑποφαίνει, καὶ οὕτως τὰ δύο πρόσωπα πληροῦνται. Πῶς οὖν ἄνθρωπος θεὸς δύναται εἶναι, ὦ πάντων ἀνθρώπων ἀβέλτερε, καὶ ἀπὸ τοῦ ἐπουρανίου φρονήματος τὸν νοῦν ἀπεστραμμένε; πῶς δύναται ἄνθρωπος εἶναι ψιλὸς κατὰ σέ, ὁ λέγων, Ὁ ἑωρακὼς ἐμὲ ἑώρακε τὸν πατέρα; Εἰ γὰρ ὁ ἄνθρωπος ὡς ὁ πατήρ, οὐδὲν διαλλάττει ὁ πατὴρ τοῦ ἀνθρώπου. Εἰ δὲ ὁ θεὸς λόγος, ὁ ἐνανθρωπήσας ἐν τελειότητι, τελείως ὢν ἐστι θεὸς ἄνωθεν ἀπὸ πατρὸς γεγεννημένος, δικαίως καὶ σαφῶς φθέγγεται περὶ ἑαυτοῦ λέγων ὅτι, Ὁ ἑωρακὼς ἐμὲ ἑώρακε τὸν πατέρα· ὡς καὶ οἱ Ἰουδαῖοί φασι περὶ αὐτοῦ. Οὐ μόνον γάρ, φησί, ἐζήτουν ἀποκτεῖναι αὐτόν, ὅτι ταῦτα ἐποίει, ἀλλ' ὅτι καὶ υἱὸν θεοῦ ἑαυτὸν ἔλεγεν, ἴσον θεῷ ἑαυτὸν φάσκων. Τὸ γὰρ εἰπεῖν πάλιν, Ὁ ἑωρακὼς ἐμὲ ἑώρακε τὸν πατέρα, τὸν πατέρα θεὸν ἴσον ἑαυτοῦ φάσκει. Οὐκ ἄνθρωπος δέ ἐστιν ἴσος θεῷ, οὐδὲ ὡς θεός, ἀλλὰ ἐν ἀληθείᾳ γεγεννημένος ἐκ θεοῦ πατρὸς θεὸς υἱὸς μονογενής. Φησὶ γὰρ περὶ αὐτοῦ Παῦλος, Ὃς ἐν μορφῇ θεοῦ ὑπάρχων οὐχ ἁρπαγμὸν ἡγήσατο τὸ εἶναι ἴσα θεῷ, ἀλλ' ἑαυτὸν ἐκένωσε μορφὴν δούλου λαβών. Τὸ μὲν περὶ θεοῦ, ἦν ἐν μορφῇ, περὶ δὲ τῆς τοῦ δούλου μορφῆς, προςληπτὴν ἀπέφηνε, καὶ οὐκ εἶπεν αὐτοῦ οὖσάν ποτε. Πολλάκις δὲ καὶ ἀνθρωπίνως διαλέγεται ὁ σωτὴρ ἡμῶν καὶ κύριος Ἰησοῦς Χριστός, ὁ θεὸς λόγος, καὶ πολλάκις ἀνθρωποπαθῶς φθέγγεται, ἀλλ' οὐχ ὅτε λέγει, Ἐκ τοῦ πατρός μου ἐξῆλθον, καὶ ἥκω. Τοῦτο γὰρ οὐ δύναται ἀπὸ ἀνθρωπότητος λέγεσθαι· ἀλλ' ὅτε δικαίως ἐπιμαρτυρεῖ λέγων, Ἐὰν ἐγὼ μαρτυρῶ περὶ ἐμαυτοῦ, ἡ μαρτυρία μου οὐκ ἔστιν ἀληθής, ἵνα δείξῃ τὴν ἑαυτοῦ ἐνανθρώπησιν, καὶ τὸ ἀνάπαλιν περὶ θεότητος λέγων, Κἂν τε ἐγὼ μαρτυρῶ περὶ ἐμαυτοῦ, ἡ μαρτυρία μου ἀληθής ἐστιν, ἵνα δείξῃ ἀληθινὴν θεότητα καὶ ἀληθινὴν ἐνανθρώπησιν.

Κεφ. η'. pag. 615. Οὐ δύο τοίνυν θεοί, ὅτι οὔτε δύο πατέρες· οὐδὲ ἀνῄρηται ἡ ὑπόστασις τοῦ λόγου, ὅτι οὐ μία συναλιφὴ θεότητος υἱοῦ πρὸς πατέρα. Οὐ γάρ ἐστιν ἑτεροούσιος ὁ υἱὸς τοῦ πατρός, ἀλλὰ ὁμοούσιος τῷ πατρί. Οὐ δύναται δὲ εἶναι ἑτεροούσιος τῷ γεγεννηκότι, οὐδὲ ταὐτοούσιος, ἀλλὰ ὁμοούσιος. Οὐδὲ πάλιν λέγομεν αὐτὸν μὴ εἶναι ταὐτὸν τῇ οὐσίᾳ τῷ πατρί. Ἔστι γὰρ ταὐτὸν τῇ θεότητι καὶ τῇ οὐσίᾳ ὁ

clarissime fulget, nonnullo pudore illos afficit, ne sincerae evangelii cognitioni penitus repugnare videantur. Quare ita disputant: hominem fuisse Iesum, cui de coelo verbum aspiraverit; unde illa omnia de seipso, quatenus est homo, profitetur. Etenim pater unus est cum filio deus; homo vero ex inferiori ordine propriam personam prae se fert. Ita personae omnino conficiuntur duae. Verum homo deus esse, o mortalium omnium stolidissime, atque ab coelesti sapientia alienissime! qui potest? Potest, id quod asseris, homo esse simplex qui ita de se loquitur: *Qui vidit me, vidit et patrem?* Nam Ioann. 14, 9.
si homo eiusmodi est qualis est pater, nihil hic ab homine discrepabit. Atqui deus verbum, qui perfectissime naturam hominis induit, perfectus aeque deus a patre ante omnia progenitus, non minus iure quam evidenter de seipso testatur: *Qui vidit me, vidit et patrem*, quemadmodum ex Iudaeorum de illo sermone constat: *Non* Ioann. 5, 18.
enim solum, ait Ioannes, *quaerebant interficere ipsum, quod haec faceret, sed etiam, quia filium dei sese diceret, aequalem deo seipsum asserens.* Nam cum illis verbis utitur: *Qui vidit me, vidit et patrem*, aequalem sibi deum patrem constituit. At homo similis deo, aut sicut deus, esse non potest, sed is nimirum qui a deo patre deus unigenaque filius revera processit. De quo ista testatur apostolus. *Qui cum in forma dei esset, non rapinam arbitratus est esse aequalem* Phil. 2, 6.
deo, sed semetipsum exinanivit formam servi accipiens. Ex quibus illa verba, *In forma esset*, ad deum pertinent. Quod autem ad servilem formam attinet, extrinsecus ascitam esse declarat, nec illius aliquando fuisse significat. Sed persaepe accidit ut salvator noster ac dominus Iesus Christus deusque verbum quaedam humano more et ad hominum affectiones accommodate proferat. Quod tum minime fecit cum diceret, *A patre meo exivi, et venio.* Neque enim istud Ioann. 16, 28.
ex hominis natura proficisci potuit. Sed id demum usurpavit cum de se iure ita testatus est: *Si ego testimonium perhibeo de meipso,* Ioann. 5, 31.
testimonium meum non est verum; quo suam humanitatem ostenderet. At e contrario de sua divinitate sermonem instituens, *Etsi*, inquit, Ioann. 8, 18.
ego testimonium perhibeo de meipso, testimonium meum verum est; ut veram in se divinitatem atque humanitatem exprimeret.

Quocirca neque dii sunt, neque patres duo, neque verbi per- Cap. VIII.
sona tollitur, quoniam filii divinitas nequaquam in unum cum patre conflatur. Non enim filius alterius est quam pater substantiae, sed consubstantialis patri. Neque potest aut alterius esse a genitore substantiae, aut eiusdem substantiae, ac persona minime distinctae, sed consubstantialem esse, uti diximus, oportet. Iam vero non idcirco idem esse cum patre, quod ad essentiam attinet, negandum

υἱὸς πρὸς τὸν πατέρα, καὶ οὐκ ἀλλοῖος παρὰ τὸν πατέρα, οὐδὲ ἀπὸ ἄλλης ὑποστάσεως, ἀλλὰ ὡς ἀληθῶς υἱὸς πατρὸς τῇ τε οὐσίᾳ καὶ τῇ ὑποστάσει καὶ τῇ ἀληθείᾳ. Ἀλλ' οὐχ ὁ πατήρ ἐστιν ὁ υἱὸς, οὐδὲ ὁ υἱός ἐστιν ὁ πατὴρ, ἀλλὰ υἱὸς ἀληθῶς ἐκ πατρὸς γεγεννημένος. Διὸ οὔτε δύο θεοὶ, οὔτε δύο υἱοὶ, οὔτε δύο ἅγια πνεύματα, ἀλλὰ μία θεότης ἡ τριὰς, πατὴρ, υἱὸς, καὶ ἅγιον πνεῦμα, ὁμοούσιος οὖσα. Ὅταν γὰρ εἴπῃς ὁμοούσιον, οὐ συναλιφὴν σημαίνει· τὸ γὰρ ὁμοούσιον οὐχ ἑνός ἐστι σημαντικὸν, οὐδὲ τοῦ ὄντος υἱοῦ πρὸς πατέρα γνησίου τὴν οὐσίαν διΐστησι, καὶ τὴν ὑπόστασιν ἀπαλλοτριοῖ, διὰ τὸ ὁμοούσιον. Οὐ γὰρ ἀρχὰς δύο κηρύττει ὁ θεῖος λόγος, ἀλλὰ μίαν ἀρχήν. Συνελεύσεται γὰρ, φησὶ, ὁ οἶκος Ἰούδα, καὶ ὁ οἶκος Ἰσραὴλ, καὶ θήσονται ἑαυτοῖς ἀρχὴν μίαν. Ὁ τοίνυν ἀρχὰς δύο κηρύττειν δύο θεοὺς κηρύττει. Καὶ ὁ ἀναιρῶν τὸν λόγον καὶ τὴν αὐτοῦ ὑπόστασιν, Ἰουδαϊσμὸν ὑποφαίνει. Μαρκίων γὰρ δύο ἀρχὰς ὑποφαίνει, μᾶλλον δὲ τρεῖς ἑαυταῖς ἐναντίας, οἱ δὲ νέοι Ἰουδαῖοι, Σαμοσατῖται οὗτοι, ἀναιροῦσι τὴν ὑπόστασιν τοῦ λόγου, ἵνα κυριοκτόνοι καὶ αὐτοὶ ἀποφανθῶσι, καὶ ἐπαρνησίθεοι τῆς τοῦ κυρίου ἡμῶν σωτηρίας.

Μία γοῦν ἡ ἀρχὴ, καὶ ἐξ αὐτῆς ὁ υἱὸς εἰκὼν ἀκριβὴς, φύσει ἐκτυποῦσα τὸν ἴδιον πατέρα, καὶ ὁμοία κατὰ πάντα τρόπον, ὅτι θεὸς ἐκ θεοῦ, καὶ υἱὸς ἐκ πατρὸς, θεὸς ἀληθινὸς ἐκ θεοῦ ἀληθινοῦ, καὶ φῶς ἐκ φωτὸς, μία οὖσα θεότης, καὶ ἓν ἀξίωμα. Διό φησι, Ποιήσωμεν ἄνθρωπον κατ' εἰκόνα ἡμετέραν, καὶ καθ' ὁμοίωσιν· οὔτε Κατ' εἰκόνα σὴν, ἵνα μὴ διέλῃ, οὔτε Κατ' εἰκόνα ἐμὴν ἵνα μὴ ἀνόμοιον καὶ ἄνισον ἀποφάνῃ, Κατ' εἰκόνα δὲ ἡμετέραν· καὶ τὸ Ποιήσωμεν, ἵνα μὴ ἀλλότριος ᾖ ὁ πατὴρ τῶν γενομένων ὑπ' αὐτοῦ, μηδὲ ὁ μονογενὴς ἀλλότριος τῆς δημιουργίας. Ἀλλὰ ὁ πατὴρ σὺν τῷ υἱῷ δημιουργεῖ,
pag. 616. καὶ ὁ υἱὸς, δι' οὗ τὰ πάντα γέγονε, συνδημιουργὸς τῷ πατρὶ, καὶ διὰ τὸ ἐξ αὐτοῦ [1] γεγεννῆσθαι τὸν υἱὸν εἷς θεὸς τέλειος, ἐκ τελείου πατρὸς, καὶ πατὴρ τέλειος τελείου υἱοῦ, τῆς πατρικῆς τελειότητος ἔχοντος τὴν εἰκόνα, εἰκὼν θεοῦ τοῦ ἀοράτου, οὐ παράδειγμα εἰκόνος, οὐκ εἰκὼν εἰκόνος, οὐκ ἀνόμοιος, ἀλλ' εἰκὼν τοῦ πατρὸς, ἵνα τὸ ἀπαράλλακτον δείξῃ τῆς ἀπὸ τοῦ ἀνάρχου καὶ ἀχρόνου γεννήσεως ἐν ἀληθείᾳ.

Εἰκὼν τοίνυν ὁ υἱὸς τοῦ πατρός. Καὶ γὰρ καὶ οἱ βασιλεῖς οὐ διὰ τὸ ἔχειν εἰκόνα δύο εἰσὶ [2] βασιλεῖς, ἀλλὰ βασιλεὺς εἷς σὺν τῇ εἰ-

Cap. VIII. — 1. Ita libri manu exarati. In editis est γεγενῆσθαι.

putamus. Est enim divinitate idem et essentia cum patre filius, nec ab eo diversus, aut ex aliena quadam hypostasi, sed vere patris et essentia et hypostasi et veritate filius, tametsi neque pater sit filius, neque filius vicissim pater, sed filius a patre revera genitus. Ex quo fit ut non duo sint dii, filiique duo, non spiritus sancti duo, sed una sit in trinitate divinitas, pater, filius et spiritus sanctus, planeque consubstantialis existat. Nam haec ipsa vox, *Consubstantialis*, non coniunctionem ac conflationem declarat; non enim eiusmodi vocabulum unum quiddam indicat, neque germani a patre filii substantiam secernit, aut hypostasin alienam facit, ut sibi consubstantialis ratio constare possit. Siquidem unum tantummodo, non duo principia, divinus sermo praedicat. *Convenient*, inquit, *domus Iuda, et* Ose. 1, 11.
domus Israel, et constituent sibi ipsis principatum unum. Quare qui duo principia proponit, totidem deos obtrudit. Quisquis autem verbum, eiusque personam tollit e medio, Iudaicam impietatem ostendit. Marcion sane principia duo, vel tria potius, et quidem contraria invicem, affirmat, at novi Iudaei, Samosateni, inquam, isti, verbi personam detrahunt; ut et ipsi domini interfectores, ac dei, et allatae nobis a domino salutis inficiatores habeantur.

Maneat igitur unum esse principium, a quo filius manarit, velut imago quaedam accurata, quae patrem suum referat proprie, eique in omnibus similis existat. Quoniam deus est ex deo, et a patre filius, deus verus de deo vero, lumen de lumine, una scilicet divinitas, unaque dignitas. Ob id tota loquitur: *Faciamus hominem ad* Gen. 1.
imaginem nostram et similitudinem. Non Ad imaginem tuam dixit, ne divisionem induceret, neque Ad imaginem meam, ne dissimilem et inaequalem ostenderet, sed *Ad imaginem nostram*. Illud vero *Faciamus* eo pertinet, ne aut ab iis quae produxit abalienetur pater, aut a procreandi functione filius extraneus putetur. Ac vero pater una cum filio molitur, filius item, per quem facta sunt omnia, operis et ipse cum patre est artifex. Tum quia filius ab illo genitus est, unus perfectusque deus, ex patre perfecto, et perfecti filii perfectus pater, qui quidem paternae perfectionis imaginem obtinet, imago minime aspectabilis dei, non imaginis exemplum, neque imaginis imago, neque dissimilis, sed imago patris, ut verissimam illam a patre principii ac temporis experte generationem nulla in re variam dissimilemque monstraret.

Quamobrem imago patris est filius. Nam et reges pro eo quod imaginem habent, non idcirco reges duo sunt, sed unus rex est dun-

2. βασιλεὺς *ed. pr.*

κόνι, [3] εἷς βασιλεύς. Οὐχὶ ἕν τι ἐκ δύο μερῶν ἀτελὲς ὑπάρχον, ἀλλὰ τέλειος ὁ πατὴρ, τέλειος ὁ υἱὸς, τέλειον τὸ ἅγιον πνεῦμα. Ἐγὼ γὰρ ἐν τῷ πατρί· οὐχ ὡς λόγος ἐν καρδίᾳ ἀνθρώπου, ἀλλὰ πατέρα οἴδαμεν νοητὸν σὺν υἱῷ, καὶ υἱὸν ἀπὸ πατρὸς γεγεννημένον. Καὶ οὐχ ὡς ἐν ἀνθρώπῳ ἐλθὼν εἰς οἰκητήριον ὁ θεῖος λόγος, [4] καὶ μετὰ τὸ γεγεννῆσθαι ὀφθέντα ἐν αὐτῷ τὸν λόγον, καὶ πάλιν ἐν θεῷ ὑπάρχοντα ἄνω, ὡς ἐν καρδίᾳ ἀνθρώπου λόγος. Ταῦτα γὰρ τῆς τοῦ δαίμονος ἐμβροντήσεώς ἐστι, καὶ ἐπαρνησιθείας πάσης ἔχοντα τοὺς χαρακτῆρας.

Κεφ. θ'. Ταῦτα δὲ τὰ ὀλίγα πρὸς τὴν τούτου αἵρεσιν καλῶς ἔχειν δοκιμάσαντες· οὐ δυςχερὴς γὰρ ἡ τούτων δύναμις, οὔτε μὴ δυναμένη ὑπὸ πάντων συνετῶν ἀνατρέπεσθαι· διὸ καὶ τούτου τὰς ῥίζας τῶν ἀκανθῶν ἐκτεμόντες τῷ τῆς ἀληθείας κηρύγματι καὶ φρονήματι, καὶ τὸν ἰὸν, ὡς εἰπεῖν, ἀποσβέσαντες, καὶ τὸ δηλητήριον τούτου [1] ὑποδείξαντες, τὸν [2] ἀρρωγὸν ἐπικεκλημένοι σὺν υἱῷ πατέρα, τὸν ὄντως ὄντα, καὶ υἱὸν ὄντως ἐνυπόστατον γεγεννημένον, καὶ τὸ ἅγιον [3] πνεῦμα αὐτοῦ, πνεῦμα ἐνυπόστατον καὶ σωτηρίον τῆς οἰκονομίας, τῆς ἐνσάρκου πραγματείας, διὰ τοῦ τροπαίου τοῦ κατὰ θάνατον, τοῦ σταυροῦ φημι, τὴν κεφαλὴν τούτου ῥήξαντες, τοῦ ζητήματος τῶν νέων Ἰουδαίων, ἐπὶ τὰς ἑξῆς ἴωμεν, ὦ ἀγαπητοί. Δρυΐνας γάρ τις ἔχις οὕτω καλουμένη τούτῳ ἔοικε τῷ αἱρεσιάρχῃ· ὡς δρυΐνας λέγεται μὲν εἶναι ἔχις (παρὰ δὲ τὰς πόας ἢ καὶ δρύας ἐμφωλεύει συνεχέστατα, διὸ καὶ δρυΐνας καλεῖται ἀπὸ τοῦ φιλόδενδρον [4] αὐτὸ εἶναι καὶ ἑαυτὸ παρεικάζειν ἀναμέσον τῶν
pag. 617. ἐκ τῶν δένδρων ῥιπτομένων φύλλων τῇ ἑκάστου χλωρότητι), οὐ τοσοῦτον δὲ εἶναι ὀδυνηρὸν τὸ ζῶον, ἐὰν δὲ ἐπιμείνῃ θάνατον ἐμποιεῖν. Οὕτως γὰρ καὶ οὗτος καὶ ἡ ἀπ' αὐτοῦ αἵρεσις [5] πάντων ἀριθμῶν ἑαυτὸν ἀπεικάζεται, Χριστοῦ μὲν ὄνομα ἐνδεδυμένος, Ἰουδαίων δὲ τὸ φρόνημα ἐπανῃρημένος, λόγον Χριστὸν ὁμολογῶν, οὐκ ὄντα δὲ τοῦτον διανοούμενος. Καὶ ἐν πολλοῖς ἑαυτὸν θριαμβεύων οὐκ αἰσχύνεται. Οὗ καὶ τὴν δοκοῦσαν διδασκαλίαν, πλάνην δὲ οὖσαν, ἐν τῷ ὑποδήματι τοῦ Χριστοῦ καταπεπατηκότες, καὶ τῇ σμίλῃ τῇ ἰατρικῇ τοῦ εὐαγγελίου τοὺς δεδηγμένους ἀμύξαντες, τόν τε ἰὸν ἀπ' αὐτῶν ἐκκρίνοντες, ἐπὶ τὴν τῶν ἑξῆς διήγησιν, ὡς προεῖπον, ἐλευσόμεθα.

3. εἷς βασιλεὺς *codex ms. uterque.* εἷς βασιλεῖς *ed. princ. In ed. Petav. haec verba conspiciuntur uncinis inclusa.*

4. *Haec verba plane corrupta aut manca sunt. Puto scribendum* λόγος, ὡς καὶ μετὰ τὸ γεγεννῆσθαι ὀφθῆναι ἐν αὐτῷ τ. λ., καὶ π. ἐν θεῷ ὑπάρχειν ὄντα ἄνω.

Cap. IX. — 1. προδείξαντος *ed. Petav.*

2. ἄρωγον *ed. Petav.*

3. *Editi habent* πνεῦμα, τὸ αὐτοῦ.

4. *Repone* αὐτὴν εἶναι καὶ ἑαυτὴν

taxat cum imagine sua. Nec unum quiddam est duabus constans partibus imperfectum, verum perfectus pater, perfectus filius, perfectus spiritus sanctus. *Ego enim*, inquit, *in patre;* non ad eum Ioann.14,10. modum quo in hominis corde sermo est, sed intelligibilem cum filio patrem et filium a patre genitum asserimus. Nequaquam vero deus ille verbum in hominem velut in domicilium quoddam subiit, adeo ut, posteaquam homo genitus est, apparuerit in eo verbum, quod in coelo praeterea sic tanquam in hominis corde sermo inesset in patre. Haec enim dogmata ex furioso daemonis afflatu prodierunt, abnegatique funditus dei notas prae se ferunt.

Cum igitur pauca haec, quae hactenus disputavimus, ad illius Cap. IX. confutandam haeresin idonea esse iudicemus (neque enim expugnata difficilis illorum vis est, nec eiusmodi, minime ut prudentibus omnibus possit everti), cum, inquam, veritatis dogmate doctrinaque spinarum illius radices exciderimus, eiusque, ut ita dicam, virus extinxerimus, ac letiferum illius venenum patefecerimus, postquam scilicet opitulatorem cum filio patrem, qui vere est, invocavimus, et filium vere subsistentem, ac genitum, nec non et spiritum sanctum subsistentem eius spiritum ac salutarem, totiusque illius administrationis ac susceptae carnis auctorem, quaestionis ab novis illis Iudaeis propositae capite per mortis tropaeum, crucem scilicet, comminuto, ad reliquas transeamus. Ceterum viperae quoddam genus est, Dryinam vocant, illi haeresis conditori quam simillimum. Quod ut plurimum in herbis, aut quercubus delitescit, unde ei Dryinae nomen est, eo quod arbores consectetur atque inter folia quae ex arbore decidunt iacens, cuiusque in se viriditatem exprimat, ac licet non adeo acerbum dolorem inurat hoc animal, tamen si diutius *virus adhaeserit, letum affert, — eodem prorsus modo haereticus iste, cum secta sua ad omnia sese genera institutorum applicans iis se quam simillimum efficit. Nam et Christi sibi appellationem imposuit, et Iudaeorum dogmata profitetur, et cum verbum esse Christum fateatur, non eum tamen esse secum animo statuit. Denique in plerisque se sine ullo pudore traducit. Cuius nos doctrina, sive potius errore, Christi velut calceo proculcato, medicoque evangelii scapello iis qui morsi erant scarificatis, ac veneno omni ab illis exempto, ad insequentem, ut ante diximus, disputationem transibimus.

παρεικάζειν. *Ed. princ. pro* ἑαυτὸ *habet* ἑαυτῷ.

5. *Corrige* πρὸς (*vel* περὶ) πάντων ἀριθμῶν, *vel* ἐς πάντα ἀριθμόν. *Cornarius recte vertit,* Ita etiam hic et haeresis ipsius se omnibus numeris assimilat.

* *Immo serpens.*

ΚΑΤΑ ΜΑΝΙΧΑΙΩΝ,

μϛʹ, ἢ καὶ ξϛʹ.

Κεφ. αʹ. *Μανιχαῖοι, οἱ καὶ Ἀκουανῖται λεγόμενοι διά τινα [1] οὐέτρανον ἀπὸ τῆς Μέσης τῶν ποταμῶν ἐλθόντα Ἀκούαν οὕτω καλούμενον, ἐν τῇ Ἐλευθεροπόλει ἐνέγκαντα ταύτην τὴν τοῦ δηλητηρίου τούτου πραγματείαν· οὗτοι κατὰ τὸν καιρὸν ἐκεῖνον τοῦ [2] βίου αὐτῶν ἐκήρυξαν μέγα τῷ κόσμῳ κακὸν μετὰ τὴν Σαβελλίου ἐπανάστασιν. Ἐν χρόνοις γὰρ οὗτοι [3] Αὐρηλιανοῦ τοῦ βασιλέως γεγόνασι, περὶ ἔτος τέταρτον τῆς αὐτοῦ βασιλείας. Ἔστι δὲ [4] ἡ αἵρεσις ἡ [5] πολυθρύλητος, καὶ ἐν πολλοῖς μέρεσι τῆς γῆς φημιζομένη, ἐκ Μάνη τινὸς, ὥς ἔφην, λαβοῦσα τὸ πλατυνθῆναι ἐν μέρεσι τῆς γῆς.*

Μάνης δὲ οὗτος ἀπὸ τῆς τῶν Περσῶν ὁρμᾶτο γῆς, Κούβρικος μὲν τὸ πρῶτον καλούμενος, ἐπονομάσας δὲ ἑαυτῷ [6] τὸ τοῦ Μάνη ὄνομα, τάχα, οἶμαι, ἐκ τῆς τοῦ Θεοῦ οἰκονομίας τὸ μανιῶδες ἑαυτῷ ἐπισπασάμενος ὄνομα. Καὶ ὡς μὲν αὐτὸς ᾤετο, κατὰ τὴν τῶν Βαβυλονίων γλῶτταν δῆθεν Σκεῦος ἑαυτῷ τὸ ὄνομα ἐπέθετο· τὸ γὰρ Μάνη ἀπὸ τῆς Βαβυλωνίας εἰς τὴν Ἑλληνίδα μεταφερόμενον σκεῦος ὑποφαίνει τοὔνομα. Ὡς δὲ ἡ ἀλήθεια ὑποφαίνει, τῆς μανίας τὸ ἐπώνυμον κέκτηται, δι' ἣν [7] ἐνεβροντήθη ὁ ἐλεεινὸς τῷ κόσμῳ ὑποσπεῖραι κακοδιδασκαλίαν. Ἦν δὲ οὗτος ὁ Κούβρικος χήρας τινὸς δοῦλος, ἥτις ἄπαις τελευτήσασα κατέλειψεν αὐτῷ χρημάτων ἀσυνείκαστον πλῆθος,
pag. 618. *χρυσοῦ τε καὶ ἀργύρου καὶ ἀρωμάτων, καὶ ἄλλων. Καὶ αὐτὴ δὲ τῆς κληρονομίας τὴν διαδοχὴν ἔσχεν ἐκ [8] Τερβίνθου τινὸς, δούλου καὶ αὐτοῦ ὑπάρξαντος, μετονομασθέντος δὲ Βουδδὰ κατὰ τὴν τῶν Ἀσσυρίων γλῶτταν, ὃς καὶ αὐτὸς δοῦλος ὑπῆρχε Σκυθιανοῦ τινος, ἀπὸ τῆς Σαρακηνίας ὁρμωμένου, κατὰ δὲ τὰ τέρματα τῆς Παλαιστίνης, τουτέστι ἐν τῇ Ἀραβίᾳ ἀνατραφέντος. Οὗτος ὁ Σκυθιανὸς ἐν τοῖς προειρημένοις τόποις παιδευθεὶς τὴν Ἑλλήνων γλῶσσαν, καὶ τὴν τῶν γραμμάτων αὐτῶν παιδείαν, δεινός τε γέγονε περὶ τὰ μάταια τοῦ κόσμου φρονήματα. Ἀεὶ δὲ [9] στελλόμενος τὴν πορείαν ἐπὶ τὴν τῶν Ἰνδῶν χώραν πραγματείας χάριν πολλὴν ἐμπορίαν ἐποιεῖτο· ὅθεν πολλὰ κτησάμενος ἐν τῷ κόσμῳ, καὶ διὰ τῆς Θηβαΐδος διϊών. Ὅρμοι γὰρ τῆς Ἐρυθρᾶς θαλάσσης διάφοροι, ἐπὶ τὰ [10] στόμια τῆς Ῥωμανίας διακεκριμένοι, ὁ μὲν εἰς ἐπὶ τὴν Αἰλὰν, ἥτις ἐστὶν ἐν τῇ θείᾳ γραφῇ Αἰλὼν, ἔνθα που*

Cap. I. — 1. *Rescribendum, ni fallor,* οὐετερανὸν, *aut* οὐετράνον. *Du Cange Append. ad Gloss. ad Scriptt. Med. et Inf. Graecitatis p.* 147. *s. v. profert ex Glossis Basil.* Βετράνης, ὁ πεπαλαιωμένος. Βετράνος, ὁ γέρων. βετράνος, τουτέστι γέρων.

2. ἰοῦ *suspicatus est Ios. Scaliger.*

3. *De temporum ratione parum sibi constante v. quae disputarunt Zacagnius in Praefat. ad Collect. Monum. Vett. Eccl. Gr. p. VIII sqq., et Gallandius Prolegom.*

ADVERSUS MANICHAEOS, haeresis XLVI., sive LXVI.

Manichaei, quos Acuanitas de Acuae Veterani cuiusdam nomine vocant, qui e Mesopotamia profectus letiferum illud virus Eleutheropolin transtulit, magnum per illud tempus, in quod aetas ipsorum incurrit, praedicatione sua malum in orbem terrarum invexerunt. Nam Aureliano imperante quarto eius imperii anno emergere coeperunt. Celeberrima haec haeresis est, et quamplurimas regiones illius fama peragravit; quae a Mane, uti dixi, quodam per multas oras partesque terrarum dissipandi sui initium accepit. Cap. I.

Porro Manes genere Persa Cubricus primum appellatus Manis sibi nomen imposuit. Atque hoc divina quadam providentia factum arbitror, furoris uti sibi nomen adscisceret; quamquam eo se cognomine afficere cogitabat quod Babyloniorum lingua *Vas* significat. Manes quippe Babyloniis, si Graece transferatur, *σκεῦος*, id est vas, exprimit. Sed ita se res habet, ut a furore et insania eiusmodi sibi appellationem indiderit, qua fanatici more percitus infelix pessimum in orbe dogma disseminavit. Sed Cubricus iste viduae cuiusdam servus fuit, quae sine liberis decedens infinitam ei pecuniarum vim et auri argentique et aromatum, ceterarumque rerum copiam testamento reliquit; cum eandem ipsam hereditatem a Terbintho quodam, perinde et ipso servo, mulier accepisset, qui mutato nomine Assyriorum lingua Buddas est dictus. Atque hic Scythiani cuiuspiam servus fuit, qui e regione Saracenorum oriundus in Palaestinae finibus in Arabia scilicet educatus fuerat. Ubi Graecorum lingua ac literarum studiis institutus summam inanissimarum huius mundi disciplinarum scientiam adeptus est. Cumque identidem negotiandi gratia in Indiam proficisceretur, magnam et copiosam mercaturam faciebat. Ex qua plurimum locupletatus Thebaidem obire solebat. Portus enim Mare Rubrum varios habet, quibus ad Romanum limitem aditus diverse patet. Horum unus Aelam spectat, quam sacrae literae

ad tom. III. Bibl. Patr. p. XLII sqq.

4. *Verba* ἡ αἵρεσις *om. in ed. Petav.*

5. *Ita libri scripti. In editis est* πολυθρύλλητος.

6. *Voculae* τὸ τοῦ *non comparent in ed. Petav.*

7. *Ita liber scriptus uterque.* ἐνεβροντίθη *ed. Petav.* ἔνευρον τηθη *ed. princ.*

8. *Ita libri tam editi quam scripti. In marg. ed. Petav. legitur* γρ. Τερεβίνθου. *V. de hoc nomine Zacagnium l. l. p.* 96. *annot., et p.* 709. *in Addendis (Galland. l. l. p.* 606.). *Petr. Siculum in Ang. Maii Novae Patr. Bibl. tom. IV,* 2. *p.* 16.

9. στελλό τὴν πορείαν *cod. Ien. In cod. Rhedig. omissa sunt haec verba, spatio quinque fere literarum vacuo relicto.*

10. στόματα *cod. Rhedig. In seqq. libri vulgo habent* Αἰλᾶν *et* Αἰλῶν.

ἡ ναῦς Σολομῶντος διὰ τριῶν ἐτῶν ἐρχομένη ἔφερε χρυσὸν καὶ ὀδόντας ἐλεφαντίνους, ἀρώματά τε καὶ ταῶνας, καὶ τὰ ἄλλα, ὁ δὲ ἕτερος ὅρμος ἐπὶ τὸ Κάστρον τοῦ [11] Κλύσματος· [12] ἄλλος δὲ ἀνωτάτω ἐπὶ τὴν Βερνίκην καλουμένην, δι' ἧς Βερνίκης καλουμένης ἐπὶ τὴν Θηβαΐδα φέρονται, καὶ τὰ ἀπὸ τῆς Ἰνδικῆς ἐρχόμενα εἴδη ἐκεῖσε τῇ Θηβαΐδι διαχύνεται, ἢ ἐπὶ τὴν Ἀλεξανδρέων διὰ τοῦ [13] Χρυσορρόα ποταμοῦ, Νείλου δέ φημι, τοῦ καὶ Γηῶν ἐν ταῖς γραφαῖς φερομένου, καὶ ἐπὶ πᾶσαν τῶν Αἰγυπτίων γῆν καὶ ἐπὶ τὸ Πηλούσιον φέρεται. Καὶ οὕτως εἰς τὰς ἄλλας πατρίδας διὰ θαλάσσης διερχόμενοι οἱ ἀπὸ τῆς Ἰνδικῆς ἐπὶ τὴν [14] Ῥωμανίαν ἐμπορεύονται.

Κεφ. β'. Ταῦτα δέ μοι κατὰ λέξιν ἐσπουδάσθη ἱστορίας χάριν παραδοῦναι, ὅπως καὶ τῶν ῥιζῶν ἑκάστης ὑποθέσεως οἱ ἐντυγχάνειν ἐθέλοντες μὴ ἀμοιρήσωσι. Δεῖ γὰρ τὸν ἐπιβαλλόμενον διηγήσει τινὶ κατὰ δύναμιν ἐπιβάλλεσθαι, καὶ ἐκ τῆς ῥίζης ποιεῖσθαι τὴν εἰςαγωγήν· ἔνθεν εὑρίσκεται καὶ τὰ τῆς ἀληθείας, κἄν τε ἀπορῇ ὁ λέγων εὐκοσμίας λόγου, καὶ εὐεπείας φθογγῆς, ὅπως ἀπὸ τῆς ἀληθινῆς ἱστορίας τὸ ζητούμενον τοῖς συνετοῖς ἀποδειχθήσεται. Ἐν ἀρχῇ τοίνυν οὗτος ὁ Σκυθιανὸς πλούτῳ πολλῷ ἐπαρθεὶς, καὶ κτήμασιν ἡδυσμάτων, καὶ τοῖς ἄλλοις τοῖς ἀπὸ τῆς Ἰνδίας, καὶ ἐλθὼν περὶ τὴν Θηβαΐδα εἰς [1] Ὑψηλὴν πόλιν οὕτω καλουμένην, εὑρὼν ἐκεῖ γύναιον [2] ἐξωλέστατον καὶ κάλλει σώματος (pag. 619.) πρόοπτον, ἐκπλῆξάν τε [3] αὐτοῦ τὴν ἀσυνεσίαν, ἀνελόμενός τε τοῦτο ἀπὸ τοῦ [4] στέγους (ἕστηκε γὰρ ἡ τοιαύτη ἐν τῇ πολυκοίνῳ ἀσεμνότητι) ἐπεκαθέσθη τῷ γυναίῳ, καὶ ἐλευθερώσας αὐτὸ, συνήφθη αὐτῷ πρὸς γάμον. Χρόνου δὲ πολλοῦ προκόπτοντος, διὰ τὴν ὑπερβολὴν ἧς εἶχε τρυφῆς οὐκ ἤνεγκεν ὁ [5] ἀλιτήριος, ἀλλὰ ὡς ἀργὸς καὶ ἐθὰς κακῶν ἐκ τοῦ περισσοῦ τῆς τρυφῆς στρήνου ἐπενόει λοιπὸν κατὰ τὸν νοῦν τι καινότερον τῷ βίῳ προσοῖσαι, καὶ ἀφ' ἑαυτοῦ διανοηθεὶς ἐπλάσατο ῥήματα τοιαῦτα οὐκ ἀπὸ τῆς θείας γραφῆς εὑράμενος, καὶ πνεύματος ἁγίου φθογγῆς, ἀλλὰ ἀπὸ λογισμῶν ἀνθρωπείας φύσεως τῶν δειλαίων φάσκων, τίνι τῷ λόγῳ ἄνισα κεῖται τὰ ἐν παντὶ τῷ ὁριζομένῳ τῆς [6] κτίσεως κύτει, μέλαν καὶ λευκὸν, πυῤῥὸν καὶ χλωρὸν, ὑγρὸν καὶ ξηρὸν, οὐρανὸς καὶ γῆ, νὺξ καὶ ἡμέρα, ψυχὴ καὶ σῶμα, ἀγαθόν τε καὶ φαῦλον, δίκαιόν τε καὶ ἄδικον, ἀλλ' ὅτι πάντως ταῦτα ἐκ δύο τινῶν συνέστηκεν. Ἐνεκίσσα δὲ ἐν τῇ αὐτοῦ διανοίᾳ ὁ διάβολος, ἐπὶ πλεῖον [7] στρατεύσας κατὰ τῆς ἀνθρωπείας φύσεως, τὸ δεινὸν φρόνημα, ὡς ὑπονοεῖν τὸ μὴ ὂν καὶ [8] τὸ ὂν μὴ ἐπιγινώσκειν, ἵνα πόλεμόν τινα

11. κλίσματος *volebat Ios. Scaliger.*
12. ἄλλος *uterque cod. ms.* ἄλλως *editi.*
13. χρυσόροα *codd. mss. et ed. princ.*
14. *Cf. d. Casaub. in Lamprid. p.* 174 *sq., et du Cange in Gl. ad Scripit. Med. et Inf. Graec. s. v.*

Cap. II. — 1. ὑψιλὴν *cod. Ien. et ed. pr.*

Κεφ νζ'. Καὶ τί ἔτι κατατρίβομαι κατὰ λέξιν τῆς [1] αὐτοῦ ἀτοπίας χρονοτριβούμενος; ὡς καὶ βλασφημῶν οὐκ αἰσχύνεται ὁ τάλας τὸν λαλήσαντα ἐν τῷ νόμῳ καὶ ἐν τοῖς προφήταις Ἄρχοντα λέγειν τοῦ σκότους. Μακάριαι ἡμῶν αἱ ἐλπίδες, ὅτι Ἄρχοντι τοῦ σκότους ὁ Χριστὸς ἐλθὼν προςφέρειν ἠνάγκαζε. Καθαρίσας γὰρ τὸν λεπρὸν [2] τὸν ἐν τῷ νόμῳ [3] τραφέντα ὑπ' αὐτοῦ ἐκέλευσεν αὐτὸς τὸ ἐν τῷ νόμῳ ἐπιτελεῖσθαι δῶρον, Ἀπελθὼν προςένεγκε τὸ δῶρόν σου, τῷ καθαρισθέντι ὑπ' αὐτοῦ λεπρῷ λέγων, καθὼς προςέταξε Μωϋσῆς. Δῶρον δὲ ἦν ἐπὶ τῆς λέπρας ὄρνις εἰς θυσίαν, καὶ σεμίδαλις εἰς ὁλοκαύτωσιν. Εἰ δὲ Ἄρχων ἦν τοῦ σκότους, οὐκ ἂν ὁ ἐλθὼν ἄνωθεν λόγος, ὁ υἱὸς τοῦ θεοῦ, ὁ ἐλθὼν ἐπιστρέψαι τὸν ἄνθρωπον ἀπὸ πλάνης τῶν Ἀρχόντων, κατὰ τὸν Μανιχαίου λόγον, οὐκ ἂν ὑποχείριον τὸν ὑπ' αὐτοῦ ἰαθέντα λεπρὸν παρεσκεύαζε γενέσθαι, ἀλλὰ μᾶλλον παρεσκεύαζεν ἀποδρᾶναι αὐτὸν, [4] τοῦτο μὴ ἐπιτελεῖν διδάσκων, ἀλλ' ἐπειδὴ οὐκ ἦλθε καταλῦσαι τὸν νόμον (αὐτὸς γὰρ δέδωκε τὸν νόμον), οὔτε προφήτας, ἀλλὰ πληρῶσαι, ἵνα πλήρωσιν τοῦ νόμου καὶ τῶν προφητῶν [5] αὐτὸς δείξῃ τὸ [6] ἀπερίσπαστον τοῦ εὐαγγελίου, ὅτι τῷ μὲν αὐτῷ θεῷ οἱ προφῆται προσεκύνησαν, καὶ νόμος ὑπ' αὐτοῦ ἐδόθη. Νῦν δὲ οὐ διὰ τῶν αὐτῶν δώρων τῷ αὐτῷ θεῷ προςκύνησις [7] τελεῖται, ἀλλὰ δι' εὐχῶν καὶ εὐχαριστιῶν καὶ τῆς ἄλλης πραγματείας. Ἐκείνοις μὲν γὰρ ὡς δούλοις προςέταττε τὰ βαρέα, διότι οὕτως ἠδύναντο πεισθῆναι· τοῖς δὲ ἐν τῷ εὐαγγελίῳ ἐλαφρότερα ὡς ἐλευθέροις, διὰ τὴν ὑπερβολὴν τῆς αὐτοῦ φιλανθρωπίας. Ἑνός τε ὁμοστοίχου ὑπάρχοντος θεοῦ τοῦ τε νόμου καὶ τοῦ εὐαγγελίου, μὴ παραλελυμένης μηδ' ὁποτέρας χρόνων ὑπηρεσίας, ὁ αὐτὸς εἷς θεός ἐστιν ὁ βασιλεύων τοῦ σύμπαντος αἰῶνος, θεραπευόμενος ἀπὸ τῶν δούλων, καθ' ἑκάστην [8] δὲ γενεὰν ὡς προςήκει τῇ αὐτοῦ φιλανθρωπίᾳ. Καὶ ἐλήλεκται πανταχόθεν ἡ τούτου
pag. 670. πλάνη, τοῦ σωτῆρος ἐπιτρέποντος τὰ τοῦ νόμου τελεῖσθαι, καὶ μετὰ [9] τὸ ἐπιτρέψαι τὰ τοῦ νόμου τελεῖσθαι λύοντος τὰ τοῦ νόμου, οὐ καταργοῦντος, ἀλλὰ πληροῦντος, προςφορὰς ἑτέρας ὑπὲρ τῶν ἐν τῷ νόμῳ προςενέγκαι τῷ θεῷ ἐπιτρέποντος, τουτέστιν εὐσεβείας καὶ ἀγαθότητος, ἁγνείας τε καὶ πολιτείας.

Κεφ. νη'. Φάσκει δὲ πάλιν ὅτι, Ἐλεύσεται ὁ Πρεσβύτης, καὶ δείξει αὐτοῦ

Cap. LVII. — 1. αὐτῶν *cod. Rhedig.* 2. τὸν *non habet cod. Rhedig.* 3. τραφέντα ὑπ' αὐτοῦ ἐκέλευσεν αὐτὸς *mea est coniectura. Libri habent* γραφέντα ὑπ' αὐτοῦ λαλήσαντος. *Verba* ὑπ' αὐτοῦ *refer ad elephantiacum sanatum et iunge cum infin. passivi* ἐπιτελεῖσθαι. 4. τοῦτον *cod. Rhedig.*

sevulsam illam virtutis suae particulam clanculum a coelestibus illis incolis eripiat, quemadmodum impostor ille nugatur, nullo modo servare nos possit.

Quamquam quid in percensendis illius deliriis frustra operam tempusque consumo? Cuius tanta est impudentia ac petulantis in deum linguae licentia ut tenebrarum Principem illum ipsum esse defendat, qui in lege ac prophetis locutus est. O felices ac praeclaras spes nostras! cum tenebrarum Principi Christus munera deferre coëgerit. Posteaquam enim elephantiacum illum purgavit, donum illud quod lege praescriptum est afferre statim iussit. *Vade*, inquit, *offer munus tuum, sicut praecepit Moyses.* Eiusmodi porro munus, quod ob lepram offerebatur, avicula erat in sacrificium, et simila in holocaustum. Atqui si tenebrarum ille Princeps foret, nunquam verbum e coelo delapsum, deique filius, qui, ut Manichaeus arbitratur, idcirco venit ut hominem a Principum errore liberaret, leprosum illum, cui sanitatem restituerat, iisdem subditum esse iussisset, sed fugiendi potius auctor fuisset, ac ne quod imperatum erat praestaret esset hortatus. Sed nimirum ideo ita se gessit quod ad evertendam legem nequaquam venerat, quam dederat ipse, neque prophetas, sed ut potius impleret; ut hoc ipsum legis ac prophetarum complementum in evangelii quiete ac tranquillitate positum esse monstraret. Nam licet idem a prophetis adoratus sit deus, et ab ipso lex tradita, non eodem tamen hodie donorum genere, sed precibus et eucharistiis, et aliis honoribus divino numini adoratio praestatur. Etenim graviora illis tanquam servis imperavit, quod ea ratione ad obsequium adigi posse cognosceret. Contra evangelii discipulis leviora, utpote liberis, pro exquisita sua benignitate mandavit. Quare cum unus sibique consentiens legis evangeliique sit deus, nec alterutra diversorum temporum sublata dissolutaque sit functio, idem est unusque deus, qui seculis dominatur omnibus, et a servis suis ita colitur ut pro eo ac cuivis aetati convenit summa id humanitate deposcat. Superest igitur illius ut error ex omni parte convincatur, quandoquidem ea quae lege praescripta sunt exequi salvatur ipse iusserit. Quae quidem postquam illius mandato perfecta sunt, ab eodem deinceps non soluta, non in nihilum redacta, sed impleta sunt: cum scilicet pro his quae in lege praecepta sunt novas quasdam deo fieri oblationes instituit, pietatis, bonitatis, castitatis, accuratioris denique vitae rationis ac generis.

Pergit vero Manichaeus ac venturum denique Senem illum at-

[Margin: Cap. LVII. — Luc. 5, 14. — Cap. LVIII.]

5. αὐτὸς δείξῃ αὐτὸς τὸ *cod. Rhedig.*
6. *Suspicor* ἀπαράσπαστον.
7. γίνεται *cod. Rhedig.*
8. *Fortasse* δή.
9. *Reposuerim* τοῦ ἐπιτρέψαι.

τὴν εἰκόνα ἐπ' ἐσχάτων τῶν ἡμερῶν, καὶ τότε ὁ Ὠμόφορος εἰδὼς αὐτοῦ τὸ πρόςωπον ἀφίησι τὴν γῆν, καὶ οὕτως τὸ πῦρ τὸ αἰώνιον καταδαπανᾷ τὴν γῆν. Καὶ ἐπελάθετο ὁ κτηνώδης πάλιν ὑλώδη αὐτὴν ὑποφαίνων τὴν πρὸ ὥρας αὐτῷ λεγομένην ἀπὸ τοῦ Πνεύματος τοῦ ζῶντος κεκτίσθαι. Ὁμοῦ δὲ τὸν πάντα κόσμον πάλιν ὑπὸ τοῦ πυρος ἀναλίσκεσθαι ὑποτίθεται. Καὶ τότε, φησὶ, μετὰ ταῦτα ἡ ἀποκατάστασις τῶν δύο φύσεων ἐπιτοαυτὸ εἰς τὸ ἀρχέτυπον παρελεύσεται. Ὦ πολλοῦ καμάτου, καὶ μετὰ τὸν κάματον οὐδενὸς [1] ἐπὶ διορθώσει φερομένου. Εἰ γὰρ μετὰ τὸ κτισθῆναι καὶ γενέσθαι δαπανηθήσεται καὶ ἀφανισθήσεται, ἵνα τὰ ἀρχέτυπα μείνῃ πάλιν ἐν ταυτότητι τῶν δύο φύσεων ἀγαθοῦ τε καὶ κακοῦ, ἔσται πάλιν ἐπιτριβὴ τοῦ πονηροῦ πρὸς τὸ ἐπιστρέψαι πάλιν, καὶ πόλεμον ἐνστήσασθαι, καὶ ἁρπάξαι πάλιν [2] ἄλλην δύναμιν, ἵνα πάλιν ἄλλος κόσμος γένηται. Εἰ δὲ οὐκέτι τοῦτο γίνεται, ἄρα σωφρονήσει ἡ κακία, τοῦ μηκέτι ἐπιτρίβεσθαι πρὸς τὴν ἀγαθότητα, καὶ ὁ πονηρὸς θεὸς, πρὸς τὸν ἀγαθὸν μηκέτι πόλεμον ἐγείρων. Εἰ δὲ καὶ σωφρονισθήσεταί ποτε, οὐκ ἔσται κακὸν, ὁπότε ἀπὸ τῆς ἀρχαίας αὐτοῦ φύσεως τῆς κακίας μετήλλακται μετατραπείς. Εἰ δὲ καὶ τρεπτὴ τυγχάνει ἡ φύσις τοῦ κακοῦ, [3] πάντως ὅτι ἀπὸ κακοῦ εἰς ἀγαθὸν μεταβάλλεται, καὶ οὐκέτι ἔσται κακὸν ἡ ἔχουσα τροπὴν ἀγαθότητος φύσις. Δύναται γὰρ καὶ σήμερον τραπῆναι, καὶ ἔτι περιόντος τοῦ [4] κόσμου εἰς ἀγαθὸν μεταβληθήσεται τὸ πονηρόν. Καὶ τίνι τῷ λόγῳ ὁ μέλλων τρέπεσθαι ἤδη οὐ τρέπεται; Καὶ εἰ μὲν διὰ τῆς τοῦ θεοῦ μηχανήσεως ὁ πονηρὸς τρέπεται, τοῦ μηκέτι δύνασθαι τὸ πονηρὸν ἐργάζεσθαι, οὐκέτι παραίτιος ὁ πονηρὸς ἑαυτοῦ τυγχάνει, ἀλλ' ὁ [5] ἀγαθὸς ὁ δυνάμενος ἀναστεῖλαι αὐτοῦ τὴν κακίαν, καὶ μὴ βουληθεὶς πρὸ χρόνου τὰ τοῦ χρόνου ποιῆσαι. Εἰ δὲ
pag. 671. *ἄτρεπτον παντάπασι τὸ κακὸν, οὐδέποτε διαλείψειε πολεμοῦν καὶ πολεμούμενον, καὶ οὐδ' ὅλως ποτὲ ἔσται κατάστασις τῶν δύο φύσεων, ἀτρέπτου μένοντος τοῦ κακοῦ, καὶ [6] ἐπιτριβομένου τοῦ κακοῦ ἐνδείκνυσθαι τῷ ἀγαθῷ κακίαν, καὶ πόλεμον ἐγείρειν κατὰ τῆς ἀγαθότητος. Καὶ εἰ ὅλως ἐπιθυμίᾳ τοῦ ἀγαθοῦ τὸ κακὸν ἀεὶ ἐπεντριβήσεται, ἄρα οὐκέτι κακὸν ἔσται· ἐπειδὴ τοῦ ἀγαθοῦ γλιχόμενος βούλεται ἑαυτῷ τὸ ἀγαθὸν ἐπισπᾶσθαι, ἵνα διὰ τῆς φύσεως τοῦ ἀγαθοῦ καὶ τῆς αὐτοῦ πανοπλίας ἐπισπάσας ἑαυτῷ δύναμιν ἐν ταύτῃ [7] δοκῇ ἑαυτὸν τιμᾷν [8] μὲν καὶ λαμπρύνειν, παραθαρσύνειν [9] τε καὶ ἐνδυναμοῦν. Παντὶ γὰρ τῷ βουλομένῳ τὸ ἀγαθὸν πάντως ὅτι ἐξ ἀγαθοῦ ὑπονοίας ἔγκει-*

Cap. LVIII. — 1. *Libri vulgo* ἐπιδιορθώσει.

2. καὶ ἄλλην *cod. Rhedig.*

3. *Locutione* πάντως ὅτι, *quae elliptica est, saepenumero utitur Epiphanius, ut infra hoc ipso capite, cap.* 82., *haer.* 42, *p.* 343., *haer.* 61, 4., *alibi.*

4. περιόντος τοῦ κόσμου *mea est emendatio.* παριόντος τοῦ κακοῦ *conjiciebat Petavius. Libri habent* περιόντος τοῦ κακοῦ.

que effigiem suam postremis temporibus ostensurum esse dicit: tum vero Baiulum illius conspecta facie terram esse relicturum, moxque terram sempiterno igne conflagraturam. Nec illud homo stupidus animadvertit, eandem illam se cum materia concretam modo facere quam paulo antea vivo ab Spiritu procreatam esse defenderat. Sed universum nihilominus mundum incendio consumptum iri putat. Ac tum, inquit, duarum naturarum idem in archetypum restitutio consequetur. O inanem hominis laborem, quo suscepto nihil tamen ad erroris emendationem proficitur! Nam si posteaquam conditus est et productus hic mundus, consumi extinguique debet, ut exemplaria ipsa rursum in ambarum naturarum, boni scilicet ac mali, ut ita dicam, identitate permaneant, consequens est ut malum rursus congredi audeat, et inferre bellum, ac virtutem aliam intervertat, quo alius subinde mundus existat. Quod si locum istud amplius non habet, iam igitur malitia resipuerit, ut non amplius cum bonitate confligetur, resipuerit et malus deus, qui bellum amplius nullum cum meliore suscipiat. Hoc vero constituto malum esse desinit, cum ab antiqua naturae pravitate sese ad meliora traduxerit. Iam vero si mutabilis est natura mali, necesse est in malum e bono transferri, atque ita mala haec esse natura desinit, quae illam in bonum commutationem sortita sit. Potest enim vel hodie mutari, sic ut transeunte malo in melius vertatur. Quid autem prohibet quin is, qui aliquando mutandus est, non vel in praesentia mutetur? Ac si deo istud machinante malus minime commutatur, ut malum amplius moliri nequeat, suimetipsius caussa malus non erit, sed ille potius bonus qui cum eius malitiam cohibere possit nolit ea quae suo tempori reservanda sunt ante tempus efficere. Sin penitus immutabile malum est, nullum inferendi bellum excipiendique finem faciet, nec unquam ambae illae naturae constituentur, cum et immutabile malum perseveret, et cum bono confligetur, ac suam ei malitiam ostentet, atque adversus bonitatem dimicationem suscipiat. Atqui si id boni cupiditate malum faciat, ut assidue insurgat, non amplius malum est, quoniam quidem prae eius desiderio bonum sibi conatur arcessere, ut per boni naturam et armaturam ad sese virtutem attrahens, per eam sibi honorem ac splendorem acquirat, seseque confirmet ac corroboret. Etenim quisquis bonum concupiscit, necesse est perinde ex bona cogitatione hanc illi mentem iniectam

5. *Fortasse* ἀγαθὸς θεός.

6. *Ita etiam haer.* 30, 12. *dixit* τὸ πῦρ καταδῆσαι - - ἐπετρίβησαν, *h. e. laboraverunt, studium posuerunt, in eo ut ignem ligarent.*

7. *Libri habent* δοκεῖ.

8. *Uncinis notavit hoc* μὲν, *delendumque iudicavit Petavius.*

9. *Reponendum est fortasse* δὲ καὶ.

ται διάνοια, καὶ οὐκέτι παντάπασι πονηρὸν ἔσται τὸ πονηρὸν, ὁπότε τοῦ ἀγαθοῦ γλιχόμενον εὑρίσκεται. Πᾶν γὰρ τὸ πονηρὸν ἀπέχθειαν ἔχει πρὸς τὸ ἀγαθὸν, ὡς καὶ τὸ ἀγαθὸν οὐ βούλεται τὸ πονηρόν. Εἰ δὲ ἀναμὶξ ὑπάρχει τῶν ἀμφοτέρων ἡ δύναμις, καὶ ὁ ἀγαθὸς μὲν οἶδε συλᾶν τὸ ἴδιον, πολεμεῖν τε καὶ ἐκδέρειν τὰς Ἀρχὰς καὶ τὰς Ἐξουσίας, ποτὲ δὲ ἀναιρεῖν καὶ ἀφανίζειν τὴν ὑπὸ τοῦ πονηροῦ γεγενημένην Ὕλην, ποτὲ δὲ ἐξ αὐτῆς πλάσσειν, ποτὲ δὲ ἀφανίζειν, πονηρία καὶ ἀσύστατος διήγησις τῆς τοῦ ἀλιτηρίου [10] τούτου ἡμῖν ἐπειςενεχθείσης ἀδολεσχίας.

Κεφ. νθ'. Φέρε δὴ εἰπεῖν καὶ περὶ τῆς τοῦ κακοῦ φύσεως πάλιν ἀναλαβόντες τὸν λόγον, λέγε ἡμῖν, ὦ οὗτος, ἀπὸ χρόνου Αὐρηλιανοῦ τοῦ βασιλέως καὶ δεῦρο ἐλθὼν, καὶ τὰ πρὸ πάντων αἰώνων διηγούμενος, οὔτε που τοῦτο προφητῶν θεσπισάντων, οὔτε αὐτοῦ τοῦ σωτῆρος τοῦτο δεδιδαχότος, οὔτε ἀποστόλων, εἰ μή τι ἂν φλυαρήσῃς ἐπίπλαστά τινα ἐξ ὀνόματος ἁγίων βιβλία ἑαυτῷ τιθέμενος καὶ προβαλλόμενος, πόθεν οὖν ἥκεις, ὦ οὗτος, τὴν κακοῦ ἀρχαΐζουσαν ἀρχὴν φέρων, ἐρωτώμενος δὲ ὑφ' ἡμῶν, εἰ ταύτην τρεπτήν τινα φάσκει, ἢ ἄτρεπτον; Ἤδη δὲ ἐνηχήθη ἡμῖν ὡς ἄτρεπτον αὐτὴν εἰςηγεῖται, καὶ ποτὲ μὲν τρεπτὴν, ποτὲ δὲ ἄτρεπτον· εἰς μὲν τὸ πονηρὸν ἄτρεπτον, εἰς δὲ τὸ ἀγαθὸν τρεπομένην, ἵνα ἐκ τῶν δύο ὅρων αἰσχύνην τῷ βίῳ ὀφλήσῃ. Εἰ γὰρ ἐν πολλοῖς καὶ ἀπλέτοις αἰῶσιν ἄτρεπτος ἦν ἡ κακία, αὐτὸ τοῦτο μόνον ἔχουσα τὸ ὄνομα, καὶ οὐδὲν ἕτερον πλὴν τοῦ κακοῦ, τίς ἔτρεψε μετὰ πολλοὺς αἰῶνας τὴν ἄτρεπτον φύσιν κακίας τραπῆναι ἐπὶ
pag. 672. τὰ μὴ προςήκοντα; Εἰ γὰρ οὔπω ἦν ἁρπάξασα δύναμιν, καὶ καταπολεμήσασα, μηδὲ λαβοῦσα πανοπλίαν εἰς αὐτῆς δύναμιν καὶ εἰς ἐδωδὴν, [1] ἔμελλε δὲ ἐν πολλοῖς αἰῶσιν ἄτροφος, μηδὲ τροφῆς ἐπιδεομένη, τίς ἔτρεψε τήν ποτε μὴ ἐπιδεομένην τροφῆς εἰς τροφὴν ἥκειν, καὶ ἐπιζητεῖν ὅπερ ποτὲ οὐκ ἐπεζήτει, καὶ ἐπιδέεσθαι ὅπερ ποτὲ οὐκ ἐπεδέετο; Ἀλλ' εἰ ἄρα ἐτράπη τὴν φύσιν, καὶ πῶς ἡ παρὰ σοὶ ἀτρεψία περὶ τοῦ κακοῦ συσταθήσεται; Εἰ δὲ καὶ πάλιν εἰς ἰδίαν κατάστασιν ἔλθοι, μηκέτι εὐπορῶν ὃ φάγοι, πῶς ὁ πάλιν ἐν συνηθείᾳ γεγονὼς κακὸς, ἢ πονηρὸς, τοῦ βιβρώσκειν καὶ ἐδωδῇ χρῆσθαι δύναται ὑπομένειν εἰς τὸν ἐπιόντα χρόνον ἄνευ ἐδωδῆς διατελῶν; Εἰ γὰρ ἐν συνηθείᾳ βρωμάτων μὴ γεγονὼς οὐκ ἠδυνήθη ὑποστῆναι, ἀλλὰ ἐτράπη εἰς ἐδωδὴν ἔρχεσθαι, καὶ συλήσας τὴν ψυχὴν βρῶμα ἑαυτῷ περιεποιήσατο, μᾶλλον ἐν συνηθείᾳ βρώματος γεγονὼς ἄσχετος ἔσται τὴν φύσιν, καὶ οὐδὲν ἂν τοῦτον παραπείσειε λίχνον γεγονότα, καὶ ἐν πείρᾳ ἐδωδῆς,

10. *Suspicor* τοῦτο.

Cap. LIX. — 1. *H. e.* cunctabatur. *Petavius* ἔμενε *corrigendum putavit, quod invenit in exemplo Schottiano, quod ego nunc possideo, annotatum ex cod. ms. nescio quo. Signatum ibi est siglo M.*

fuisse, atque hoc pacto non omnino malum erit, quod malum dicitur, cum boni desiderium conceperit. Si quidem malum omne boni inimicum est, quemadmodum abhorret a bono malum. Quod si promiscua confusaque vis est amborum, ut et bonus quod suum est recuperare soleat, ac Principatus et Potestates infestare bello pelleque nudare, nonnunquam productam a malo materiam delere funditus ac tollere, alias opus ex ipsa moliri, interdum e medio tollere, summa nequitia est, et confictae ab detestando illo homine narrationis, sive potius garrulitatis, inconstantia.

Age vero, ut de natura mali denuo sermonem instituamus, dic sodes mi homo, qui ab Aureliani imperatoris tempore ad hoc tempus venisti, et quae seculis omnibus anteriora sunt explicare contendis, quae nec prophetarum oraculis expressa sunt, neque a salvatore vel apostolis tradita, nisi forte supposititios quosdam libros falso sanctorum nomine inscriptos obtrudas, atque in medium proferas: sed amabo te, unde nobis antiquum illud mali principium afferes? Enimvero cum a nobis interrogatus sit, utrum mutabile illud an immutabile constitueret, immutabile ab eo poni didicimus, sive potius interdum mutabile, interdum immutabile definiri, adeo ut ad malum quidem mutari non possit, ad bonum possit, ut ex ambabus illis definitionibus ludibrium humano generi debeat. Nam si infinitis seculis immutabilis malitia fuit, idque unum vocabulum obtinuit, neque quicquam praeter malum habuit, quis immobilem illam mali naturam tanto intervallo mutavit, ut se ad aliena converteret? Si id eo factum est quod nondum praedata virtutem esset, neque bonum expugnasset, aut eius armaturam occupasset, qua se confirmaret ac pasceret, atque ita tot illis seculis omnis expers alimenti, nec vero illius indigens permansit, quis eam naturam, quae alimentum hactenus minime desiderabat, ad illud capessendum impulit, idque ipsum requirendum quod non antea flagitabat? id desiderare denique quod nequaquam antea desideraverat? Naturamne mutavit? Ubi igitur illa est, quam asseris, immutabilis mali conditio? Quod si pristinum illum rursus ad statum redeat, ut quo vescatur habeat nihil, quonam pacto malus ille, posteaquam vesci consueverit, deinceps vitam tolerare sine cibo poterit? Etenim si quo tempore nondum cibis assueverat sustinere nihilominus non potuit, sed ad quaerendum pabulum est impulsus, ac demum praedatus animam eo pro cibo abusus est, ubi ciborum consuetudini indulserit, multo minus cohibere sese poterit, nec ulla ratione ei persuaderi poterit ut posteaquam ligurire, ac cibi suavitatem experiri coeperit, ab illo sese Cap. LIX.

ἄνευ τούτων διατελεῖν, ὡς ὁ σὸς λόγος ἀσύστατος ὑπάρχων τοῦτο βούλεται.

Κεφ. ξ'. Ἀλλὰ παρελεύσομαι τοῦτον τὸν τόπον, ἐφ' ἕτερα δὲ πάλιν τῆς αὐτοῦ ληρῳδίας ἐπεκτείνομαι τὴν διήγησιν. Πάλιν γὰρ φάσκει ὅτι οἱ Ἄρχοντες ἐν τοῖς ἰδίοις μέρεσι τότε ἔσονται, καὶ ὁ Πατὴρ τὰ ἴδια ἀπολήψεται μέρη. Τίς [1] ἄρα ὁ ἐπιεικὴς οὗτος, ἵνα τὸν ὅρον διχόθεν ἑκάστου μέρους γεωμετρήσῃ; πῶς δὲ πεισθήσεται ὁ ἀπαρχῆς τῇ ἀληθείᾳ καὶ τῷ ἀγαθῷ μὴ πειθόμενος; εἰ δὲ μετ' ἀνάγκης παραπείσειεν ὁ ἀγαθὸς τὸν παράνομον ἰδίοις στοιχεῖν, καὶ μὴ ἐπεμβαίνειν τῇ τοῦ ἀγαθοῦ μερίδι, διὰ τί μὴ ἀπαρχῆς τοῦτο ἠδυνήθη ποιῆσαι, πρὶν ἢ ὅλως ἀπ' [2] αὐτοῦ συληθῆναι τὰ μέρη; Πῶς δὲ ἔσονται οἱ δύο ἐπιτοαυτὸ, ἀνὰ μέρος ἕκαστος κεκτημένος; Εἰ γὰρ ὅλως μέρη ἔχει, καὶ τὰ ἕτερα μέρη οὐκ αὐτοῦ, οὐκέτι παντοκράτωρ ὁ παντοκράτωρ κληθήσεται, οὐκέτι Θεὸς τῶν ἁπάντων, οὐκέτι ὑποχείριος ὁ κακὸς τοῦ ἀγαθοῦ [3] γενήσεται, ἀλλὰ ἕκαστος αὐτῶν ἔχει τὴν ἰδίαν δεσποτείαν. Τίνος δὲ [4] ἄρα ὁ πονηρὸς δεσπότης ἔσται, μηκέτι ὄντος τοῦ κόσμου, μήτε τῶν ὑπ' αὐτοῦ ζώων τε καὶ ἀνθρώπων κυριευομένων; Εἰ δὲ ὅλως κακός ἐστι καὶ ὕλη καὶ φθορὰ, πῶς μᾶλλον οὐκ ἐφθάρη; εἰ γὰρ ἔκ-
pag. 673. τοτε ἡ οὖσα [5] κακία φθορὰ ὑπῆρχε, καὶ φθείρει μὲν τὰ ἄλλα, [6] αὐτὴ δὲ ἑαυτὴν οὐ φθείρει, οὐκέτι φθειρομένη ὑπάρχει ἡ ἄλλα μὲν φθείρουσα, [7] αὐτὴ μένουσα ἀένναος, καὶ μὴ ἀφανιζομένη. Αὐτῆς δὲ μενούσης ἐν στερεᾷ ὑποστάσει, φθειρούσης δὲ τὰ ἄλλα, καὶ οὐχ ἑαυτὴν, οὐδὲν ἔχει ἐᾶσαι, ἀλλὰ πάντως ἡ φθορὰ τῶν ἑτέρων τὰ ἕτερα φθείρει. Ἐπιμένουσα δὲ ἡ αὐτῆς ὑπόστασις, καὶ οὐκέτι ἐάσει τι τῶν ὄντων, ἀλλὰ [8] αὐτὴ μόνη μενεῖ, τὰ δὲ φθειρόμενα δι' αὐτῆς ἀφανίζεται. Εἰ δὲ καὶ ἑαυτῇ ἐστι κακὴ, καὶ ἑαυτῇ φθορὰ, οὐκέτι ἡ ὑπόστασις αὐτῆς σταθήσεται. Οὐ μόνον ἐν τῷ μέλλοντι εἴποιμι, ἀλλὰ καὶ ἔκτοτε ἀφανισθεῖσα ἂν ὑπῆρχεν, ἤδη [9] δὲ ἐν ἑαυτῇ ἑαυτὴν φθείρασά τε καὶ ἀφανισθεῖσα. Ἀλλὰ ταῦτα πάντα ἐστὶ τὰ διηγήματα τῆς τοῦ ἄφρονος ματαιολογίας, ἃ κατανοήσαντες οἱ συνετοὶ υἱοὶ τῆς ἁγίας τοῦ Θεοῦ ἐκκλησίας, πίστεώς τε τοῦ κυρίου, διακρίνατε τὸν ἀγύρτην, καὶ καταγελάσατε τῆς αὐτοῦ ληρῳδίας. Ἐπανελεύσεται δὲ εἰς τὰς κακῶς ἑαυτῷ ἐπινενοημένας προφάσεις, καὶ ἀπὸ τῶν θείων γραφῶν ὁμοιώσεις, καὶ οὐχ οὕτως ἐχούσας, ἀλλὰ οὕτως ὑπ' αὐτοῦ κακῶς νοουμένας. Φέρε οὖν ἐκθώμεθα αὐτὰ δὴ κατὰ λέξιν, ἃς ὑποκλέπτων ἐκ τῶν θείων γραφῶν, ὡς ἔφην, κατὰ τὸν νοῦν αὐτοῦ διηγεῖται· εἰ

Cap. LX. — 1. ἄρα *cod. ms. uterque.*
2. *Sententia postulabat* αὐτοῦ, *non* αὐτῆς, *quod in libris vulgo extat.*
3. γένηται *vitiose legitur exaratum in ed. Petav. Colon. repet.*
4. ἄρα *codd. mss., uti supra.*
5. κακία *non extat in cod. Rhedig.*
6. *Reposui* αὐτὴ *pro* αὕτη *quod omnes libri habent, sententia persuadente.*
7. *Libri habent* αὕτη, *uti paulo antea. Fortasse reponendum* αὐτὴ δὲ μένουσα.
8. *Libri habent* αὕτη.

contineat, quod tamen vana tua minimeque cohaerens ratio comprobare nititur.

Verum hoc loco praetermisso ad alia eiusdem hominis deliria orationem conferam. Principes ait postremo illo tempore propriis sedibus restitutum iri, ac Patrem suasmetipsius partes esse recuperaturum. Quis est ille tam aequus, ut unicuique parti terminos suos velut decempeda metiatur? Quinam vero parebit ille, qui veritati ac bono morem gerere initio noluerit? Si id necessitate bonum exorturum dixeris, ut iniustus ille suis rebus contentus sit, nec in boni possessionem involet. Cur non facere illud initio potuit, priusquam suae sibi partes essent ereptae? An vero simul esse duo illi poterunt, cum suam quisque partem obtineat? Age vero si omnino suae omnipotenti partes attributae sint, adeo ut ceterae nihil ad ipsum pertineant, omnipotens appellari desinet? desinet omnium esse deus, desinet malo bonus esse subiectus, cum unusquisque sua se dominatione contineat. Cuius porro malus ille dominus erit, si neque mundus amplius supersit, nec animalia, vel homines ulli, qui illius ditioni subiacent. Praeterea cum idem ille materia simul atque corruptio sit, nonne prae ceteris corrumpi ipse debuit? Nam si ex illo tempore malum et si corruptio foret, ceteraque corrumperet, seipsum minime corrumpit, non est quod corruptioni obnoxium illud esse suspicemur, cum ita corrumpat cetera, ipsum immortale sit, nec extingui possit. Ex quo et illud sequitur, cum solida perpetuaque substantia constet, ac praeter sese consumat omnia, nihil ab illo relictum iri, sed cum ceterorum consumptio sit, illis ipsis interitum allaturum. Quamobrem sic illius substantia permanebit, nihil ut eorum quae sunt residere patiatur, sed sola perseverans universa profligabit. Nam si suam in sese malitiam exerceat, seque ipsa corrumpat, non potest constans eius esse stabilisque substantia. Ac nedum futuris postea temporibus, sed ne praeteritis quidem facere potuit, quin se suapte ipsius pernicie exitioque conficeret. Eiusmodi sunt ineptissimi hominis nugae ac fabulae. Quibus animadversis vos prudentes, sanctae dei ecclesiae ac dominicae fidei alumni, qualis impostor ille sit cum iudicio vestro perpendite, eiusque somnia deridete. Sed ad argumenta quaedam occasionesque perperam ex scripturis sacris ob nonnullam similitudinem expressas confugit, quae cum aliud sibi velint, male ab eo contrarium in sensum trahuntur. Ergo haec ipsa furtim ab eo sacris e literis interversa, et ad ipsius sententiam accommodata iisdem verbis in medium Cap. LX.

9. *Fortasse* δὴ ἐν ἑαυτῇ.

καὶ μάλιστα πολλάκις τὰς αὐτὰς διαλαμβάνοντες ἀκρότατα διηλέγξαμεν.

Κεφ. ξα'. Πρῶτον μὲν οὖν ὅτι εὑρὼν ἐν ταῖς θείαις γραφαῖς περὶ Παρακλήτου ὀνόματος, καὶ ἀγνοήσας τὴν τοῦ ἁγίου Παρακλήτου δύναμιν, ἑαυτὸν ὑπειςήνεγκε, νομίσας εἶναι τοῦτο. Καὶ φάσκει μὲν αὐτῷ τὰ ὑπὸ τοῦ ἁγίου Παύλου εἰρημένα παρακεχωρηκέναι, ὡς τοῦ ἁγίου ἀποστόλου φήσαντος, ἀπὸ μέρους γινώσκομεν, καὶ ἀπὸ μέρους προφητεύομεν· ὅταν ἔλθῃ τὸ τέλειον, τὸ ἀπὸ μέρους καταργηθήσεται. Τοῦτο δὲ περὶ Παρακλήτου οὐδ' ὅλως ἐκτίθεται ὁ ἅγιος ἀπόστολος, ὁ καταξιωθεὶς [1] αὐτοῦ τοῦ ἁγίου πνεύματος μετὰ τῶν ὁμοίων αὐτοῦ ἀποστόλων, ἀλλὰ περὶ τῶν δύο κόσμων διηγεῖτο, περὶ τοῦ ἐνεστῶτος καὶ μέλλοντος, ὡς ἔφην, τοῖς βουλομένοις περὶ καιρῶν καταλαμβάνειν ὅτι, Μηδὲν ὑμᾶς [2] πτυρέτω ἐν λόγῳ, ἐν ἐπιστολῇ, ὡς ὅτι ἡ ἡμέρα ἐνέστηκε τοῦ κυρίου· ἐὰν γὰρ μὴ ἀποκαλυφθῇ ὁ υἱὸς τῆς ἀνομίας, ὁ ἄνθρωπος τῆς ἀδικίας, καὶ τὰ ἑξῆς. Καὶ πάλιν συνελθόντων τῶν μαθητῶν πρὸς τὸν σωτῆρα ἠρώτων αὐτὸν περὶ τῆς συντελείας, καὶ ἔλεγεν αὐτοῖς, Οὐχ ὑμῶν [3] ἔστι γνῶναι χρόνους καὶ καιροὺς, οὓς ὁ πατὴρ ἔθετο ἐν τῇ ἰδίᾳ ἐξουσίᾳ, ἀλλὰ λήψεσθε δύναμιν ἐπελθόντος τοῦ ἁγίου πνεύματος ἐφ' ὑμᾶς· καὶ πάλιν ἔλεγεν, Ἀπὸ Ἱεροσολύμων μὴ χωρίζεσθε, ἀπεκδεχόμενοι τὴν ἐπαγγελίαν [4] τοῦ πνεύματος, ἣν ἠκούσατε, τουτέστι τὸ πνεῦμα τὸ παράκλητον ὃ ἔφη, ἐὰν ἐγὼ ἀπέλθω, ἐκεῖνος ἐλεύσεται, καὶ ἀναγγελεῖ ὑμῖν τὰ πάντα. Τὸ δὲ, Ἀναγγελεῖ ὑμῖν τὰ πάντα, δι' ἣν ἔμελλον καταξιοῦσθαι δωρεὰν, [5] ἐνοικήσειν ἐν αὐτοῖς τὸ ἅγιον πνεῦμα, ὅπως τὰ πάντα αὐτοῖς σαφῶς διηγήσηται, ὅσα ἠδύναντο ἐν τῷ αἰῶνι τούτῳ χωρῆσαι. Καὶ ὧδε μὲν ἐν τῷ αἰῶνι τούτῳ χωρήσαντες τὸ πνεῦμα τὸ παράκλητον ἐπροφήτευσαν, ὡς Ἄγαβος ἐπροφήτευσε περὶ λιμοῦ ἐσομένου, καὶ ὅτι προφῆται ἀπὸ Ἱεροσολύμων κατέβησαν, καὶ ὅτι ἦσαν τέσσαρες θυγατέρες τῷ Φιλίππῳ προφητεύουσαι. Ὅταν δὲ [6] προφητεύωσιν, ἀπὸ μέρους προφητεύουσι, καὶ ἀπὸ μέρους γινώσκουσι· τὸ δὲ τέλειον ἐν τοῖς μέλλουσιν αἰῶσιν ἐλπίζοντες προσδοκῶσιν, ὅταν τὸ φθαρτὸν εἰς ἀφθαρσίαν μεταβληθῇ, καὶ τὸ θνητὸν εἰς ἀθανασίαν, ὅταν τότε πρόσωπον πρὸς πρόσωπον. Ἄρτι γὰρ δι' αἰνίγματος τὰ πράγματα, ἐκεῖ δὲ ἑτοιμάζεται ἃ [7] ὀφθαλμὸς ὧδε οὐκ εἶδεν. Ἐκεῖ ἀποκαλύπτεται ἡ τελειότης, ἃ οὖς ἐνταῦθα οὐκ ἤκουσεν. Ἐκεῖ τὸ μέγα χάρισμα τοῖς ἁγίοις, ὃ ἐπὶ καρδίαν ἀνθρώπου οὐκ ἀνέβη ἐνταῦθα. Καὶ ὁρᾷς ὅτι οὐχὶ τῷ Μάνῃ ἐταμιεύετο τὸ εἰδέναι τὰ περιττά. Πῶς γὰρ ᾔδει Μάνης τοῦ σκοποῦ τοῦ ἰδίου ἐκπεσών; Ἐπεβάλλετο γὰρ ἵνα τὸν Μάρκελλον χειρώσηται, ἤρχετο πρὸς

pag. 674.

Cap. LXI. — 1. Repono αὐτός.
2. πτυρετώ cod. ms. uterque.
3. ἐστι γνῶναι cod. ms. uterque. ἐπιγνῶναι editi libri.
4. τοῦ ἁγίου πνεύματος cod. Rhedig.
5. ἐνοικήσειν (ἐνοικήσει cod. Ien.) cod. ms. uterque. In editis est ἐνοικήσει.

afferamus. Quamquam nos ex iis saepius disputantes accuratissime refellimus.

Inprimis igitur cum divinis in literis Paracleti nomen invenisset, ac vim illius ignoraret, semetipsum pro vero spiritu supposuit. Cap. LXI.
Itaque ad sese pertinere illa docet quae ab apostolo Paulo dicuntur: *Ex parte cognoscimus, et ex parte prophetamus: cum venerit quod* 1. Cor. 13, 9.
perfectum est, evacuabitur quod ex parte est. Atqui de Paracleto nullo modo haec pronuntiavit apostolus; qui cum sodalibus suis apostolis spiritum sanctum accipere meruit, sed de duplici mundo sermonem instituerat, praesenti videlicet ac futuro, propter nonnullos qui de temporibus scire atque inquirere cupiebant. *Nihil*, inquit, *terreat* 2. Thess. 2, 2.
vos in sermone, aut epistola, quasi instet dies domini: nisi enim revelatus fuerit filius iniquitatis, homo iniustitiae, etc. Quin etiam convenientibus salvatorem apostolis, ac de mundi occasu sciscitantibus, ita ipse respondit, *Non est vestrum nosse tempora, vel mo-* Act. 1, 7.
menta, quae pater posuit in sua potestate, sed accipietis virtutem supervenientis spiritus sancti in vos. Item, *Hierosolymis*, inquit, *ne* Ioann. 16, 8.
disc·dite, expectantes promissionem spiritus, quam audistis, hoc est paracletum illum spiritum, de quo dixerat, *Si ego, abiero ille veniet,* Ioann. 16, 14.
et annuntiabit vobis omnia. Quae quidem verba, *Annuntiabit vobis omnia,* ad coeleste donum illud, quod erant adepturi par est referri; quod nimirum habitaturus in ipsis esset spiritus sanctus, quo iis aperte universa declararet, quae quidem capere in hac vita poterant. Quamobrem cum ad eum modum paracleti spiritus essent in hac vita compotes facti, vaticinati sunt. Quemadmodum *Agabus ventu-* Act. 11, 28.
ram famem praedixit, itemque *propheta Hierosolymis advenerunt.* Sic et *Philippo quatuor erant filiae prophetissae.* Ceterum quoties Act. 21, 9.
omnes illi prophetant, *ex parte prophetant, et ex parte cognoscunt.* 1. Cor. 13, 9.
Quod vero perfectum est futuro in seculo tribuendum spe et exspectatione praecipiunt. *Quando corruptibile in incorruptionem, mor-* 1. Cor. 15, 53.
tale in immortalitatem commutatum fuerit, cum et *facie ad faciem in-* 1. Cor. 13, 12.
tuebimur. Nunc enim res nostrae *per aenigmata* et involucra transiguntur: illic ea praeparantur quae hic *oculus non vidit.* Illic per- 1. Cor. 2, 9.
fectio retegitur, quae *hic auris nequaquam audiit.* Illic donum ingens sanctis tribuitur, quod *hic in cor hominis non ascendit.* Ex quibus animadvertis uberiorem illam copiosioremque scientiam Manichaeo reservatam non fuisse. Quomodo enim ista cognoscet is qui ab eo quod sibi proposuerat excidit? Nam Marcellum circumvenire

6. προφητεύωσιν *cod. ms. uterque. Vulgo* προφητεύουσιν.

7. ὀφθαλμὸς *codd. mss.* ὁ ὀφθαλμὸς *editi.*

τὸν Ἀρχέλαον, ἵνα αὐτὸν ἡττήσῃ, καὶ οὐ δεδύνηται. Πῶς οὖν ἀγνοῶν τὸ πρόσφατον δύναται εἰδέναι περὶ τῶν μειζόνων; πῶς δὲ οὐκ ἔλαθε τὰς χεῖρας τοῦ βασιλέως τῶν Περσῶν, [8] ὡς ὅτε ἁλοὺς ἔδωκε δίκην; [9] Ἀλλ' ἵνα καταφανῇ τοῖς σύνεσιν κεκτημένοις κατὰ πάντα ψευδόμενος.

Κεφ. ξβʹ. Πάλιν δὲ βούλεται φέρειν μαρτυρίαν, ἵνα παραστήσῃ τὴν παρ' αὐτῷ λεγομένην δυάδα, καὶ διέλῃ ἀναμέσον τῶν δύο Ἀρχῶν κενῶς, ἐν τῷ εἰπεῖν τὸν σωτῆρα, Οὐ δύναται δένδρον ἀγαθὸν καρποὺς κακοὺς ποιῆσαι, [1] οὐδὲ δένδρον σαπρὸν καρποὺς ἀγαθοὺς ποιῆσαι· ἐκ γὰρ τοῦ καρποῦ τὸ δένδρον γινώσκεται. Καὶ ὅρα μοι τὴν ἐλαφρὰν
pag. 675. διάνοιαν, καὶ μηδὲν ἐν βάθει τὰ τῆς θείας γραφῆς κατανοοῦσαν. Εἰ μὲν γὰρ δένδρα εἰσὶν, ἄρα καὶ γεωργὸν ἔχουσι, καὶ φυτὰ τυγχάνοντα καὶ πάντως ὑπό τινός εἰσι πεφυτευομένα. Πᾶν δὲ τὸ πεφυτευμένον οὐκ ἔστιν ἄναρχον, [2] ἀλλὰ ἀρχὴν ἔχει· ἀρχὴν δὲ ἔχον καὶ τέλος ὑφέξει. Τοίνυν τὸ σαπρὸν δένδρον οὐκ ἦν ἀεὶ, ἀλλὰ πεφύτευται, καὶ τὸ ἀγαθὸν δένδρον τοῦτο οὐ περὶ πάσης τῆς ἄνωθεν ἀγαθότητος [3] διηγεῖται. Ἐκεῖ γὰρ ἄψευστος ἀγαθότης μεταβολὴν μὴ ἔχουσα, καὶ ἐν τιμῇ ἀνεκλαλήτῳ τοῦ ὄντος· ἁγίου θεοῦ τὸ διανόημα. Εἰς δὲ τὴν περὶ φυτῶν ἐνέργειαν ἴδωμεν εἰ οὕτως ἔχει, καὶ λάβωμεν λέγειν. Εἰ μὲν γὰρ περὶ τοῦ διαβόλου ἐστὶν ὁ λόγος, ἤδη πολλάκις ἐδείξαμεν ὅτι οὐ πονηρὸς γεγένηται· οὐδὲν γὰρ φαῦλον ὁ θεὸς ἐποίησε, καὶ τοῦτο τοῖς συνετοῖς ἐστι κατάδηλον. Εἰ γὰρ κατὰ τῶν αὐτῶν φερόμεθα, οὐδὲν λυπήσει ἀποδεῖξαι καὶ ἐν τῷ παρόντι τὸν περὶ τῆς ἀληθείας λόγον. Ἐν τῇ ἀρχῇ τοίνυν φαῦλος οὐκ ἦν, ἀπέβη δὲ φαῦλος. Ἰδοὺ, οὐ συσταθήσεται ἐν τῷ μέρει τούτῳ ὁ περὶ τοῦ φυτοῦ λόγος. Ὁρῶμεν γὰρ καὶ Σαῦλον διώκτην γενόμενον, ὕστερον δὲ διωκόμενον ὑπὲρ τοῦ ὀνόματος οὗ ποτε ἐδίωκεν. Ὁρῶμεν τὸν Ἰούδαν ἐκλελεγμένον σὺν τοῖς δώδεκα ἀποστόλοις, καὶ ὕστερον ἀποβάντα, καὶ ἐν μερίδι πονηρᾷ τεταγμένον. Ὁρῶμεν Ῥαὰβ τὴν πόρνην ἀλλοτρίαν οὖσαν τοῦ γένους Ἰσραὴλ, ὕστερον δὲ μετανοήσασαν, καὶ λαβοῦσαν θεοῦ τὸν ἔλεον. Ὁρῶμεν τὸν λῃστὴν ἐπὶ [4] κακουργίᾳ ἁλόντα, καὶ κρεμασθέντα ἐπὶ τοῦ ξύλου, καὶ ἐξομολογησάμενον, καὶ ἅμα τῷ κυρίῳ ἐν τῷ παραδείσῳ εἰςεληλυθότα. Ὁρῶμεν Νικόλαον καλὸν ὄντα, καὶ ἐκλελεγμένον, ὕστερον δὲ ἀποβάντα πονηρὸν καὶ ἐν τοῖς αἱρεσιάρχαις ταχθέντα. Καὶ τί μοι τὰ πλήθη λέγειν; τί οὖν ἐστι τὸ φυτὸν τοῦτο τὸ πονηρὸν ἀφ' οὗ ἀγαθὸν οὐ γίνεται; Ἀλλὰ πάλιν πράξεις εἰσὶν ἀνθρώπων. Οὐ δύναται γὰρ ἐκ πορνείας ἀγαθότης εἶναι· οὐ δύναται ἐκ φθόνου πονηρίας

8. Suspicor ὥστε ἁλούς.
9. Intellege ac solve Ἀλλ' ἔλαθε, ἵνα celt.
Cap. LXII. — 1. οὐ cod. Rhedig.
2. ἀλλ καὶ ἀρχὴν cod. Rhedig.
3. narrat recte convertit Cornarius.

primum est aggressus. Tum ad Archelaum venit, ut eum vinceret, quod tamen assequi non potuit. Fierine igitur potest ut qui quod adeo recens est ignorarit, maiora illa cognoscat? Cur non vero Persarum regis manus effugit, cum ab eo comprehensus ac poenis affectus est? Ut aperte constet iis qui prudentiae aliquid habeant illum in omnibus esse mentitum.

Sed quoddam testimonium urget ut suum illud par principiorum Cap.LXII.
affirmet, eaque a se invicem frustra dirimat. Ergo hac salvatoris voce nititur: *Non potest arbor bona fructus malos facere, neque ar-* Matth.7,18.
bor mala fructus bonos facere; ex fructu enim arbor cognoscitur. Vide hominis levitatem, qui nihil in scripturis penetrare altius possit. Etenim si principia illa arbores sint, habent igitur et agricolam suum, et cum plantae sint, omnino a quopiam plantatae sunt. Quidquid autem plantatum est, principium habet, proindeque et finem habebit. Itaque arbor mala non perpetuo extitit, sed est aliquando consita. Arbor vero bona non ad omne bonitatis supremae genus debet referri. Illic enim certa minimeque mendax et immutabilis bonitas est, utpote quae sit dei cogitatio inexplicabili quodam honore praedita. Utrum vero ad plantarum productionem accommodari possit, videndum ac disputandum nobis est. Etenim si de diabolo sermo sit, saepe illum ostendimus malum ab origine non fuisse; nihil enim deus malum condidit, idque adeo prudentibus est manifestum. Ac licet in eodem argumento versemur, non gravabimur tamen veritatem etiam in praesentia comprobare. Igitur malus initio diabolus non fuit, sed evasit postea. Quare locum hic non habet quod de arbore proponitur. Nam et Saulum videmus per- Act. 9.
secutorem fuisse, eundemque pro eo quod insecutus fuerat nomine Luc. 22, 3.
persecutionem esse passum, contra vero Iudam cum duodecim apo- Iosue 2.
stolis electum descivisse postmodum et ad improbam factionem aggregatum. Quin et Raab meretricem cernimus ab Israëlitico genere hactenus alienam post poenitentiam receptum ad dei misericordiam habuisse. Videmus et latronem in facinore deprehensum et in cru- Luc. 23, 40.
cem sublatum post confessionem una cum domino in paradisum ingressum. Nicolaum praeterea videmus virum bonum et electum, Act. 6, 5.
sceleratum postea fuisse, atque inter haereseon auctores adscriptum. Quid hic ceteros commemorem? Quidnam porro malam hanc arborem esse dicemus, e qua bonum oriri nequeat? Plane de hominum actionibus interpretari debemus. Neque enim e stupro derivari bonitas potest, neque ex nequitiae livore iustitia, neque ex adul-

4. *κακουργίᾳ restitui ex libris mss. In editis est κακουργίας.*

δικαιοσύνη· οὐ δύναται ἐκ μοιχείας ἔπαινος γενέσθαι. Αὐτὸ γὰρ τὸ τῆς ἁμαρτίας δένδρον οὐ δύναται δι' ἀγαθότητος γενέσθαι, τουτέστιν οὐ ποιεῖ δένδρον πονηρὸν καρποὺς ἀγαθοὺς, οὐδὲ ἀγαθοῦ δένδρου καρποὺς πονηροὺς γενέσθαι. Οἷον τὸ ἀγαθὸν δένδρον τὸ μὴ ποιοῦν καρποὺς πονηροὺς ξενοδοχία γινομένη, κἄν τε ὅσα ἀποβῇ ἀπὸ τῆς ξε- pag. 676. νοδοχίας, οὐχ ἕνεκεν φαυλότητος ἔχει τὴν [5] δύναμιν ἐλεημοσύνη, ἁγνεία διὰ θεὸν, ἐγκράτεια διὰ τὸν δεσπότην, δικαιοσύνη διὰ τὸν νόμον.

Κεφ. ξγ'. Ταῦτα τὰ δύο δένδρα περὶ δικαιοσύνης καὶ περὶ ἁμαρτίας τοῦτον ἔχει τὸν τρόπον. Περὶ δὲ ὧν οὗτος ὁ βάρβαρος Μάνης διανοεῖται, περὶ θεοῦ βούλεται λέγειν, καὶ περὶ τοῦ διαβόλου. Καὶ ὅτι περὶ θεοῦ οὐδεὶς δύναται τολμῆσαι καὶ εἰπεῖν ὅτι κακὸν ποιήσει ποτὲ (μὴ γένοιτο), καὶ [1] οὔτε περὶ τοῦ διαβόλου ὅτι ἀγαθὸν ἐργάζεται, τοῦτο δῆλον. Ἀλλὰ διὰ θεοῦ πάντα γίνεται τὰ ἀγαθὰ, καὶ φαῦλον ἐξ αὐτοῦ οὐδὲν κέκτισται, οὐδὲ γίνεται. Εἰ δὲ ἐκ διαβόλου ἐνεργεῖται πονηρά τινα, ἰδοὺ, εὑρήκαμεν καὶ δι' αὐτοῦ στέφανον πλεκόμενον ἁγίοις, καὶ βραβεῖον διδόμενον τοῖς νενικηκόσι. Καὶ διέπεσεν ὁ αὐτοῦ λόγος. Τὸ γὰρ σαπρὸν δένδρον καὶ ἀγαθὸν δένδρον περὶ ἀγαθῶν ἔργων τυγχάνει καὶ περὶ φαύλων, καὶ οὐκ ἔστι περὶ παλαιᾶς διαθήκης καὶ καινῆς, καθὼς βούλεται ὁ τοῦ Μάνη λόγος.

Κεφ. ξδ'. Ἔτι δὲ ὁ αὐτὸς βουλόμενος [1] παριστᾶν τὰς περὶ τῶν δύο Ἀρχῶν προφάσεις, θηρώμενος [2] ἐπιτηδεύεται τὰς αὐτῷ δοκούσας λέξεις, οὕτως ἐχούσας ὅτι, φησὶ, τοῖς Ἰουδαίοις ἔλεγεν, Ὑμεῖς υἱοὶ τοῦ διαβόλου ἐστέ· ἐκεῖνος ἀνθρωποκτόνος ἦν, ὅτι ὁ πατὴρ αὐτοῦ ψεύστης ἦν· βούλεται δὲ βλασφημεῖν καὶ λέγειν τὸν ποιητὴν οὐρανοῦ καὶ γῆς πατέρα εἶναι τοῦ διαβόλου, μηδαμῶς δυνάμενον ὅλως ἐπὶ τοῦτο τὸ ῥητὸν [3] φέρεσθαι. Εἰ γὰρ ὅλως τοῦ διαβόλου υἱοί εἰσι, διέπεσεν ὁ κατ' αὐτὸν λόγος, καὶ [4] ἑαυτῷ ἀντιμάχεται ὁ Μάνης ἀγνοῶν. Ἀφωρίσθησαν γὰρ λοιπὸν αἱ αὐτῶν ψυχαὶ ἐκ διαβόλου γεγενημέναι, καὶ οὐκέτι εἰσὶν ἀπὸ τῆς ἄνωθεν δυνάμεως κατὰ τὸν αὐτοῦ μῦθον, ἢ οὐκ ἔστι μέρος τοῦ φωτὸς ἢ πανοπλίας τοῦ αὐτοῦ, ἢ τοῦ στύλου τοῦ φωτὸς, ἢ Μητρὸς τῆς ζωῆς. Εἰ δὲ ὅλως αὐτοὶ τοῦ διαβόλου, ἄρα καὶ ὁ Ἀβραὰμ ὁ τούτων πατὴρ, οὗ σπέρμα τυγχάνουσιν αὐτοὶ οἱ Ἰουδαῖοι, καὶ αὐτὸς τοῦ διαβόλου ἐστὶ, κατὰ τὸν τοῦ Μάνη λόγον. Πῶς οὖν [5] ὁ σωτὴρ ἐλεγκτικῶς λέγει αὐτοῖς, Ὑμεῖς οὐκ ἐστε τέκνα τοῦ Ἀβραὰμ,

5. *Sustuli distinctionem post* δύναμιν, *quae in editis vulgo obtinuit.*

Cap. LXIII. — 1. *Suspicor* οὐδέ.

Cap. LXIV. — 1. παριστᾶν *emendavit Pelavius ex auctoritate exempli Schottiani, in cuius margine ea scriptura annotata est, cum siglo M., ex cod. ni fallor manu exarato, nescio quo. In reliquis, tum scriptis quam edito, extat* παριστᾶν.

2. ἐπιδεύεται *habet edit. princ.* ἐπιδύεται *codd. mss.*

3. φέρεσθαι *emendavit Petavius. Libri*

terio laus. Siquidem arbor illa peccati a bonitate proficisci non potest. Hoc est, *Arbor mala bonos fructus non facit, neque bona ex arbore mali fructus oriuntur.* Exempli gratia arbor illa bona, quae malos fructus edere non potest, fit benigna hospitum exceptio. Quicquid enim ab ea proficiscatur, vis eius ab improbitate non oritur. Similiter eleemosyna, castimonia quae propter deum colitur, continentia propter dominum, iustitia legis gratia suscepta.

Quamobrem ambae illae arbores de iustitia et peccato intelligi commode possunt. At barbarus ille Manichaeus perperam de deo ac diabolo conatur accipere. Verum neminem eo audaciae progredi posse perspicuum est ut aut deum asserat malum aliquando facturum, aut diabolum bonum. Quinimo bona omnia deus efficit, neque malum quicquam ab eo productum est, aut vero producitur. Quod si diabolus nonnulla mala molitur, nimirum hac illius opera sanctis hominibus corona nectitur, ac praemium victoribus tribuitur. Sicque tota illius ratio corruit. Mala enim arbor et bona de bonis ac malis operibus explicantur, nec ad vetus novumque testamentum pertinent, ut falso Manichaeus existimat. Cap. LXIII.

Sed instat idem ille, et ut suum de duobus principiis dogma stabiliat, nonnullas e scripturis voces pro sua libidine captat, quae sunt eiusmodi. Iudaeis, inquit, dominus dixit, *Vos filii diaboli estis: ille homicida fuit, quoniam pater eius mendax erat.* Cuius ex occasione loci homo contumeliose in deum garrire non dubitat, et coeli terraeque conditorem patrem esse diaboli dicere, cum nihil eiusmodi locus ille contineat; etenim si diaboli filii habendi illi sunt, falsum est quod alio loco defendit, ac sibi ipse imprudens repugnat. Sequitur enim separatas deinceps, et a diabolo productas illorum animas fuisse, minimeque ab coelesti virtute profectas, ut illius fabula narrabat. Nec iam pars erit ulla lucis, aut illius armaturae, aut columnae luminis, aut matris vitae. Imo vero si diaboli filii sunt, Abrahamus etiam illorum pater, a quo Iudaei propagati sunt, diaboli filius erit, ex illa Manichaei sententia. Quod si ita est, quanam ratione salvator ipse his illos verbis appellat: *Vos non estis* Cap. LXIV. Ioann. 8, 44. Ioann. 8, 40.

habent φαίνεσθαι. *Ita supra haer.* 59, 4. *dixit* Τὰ γὰρ εἰς ἱερωσύνην παραδοθέντα διὰ τὸ ἐξοχώτατον τῆς ἱερουργίας εἰς πάντας ἐνόμισαν ἴσως φέρεσθαι.

4. ἑαυτῷ *ex libro ms.* (*qui M. siglo notatus est*) *annotavit in marg. sui exempli Fr. Schottus, unde recepit Petavius.* ἐμαυτῷ (*in cod. Ien. rasura conspicua est*) *codd. mss. et ed. princ.*

5. ὁ σωτὴρ ἐλεγχτικῶς *emendavit Petavius, partim praeeunte Cornario, qui interpretatus est* Quomodo igitur Salvator expresse dicit ad ipsos *cett. Libri vulgo habent* ὁ πατὴρ λεκτικῶς.

ἀλλὰ τοῦ πατρὸς ὑμῶν τοῦ διαβόλου· εἰ γὰρ ἦτε τέκνα τοῦ Ἀβραὰμ, τὰ ἔργα αὐτοῦ ἐποιεῖτε· ὑμεῖς γὰρ ζητεῖτέ με ἀποκτεῖναι, [6] ἄνθρωπον, pag. 677. ὃς τὴν ἀλήθειαν λελάληκα ὑμῖν· τοῦτο Ἀβραὰμ οὐκ ἐποίησε; Καὶ ὁρᾷς ὅτι καταχρηστικός ἐστιν ὁ λόγος· αὐτῶν γὰρ ὄντων υἱῶν τοῦ Ἀβραὰμ, καὶ τοῦ κυρίου ἀπαλλοτριοῦντος αὐτοὺς διὰ τῶν ἔργων, οὐχὶ διὰ τοῦ πλάσματος, ἢ διὰ τῆς ποιήσεως. Ἤδη δὲ καὶ ἄνω διηγησάμεθα περὶ τούτου. Πῶς οὖν τὸ μέρος τοῦ αὐτοῦ σπέρματος ἔσται, ποτὲ μὲν ἀλλότριον καὶ τοῦ διαβόλου, ποτὲ δὲ μέρος θεοῦ; ἀλλὰ τοῦτο ἐγκληματικῶς διηγεῖται. Ὧι γάρ τις ἑαυτὸν ὑποτάσσει, τούτου [7] δοῦλος τυγχάνει, κατὰ τὴν ἐνέργειάν τε καὶ διδασκαλίαν, ὡς καὶ ὁ Παῦλός φησι, Εἰ γὰρ καὶ πολλοὺς διδασκάλους ἔχετε, ἀλλ' οὐ πολλοὺς πατέρας· ἐν γὰρ Χριστῷ Ἰησοῦ διὰ τοῦ εὐαγγελίου ἐγὼ ὑμᾶς ἐγέννησα. Καὶ ὁρᾷς ὅτι τὴν διδασκαλίαν λέγει; Καὶ εἰ μὲν ὁ Μάνης ἐδέχετο τὸν Ἀβραὰμ, ἐλέγομεν ἂν τὸν μὲν Ἀβραὰμ τοῦ θεοῦ τοῦ φωτὸς, τοὺς δὲ ὑπ' αὐτοῦ γεγεννημένους ἄλλου. Ἡ δὲ ὑπόθεσις τοῦτον ἔχει τὸν τρόπον. Ἐμιμοῦντο τὸν φονέα, ἐμιμοῦντο τὴν παράδοσιν τοῦ Ἰούδα, κατεδέξαντο τὴν διαβολὴν τοῦ προδότου, υἱοὶ γεγόνασι τῆς αὐτοῦ ἐπαρνησιθείας· αὐτὸς ψεύστης ἐγένετο, τὸ γλωσσόκομον κατέχων, καὶ κλέπτων, καὶ λέγων αὐτῷ, Χαῖρε Ῥαβὶ, καὶ ἐλεγχόμενος, καὶ ἀκούων, Ἑταῖρε, ἐφ' ᾧ πάρει; Οὗτος ὁ Ἰούδας ἐμιμήσατο τὸν Κάϊν, ἐπειδὴ ἀνθρωποκτόνος ἐγένετο, ψευδόμενος ἐναντίον τοῦ κυρίου, καὶ λέγων, Μὴ φύλαξ εἰμὶ τοῦ ἀδελφοῦ μου; οὐκ οἶδα ποῦ ἐστι. Καὶ [8] αὐτὸς κατὰ μίμησιν υἱὸς γεγένηται, καὶ [9] κατὰ θεωρίαν τῆς ἐν τῷ ὄφει λαλησάσης ψευδηγόρου φωνῆς τῆς λεγούσης, Ἔσεσθε ὡς θεοὶ, γινώσκοντες καλὸν καὶ πονηρόν. Τουτέστι τὸ ἐν τῷ εὐαγγελίῳ παρὰ τοῦ σωτῆρος εἰρημένον, Ὑμεῖς υἱοί ἐστε τοῦ διαβόλου. Λέγει γὰρ, Οὐχὶ δώδεκα ὑμᾶς ἐξελεξάμην; εἷς ἐξ ὑμῶν ἐστι διάβολος. Ἐπειδὴ ἀπαρχῆς ψεύστης ἐστὶ, καὶ ἀνθρωποκτόνος, ὅτι ὁ πατὴρ αὐτοῦ ψεύστης ἦν. Καὶ λέλυται ἡ τούτου ζήτησις. Οὐ γὰρ τοῦ διαβόλου ἦσαν τέκνα οἱ Ἰουδαῖοι, μὴ γένοιτο. Λέγει γὰρ ἡ Σαμαρεῖτις πρὸς τὸν σωτῆρα ὅτι, Ὧδε ἐν τῷ ὄρει τούτῳ προςεκύνησαν οἱ πατέρες ἡμῶν, καὶ ὑμεῖς δὲ λέγετε ὅτι ἐν Ἱεροσολύμοις ἐστὶν ὁ τόπος, ὅπου δεῖ προςκυνεῖν. Εἶτα μετὰ πολλὰ ὁ σωτὴρ [10] αὐτῇ ἔφη ὅτι, Ἃ οἴδαμεν λαλοῦμεν, ὅτι ἡ σωτηρία ἐκ τῶν Ἰουδαίων ἐστί. Καὶ πάλιν ὁ ἀπόστολος, Δῆλον ὅτι ἐξ Ἰούδα ἀνατέταλκεν ὁ κύριος. Καὶ πολλὰ ἔστι περὶ τούτου λέγειν, καὶ ἐλέγχειν τὴν πλάνην τούτου.

Κεφ. ξε'. pag. 678. Πάλιν δὲ ἐπιλαμβάνεται τῆς λέξεως ταύτης ὅτι, Τὸ φῶς ἐν τῇ

6. ἄνθρωπος cod. Rhedig. non enim de Adamo, sed de Iuda dicit.
7. υἱὸς suspicabatur Petavius.
8. Male haec interpretatus est Petavius; 9. κατὰ θεωρίαν est librorum vett. scri-

filii Abraham, sed patris vestri diaboli: si enim essetis filii Abraham, illius opera faceretis: vos enim quaeritis me interficere, hominem, qui veritatem locutus sum vobis; hoc Abraham non fecit. Vides igitur per catachresim usurpatum id fuisse, ut Abrahami quidem essent natura filii, et ab eodem nihilominus domini sententia, non origine productioneve, sed operibus adiudicentur. De qua re nos antea disputavimus. Fierine itaque potest uti pars aliqua ab eodem satu aliena modo sit, ac diaboli propria, modo deo tribuenda? Sed nimirum incusandi ac reprehendendi caussa ista dicuntur. Nam cui se quisque subiicit, huius et actione et disciplina filius est, ut ex Pauli verbis apparet: *Nam licet multos praeceptores habeatis, at non multos patres: nam in Christo Iesu per evangelium ego vos genui.* 1.Cor. 4, 15. Ubi ad doctrinam, ut vides, ista transfert. Et quidem si Abrahamum Manichaeus admitteret, hunc ipsum ad lucem spectare diceremus, liberos vero ab eo productos alteri tribueremus. Verumenimvero ita sese res habet: imitabantur homicidam Iudae, proditionem imitabantur, eiusque calumniam ac delationem secundis auribus acceperant; huius in divini numinis abnegatione filii extiterunt. Ille enim mendax erat, cum et loculos haberet, et furtum committeret, et Christum ita salutaret, *Ave Rabbi;* quam ob caussam hac domini Matth. 26, 49. voce reprehenditur, *Amice ad quid venisti?* Iudas vero Cainum imi- Gen. 4, 9. tatus est, qui et parricida fuit, et coram domino mentitus est. *Num* Gen. 3, 5. *custos*, inquit, *fratris mei sum? nescio ubi sit.* Eiusdem et Adamus imitatione filius fuit, dum mendacem illam vocem sequitur, quae per serpentem ita loquebatur: *Eritis sicut dii scientes bonum et malum.* Atque hoc ipsum est quod in evangelio a salvatore dicitur: *Vos* Ioann. 8, 70. *estis filii diaboli.* Sic enim loquitur, *Nonne duodecim vos elegi,* Ibid. 8, 44. *et unus ex vobis est diabolus? Quoniam ab initio mendax est et homicida, quia pater eius mendax erat.* Qua ratione Manichaei quaestio dissolvitur; non enim diaboli proprie filii erant Iudaei. Absit ut id esse credamus. Quippe cum Samaritana mulier Christo domino dixisset, *Hic in isto monte adoraverunt patres nostri: vos autem dicitis* Ioann. 4, 20. *Hierosolymis esse locum, ubi oportet adorare,* post multa salvator ista subiecit, *Quae scimus loquimur, quia salus ex Iudaeis est.* Cui et Ioann. 4, 22. apostolus consentit his verbis: *Quoniam ex Iuda ortus est dominus.* Hebr. 7, 14. Sed plura ad eam rem disputari possunt quibus falsa illius opinio refellatur.

Cap. LXV. Atenim evangelicum illud dictum arripit: *Et lux in tenebris lu-*

plura, quam restitui. καταθεωρίσας *ed. princ.* (*quamquam in latina versione Cornarius significanter sit interpretatus* item-que iuxta intelligentiam). καταθεωρήσας *ed. Petav.*

10. αὐτὴν *codd. mss. et ed. princ.*

σκοτίᾳ φαίνει, καὶ ἡ σκοτία αὐτὸ οὐ κατέλαβεν, ὅτι, φησὶ, Ἐδίωκε [1] τὸ σκότος τὸ φῶς, ὡς τῶν πονηρῶν Ἀρχόντων [2] διωκόντων καὶ πολεμούντων τὴν θεότητα. Εἰ δὲ πολεμούμενον τὸ φῶς διώκεται ὑπὸ τοῦ σκότους, ἄρα δυνατώτερόν ἐστι τοῦ φωτὸς τὸ σκότος, ἐπειδὴ ἀποδιδράσκει ἀπὸ προσώπου τοῦ σκότους, καὶ οὐχ ὑφίσταται στῆναι ἰνδαλλόμενον, διὰ τὸ δυνατώτερον σκότος. Ἀλλ᾽ οὐχ οὕτως ἔχει. Οὐδὲ γὰρ τὸ φῶς φεύγει ἀπέμπροσθεν τοῦ σκότους, ἀλλὰ τὸ φῶς ἐν τῇ σκοτίᾳ φαίνει, καὶ ἡ σκοτία αὐτὸ οὐ κατέλαβεν. Εἰ δὲ σκοτία οὐ κατέλαβε τὸ φῶς, πολὺ τοῦτο διαλλάττει παρὰ τὸν νοῦν τοῦ Μάνη, τοῦ λέγοντος ὅτι οὐ μόνον κατείληφεν, ἀλλὰ καὶ πανοπλίαν παρ᾽ αὐτοῦ ἀφήρπασε. Πῶς τοίνυν παρ᾽ αὐτῷ καταγγελλόμενον ἡρπακέναι πανοπλίαν οὐδ᾽ ὅλως κατέλαβε τὸ φῶς; πῶς δὲ [3] τὸ φῶς διωκόμενον αὐτοπροαιρέσει φαίνει ἐν τῷ σκότει; Ἀλλ᾽ ἐπειδὴ ἐσκοτισμέναι ἦσαν αἱ διάνοιαι τῶν ἀνθρώπων διὰ τὴν θόλωσιν τῆς ἁμαρτίας, ἀπέστειλεν ὁ θεὸς πρῶτον τὸν νόμον, φωτίζων ὡς ἐν λύχνῳ παραφαίνοντι, ὥς φησιν Πέτρος ἐν τῇ ἐπιστολῇ, Προσέχοντες τῷ προφητικῷ λόγῳ, ὡς λύχνῳ φαίνοντι ἐν αὐχμηρῷ τόπῳ, ἕως Φωσφόρος ἀνατείλῃ, καὶ ἡμέρα καταυγάσῃ ἐν ταῖς καρδίαις ὑμῶν. Ἐκεῖθεν γὰρ τὸ φῶς ἐν τῷ σκότει φαίνει ὁ νόμος δοθεὶς ἐν χειρὶ μεσίτου, διὰ τοῦ πιστοῦ θεράποντος τοῦ θεοῦ Μωϋσέως. Διὰ τοῦτο ἐπειδὴ ἀπὸ τῶν ἀνέκαθεν πρῶτον ἦν τὸ φῶς φαῖνον, ὥσπερ σπινθὴρ ἐν τῷ νόμῳ τῷ κατὰ φύσιν, ὃ θεασάμενος Ἐνὼχ εὐηρέστησε τῷ κυρίῳ, δι᾽ οὗ καθοδηγούμενος ὁ Ἄβελ εὐηρέστησε τῷ κυρίῳ, δι᾽ οὗ εὗρε Νῶε χάριν ἐνώπιον τοῦ θεοῦ κατανοήσας τὴν ὁδόν, δι᾽ οὗ Ἁβραὰμ ἐπίστευσε τῷ θεῷ, καὶ ἐλογίσθη [4] αὐτῷ εἰς δικαιοσύνην, εἶτα παρελθὸν τὸ φῶς ἀπὸ σπινθηροειδοῦς τρόπου προσέθετο φαιδρότητι λύχνου φανέντος ἐν αὐχμηρῷ τόπῳ, τουτέστι τὸ φῶς ἐν τῇ σκοτίᾳ φαίνει, ἡ ἐντολὴ τοῦ θεοῦ, καὶ ἡ κατὰ τὴν ἀγαθότητα διάνοια, φωτίζουσα ἐν καρδίᾳ πιστῶν, ἀναμέσον τῆς τεθολωμένης διανοίας τῶν ἐν τοῖς ἀνθρώποις γεγονότων φαύλων καὶ κακῶν πραγμάτων, εἰδωλολατρείας τε καὶ ἐπαρνησιθεΐας, φόνων τε καὶ μοιχείας, καὶ τῶν ἄλλων· [5] ὅτι δὲ ἦλθεν ὁ μέγας φωστὴρ, Τὸ φῶς τὸ ἀληθινὸν, ὃ φωτίζει πάντα ἄνθρωπον ἐρχόμενον εἰς τὸν κόσμον, ἐν τῷ κόσμῳ ἦν, καὶ ὁ κόσμος δι᾽ αὐτοῦ ἐγένετο, καὶ ὁ
pag. 679. κόσμος αὐτὸν οὐκ ἔγνω, ὁ εἰς τὰ ἴδια ἐλθὼν, καὶ οἱ ἴδιοι αὐτὸν οὐ παρέλαβον· ὅσοι δὲ ἔλαβον αὐτὸν, ἔδωκεν αὐτοῖς ἐξουσίαν τέκνα θεοῦ γενέσθαι. Καὶ ὁρᾷς τοῦτο τὸ φῶς ἐν ποίᾳ σκοτίᾳ φαίνει, καὶ ποία σκοτία αὐτὸ οὐ κατέλαβεν; ὅτι τὸ ἀγαθὸν ἀεὶ παρὰ θεοῦ πεμπόμενον τῇ διανοίᾳ τῶν ἀνθρώπων, καὶ φωτίζον ἐν τῷ κόσμῳ, ὑπὸ τῆς ἁμαρτίας οὐχ ἥττηται.

Cap. LXV. — 1. τὸ σκότος *verba non comparent in ed. Petav. Colon. repet.* 2. διωκόντων *non habet cod. Rhedig.* 3. τὸ *excidit ab ed. Petavii. Colon. repet.*

cet, et tenebrae eam non comprehenderunt. Tenebrae enim, inquit, Ioann. 1, 5.
lucem persecutae sunt, quod mali Principes divinitatem sunt hostiliter insecuti. Atqui si lux a tenebris bello appetita invadentes fugit, fortiores erunt luce tenebrae, cum ab his illa tanquam valentioribus fugata stare contra et apparere non audeat. Verum longe se aliter res habet. Neque enim lux tenebras fugit, *sed lucet in tenebris, et tenebrae eam non comprehenderunt.* Quod si ita est, longe hoc a Manichaei sententia dissidet, qui non modo comprehendisse tenebras narrat, sed et lucis armaturam rapuisse. Quomodo igitur quae armaturam rapuisse praedicantur, lucem comprehendere nullo modo potuerunt? Quonam deinde pacto fugata lux sua in tenebris sponte resplendet? Ergo ita ex rei veritate totum illud accipiendum est: Cum peccati caligine occaecatae mentes hominum forent, principio lex est a deo missa, qua, velut sublata lucerna, collustraret; quod in epistola sua Petrus indicat his verbis: *Attendentes prophetico* 2.Petr.1, 19.
sermoni, tanquam lucernae lucenti in caliginoso loco, donec Lucifer oriatur, et dies illucescat in cordibus vestris. Illinc ergo lux in tenebris lucet, nimirum lex, quae per interpretem ac sequestrem, hoc est fidelem dei servum Moysem, est praescripta. Ac superioribus quidem temporibus lux primo quaedam in naturae lege scintillae instar affulserat, quam contemplatus Enoch placuit deo, per quam deductus Abel perinde se domino probavit, per quam via cognita Noë apud deum gratiosus extitit, per quam *credidit Abraham* Rom. 4, 3.
deo, et reputatum est ei ad iustitiam. Deinde ab hac tenui scintilla paulatim excitata lux ad *lucernae in caliginoso loco lucentis splendo-* 2.Petr.1, 19.
rem excrevit. Eaque ipsa *lux est quae in tenebris lucet,* hoc est Ioann. 1, 5.
mandatum dei, et animi consentaneum cum bonitate consilium, quod in fidelium pectoribus in medio caliginosae malorum scelerumque, quae in humano genere versantur, cogitationis illuxit; cuiusmodi sunt idololatria, dei abnegatio, caedes, adulteria, et id genus alia. Post haec omnia magnum illud luminare prodiit, *Vera lux,* scilicet, Ioann. 1, 10.
quae illuminat hominem venientem in mundum: in mundo erat, et mundus eum non cognovit: in propria venit, et sui eum non receperunt: quotquot autem receperunt illum, dedit eis potestatem filios dei fieri. Videsne quibus in tenebris lux ista resplendeat? aut quaenam illam *tenebrae non comprehenderunt?* Nimirum quod a deo bonum mentibus humanis immittitur, et in mundo lucet, a peccato minime superatur.

4. αὐτὰ *cod. Rhedig.*
5. *Corrigo* ὅτι δὴ, *aut potius* ὅτε δὴ. *Etiam Cornarius vertit* - - atque aliorum. Quando autem venit magnum luminare *cett.*

Κεφ. ξς'. Τὸ ὅμοιον δὲ πάλιν ἐπιλαμβάνεται ὁ αὐτὸς Μάνης ἀπὸ τοῦ τὸν σωτῆρα εἰρηκέναι, Ὁμοία ἐστὶν ἡ βασιλεία τῶν οὐρανῶν ἀνθρώπῳ οἰκοδεσπότῃ, ὃς ἔσπειρε τὸν ἀγρὸν αὐτοῦ καλὸν σπέρμα· καὶ καθευδόντων τῶν ἀνθρώπων ἐχθρὸς ἄνθρωπος ἦλθε, καὶ ἔσπειρε ζιζάνια· εἶτα λέγουσιν αὐτῷ οἱ δοῦλοι αὐτοῦ, Οὐχὶ καλὸν σπέρμα ἔσπειρας ἐν τῷ ἀγρῷ; ὁ δὲ ἔφη, Ναί. Πόθεν οὖν τὰ ζιζάνια; ὁ δὲ ἀποκρινάμενος εἶπεν, Ἐχθρὸς ἄνθρωπος τοῦτο ἐποίησεν· οἱ δὲ δοῦλοι πρὸς αὐτὸν εἶπον, Θέλεις οὖν ἀπελθόντες [1] ἐκριζώσομεν τὰ ζιζάνια; ὁ δὲ πρὸς αὐτοὺς ἔφη, Οὔ, μήπως ἐκριζοῦντες τὰ ζιζάνια ἐκριζώσητε καὶ τὸν σῖτον· ἀλλ' ἄφετε ἕως καιροῦ τοῦ θερισμοῦ, καὶ ἐρῶ τοῖς θερισταῖς, Συλλέξατε τὰ ζιζάνια, καὶ δήσατε [2] δεσμὰς, τὸν δὲ σῖτον ἀπόθεσθε ἐν τῇ ἀποθήκῃ, καὶ ἑτοιμάσατε τὰ ζιζάνια εἰς τὸ κατακαῆναι πυρὶ ἀσβέστῳ. Τῶν δὲ μαθητῶν αὐτοῦ ἐπὶ τῆς οἰκίας λεγόντων, Εἰπὲ ἡμῖν τὴν παραβολὴν τῶν ζιζανίων, ὁ δὲ ἐπιλύει καὶ [3] ἀκριβοῖ, ἵνα μὴ συγχωρήσῃ τῷ ἀπατεῶνι κατὰ τῆς ἀληθείας λαβὴν ἔχειν. Ἀποκρίνεται οὖν σαφῶς ὁ κύριος καὶ λέγει, Ὁ τὸ καλὸν σπέρμα σπείρας ἐστὶν ὁ θεός· ὁ δὲ ἀγρός ἐστιν ὁ κόσμος, τὰ ζιζάνιά εἰσιν οἱ πονηροὶ ἄνθρωποι, ὁ ἐχθρὸς ἄνθρωπός ἐστιν ὁ διάβολος, οἱ θερισταί εἰσιν οἱ ἄγγελοι, ὁ θερισμός ἐστιν ἡ συντέλεια τοῦ αἰῶνος, ὁ σῖτός ἐστιν οἱ καλοὶ ἄνθρωποι, ὅτε παραγγέλλει ὁ κύριος τοὺς ἀγγέλους αὐτοῦ, καὶ συνάγουσι τοὺς ἁμαρτωλοὺς ἀπὸ τῆς αὐτοῦ βασιλείας, καὶ παραδιδόασιν αὐτοὺς εἰς τὸ καῆναι. Καὶ θεωρεῖτε, υἱοὶ τῆς ἀληθείας, ὅτι αὐτὰ ἃ βούλεται λέγειν καθ' ἑαυτοῦ προβάλλεται οὗτος ὁ ἀνακαινισθεὶς ἡμῖν ἀντὶ τῶν περὶ Ἰαννῆν καὶ Ἰαμβρῆν. Αὐτὸς μὲν γὰρ ἀρνεῖται τὸν κόσμον τοῦ θεοῦ εἶναι· ὧδε δὲ ὁ σωτὴρ τὸν κόσμον ἔφη εἶναι τὸν ἀγρὸν, τὸν δὲ οἰκοδεσπότην καὶ κύριον τοῦ ἀγροῦ, τουτέστι τὸν αὐτοῦ πατέρα, καὶ ἑαυτὸν ἐσπαρκέναι τὸ καλὸν αὐτοῦ σπέρμα. Καὶ οὔτε διεῖλε ψυχὰς ἀπὸ σωμάτων, ἢ σώματα ἀπὸ ψυχῶν, ἀλλὰ τὸν μὲν ἐχθρὸν ἄνθρωπον ἔφη ἐσπαρκέναι τὰ ζιζάνια, ἅ εἰσιν οἱ πονηροὶ ἄνθρωποι.
pag. 680. Ἀνθρώπους δὲ οὐ λέγει σώματα κατ' ἰδίαν, ἀλλὰ ὁμοῦ εἶπε πονηροὺς ἀνθρώπους. Πάλιν δὲ ὡσαύτως τὸ ἀγαθὸν σπέρμα, [4] ὃ ὁ οἰκοδεσπότης ἔσπειρεν ἐν τῷ ἰδίῳ ἀγρῷ, τοὺς ἀγαθούς φησι ἀνθρώπους. Καὶ οὐκ εἶπε τὰς τούτων ψυχὰς, ἀλλ' ἀγαθοὺς σὺν σώματι καὶ ψυχῇ. Ἄρα [5] γοῦν διὰ τῆς διδασκαλίας ὁ θεὸς σπείρει τὸ ἀγαθὸν ἐν τοῖς ἀνθρώποις, καὶ διὰ τῆς κακομηχανίας ὁ διάβολος ὑποσπείρει τὰ πονηρὰ ἔργα ἐν τοῖς ἀνθρώποις. Ἔνθεν δὲ καὶ ἔνθεν οὐ ῥίζαν εὑρήσομεν κακίας, ἀλλ' ἔργα δι' ἡμῶν ἐπιτελούμενα, καὶ οὐδὲ ὅλως ὁ διάβολος αἴτιός ἐστι τῶν ἐσπαρμένων ζιζανίων. Εὐθὺς γὰρ φράζει λέγων, Ἐν τῷ καθεύδειν τοὺς ἀνθρώπους, καὶ οὐκ εἶπεν,

Cap. LXVI. — 1. ἐκριζώσομεν cod. mss. uterque, et ed. princ. ἐκριζώσωμεν ed. Petav.
2. δεσμὰς δεσμὰς τὸν δὲ σῖτον codd. mss. et ed. princ.
3. ἀκριβοῖ ego correxi. Petavius vole-

Sed ad illam salvatoris vocem Manichaeus adhaerescit, cum ille dixit, *Simile est regnum coelorum homini patri familias qui seminavit in agro suo bonum semen: cum autem dormirent homines, inimicus homo venit, et seminavit zizania: tum sic ei servi locuti sunt, Nonne bonum semen seminasti in agro? Ego vero seminavi, respondit. Unde igitur zizania? Inimicus*, inquit, *homo hoc fecit. Cui servi, Vis, inquiunt, eamus, et extirpemus zizania? Quibus ille dixit, Non; ne forte extirpantes zizania una et triticum extirpetis: sed sinite usque ad tempus messis, et dicam messoribus, Colligite zizania, et ligate ea in fasciculos, triticum autem recondite in horreo, et praeparate zizania ad comburendum igni inextinguibili.* Discipulis vero domi ita rogantibus, *Dic nobis parabolam zizaniorum*, explicavit ille, ne ullam impostori oppugnandae veritatis occasionem relinqueret. Quare perspicue dominus ita respondet: *Qui bonum*, inquit, *semen seminavit, deus est, ager est mundus, zizania mali homines sunt, inimicus homo est diabolus, messores angeli, messis ipsa consummatio seculi, triticum porro viri boni.* Cum igitur dominus angelis suis praeceperit, hi collectos in unum peccatores, ac regno coelorum exclusos concremandos tradent. Animadvertite quaeso, quotquot estis veritatis filii, quaecumque novus ille Iannes ac Iambre dicere aggreditur, contra seipsum proferre. Etenim cum ille mundum ad deum spectare neget, contra salvator hoc loco et agrum esse mundum interpretatur, et patrem familias agrique dominum patrem suum appellat, qui bonum illud semen proseminaverit. Neque vero aut a corporibus animas, aut ab animabus corpora separavit, sed inimicum hominem zizania consevisse narrat, hoc est depravatos homines. Nec homines ipsos seorsim de corporibus accepit, sed malos homines coniunctim appellat. Ita bonum semen e contrario pater familias in agro suo seminat, bonos videlicet homines, non horum duntaxat animas, sed bonos, inquam, corpore animaque constantes. Quocirca tam deus bonum in hominibus doctrina sua quam diabolus mala iisdem in hominibus improbitate sua conserit. Quamcumque vero nos in partem vertamus, radicem pravitatis nullam reperiemus, sed ea solum opera quae a nobis perpetrantur. Ac ne zizaniorum quidem satus illius caussa diabolus est, statim enim illud additur, *Cum dormirent homines.* Non dixit, Cum dormiret paterfamilias.

Cap. LXVI. Matth. 13, 24.

2.Tim. 3, 8.

bat εὐχρινεῖ. *Libri habent* οὐ χρίνει. *Pro* ἀχριβοῖ *possis etiam* οὐ χρύβει. *Verbo* χρύβω (*de quo cf. Lobeck. ad Phryn. p.* 317.) *usus est Epiphanius etiam haer.* 34, 15. ἐν τοῖς σπλάγχνοις χρυβομένην νοεῖσθαι, *ibid. cap.* 17. ἐχρύβετο ἐν τῷ ἀγρῷ.

4. ὃ *vulgo abest.*

5. γ' οὖν *cod. Ien. ubique.*

Ἐν τῷ καθεύδειν τὸν οἰκοδεσπότην. Ὅταν γὰρ ἡμεῖς ἀποκοιμηθῶμεν ἀπὸ ἀγαθῶν ἔργων, ὅταν ἀμελήσωμεν τῆς δικαιοσύνης, ὅταν τὸν νοῦν μὴ ἐγρήγορον ποιήσωμεν πρὸς τὴν τοῦ θεοῦ ἐντολὴν, τότε σπειρόμεθα τὰ ἁμαρτήματα. Ὁρᾷς ὅτι οἱ θερισταὶ ἑτοιμάζουσι τὰς δεσμὰς εἰς τὸ πῦρ τὸ αἰώνιον; Λέγε μοι, ὦ Μάνη, ψυχὰς ἐκεῖ [6] δεσμεύουσιν, ἢ σώματα σὺν ψυχῇ καίουσιν, ἢ καὶ τὰς ψυχάς; Οὐκέτι γὰρ σταθήσεται ὁ περὶ καθαρισμοῦ σου τῶν ψυχῶν λόγος, ὁπότε εἰς τιμωρίαν καὶ κρίσιν παραδοθήσονται. Ἀλλὰ ἀρκέσει περὶ τούτων ἕως τῶν ἐνταῦθα. Τοῖς γὰρ συνετοῖς φαίνεται τὰ ῥητὰ τῆς ἀληθείας.

Κεφ. ξζ. Ἐπιλαμβάνεται πάλιν ἑτέρου ῥητοῦ, εἰς μέσον φέρων, καὶ μὴ νοῶν τὰ ἐν αὐτῷ ἐγκείμενα ἑτέρως παρερμηνεύει τῆς σωτηριώδους διδασκαλίας τὴν δύναμιν, διὰ τὸ εἰρηκέναι τὸν σωτῆρα ὅτι, Ἔρχεται ὁ Ἄρχων τοῦ κόσμου τούτου, καὶ ἐν ἐμοὶ οὐδὲν τῶν αὐτοῦ εὑρίσκει· καὶ πάλιν παρὰ τῷ ἀποστόλῳ ὅτι, Ὁ θεὸς τοῦ αἰῶνος τούτου ἐτύφλωσε τὰ νοήματα τῶν ἀπίστων, πρὸς τὸ μὴ καταυγάσαι τὸν φωτισμὸν τοῦ εὐαγγελίου τῆς δόξης. Ἴδωμεν τοίνυν, [1] εἰ Ἄρχοντα τοῦ κόσμου τούτου περὶ οὗ ὁ κύριος λέγει, βληθήσεται κάτω. Ἐὰν δὲ ἐγὼ ὑψωθῶ, πάντας ἑλκύσω πρὸς ἐμαυτόν. Τίνα λέγει Ἄρχοντα τοῦ κόσμου τούτου; καὶ εἰ μὲν τὸν διάβολον λέγει, πῶς ὁ Ἰωάννης ἐν τῷ εὐαγγελίῳ περὶ τοῦ σωτῆρος λέγει ὅτι, Εἰς τὰ ἴδια ἦλθεν; Ὁρῶμεν γὰρ τὰς δύο λέξεις ταύτας ἀντιθέτους πρὸς ἀλλήλας. Ὁ ἀπόστολος γάρ φησι, Ὅλος ὁ κόσμος ἐν τῷ πονηρῷ κεῖται, καὶ ἐν τῷ κόσμῳ ἦν ὁ σωτήρ. Πῶς ἄρα οἱ ἀμφότεροι χωρηθήσονται; εἰ ὅλως ὁ κόσμος
pag. 681. ἐν τῷ πονηρῷ κεῖται, ποῦ τόπος τῷ σωτῆρι ἐν τῷ κόσμῳ ἐστὶν, εἶναι αὐτὸν ἐν τῷ κόσμῳ; καὶ εἰ ἴδια τυγχάνει τοῦ υἱοῦ τοῦ θεοῦ τὰ τοῦ κόσμου, ποῖος Ἄρχων κυριεύει τῶν τοῦ θεοῦ ἰδίων; εἰ δὲ οὐκ ἔστιν ἴδια τοῦ υἱοῦ τοῦ θεοῦ τὰ ἐν τῷ κόσμῳ, ποῖος Ἄρχων τοῦ κόσμου συνεχώρει ἴδια εἶναι τοῦ σωτῆρος τὰ ἐν τῷ κόσμῳ; καὶ εἰ τοῦ υἱοῦ τοῦ θεοῦ τυγχάνει ὁ κόσμος, πῶς συνεχώρει Ἄρχοντι τὸν ἴδιον κόσμον κατέχειν; Εἰσὶ δὲ πάντες οἱ λόγοι τῆς [2] ἀληθείας γραφῆς ἐν σοφίᾳ εἰρημένοι, καθὼς αὐτὸς ὁ κύριος λέγει. Ἦλθεν Ἰωάννης ἐν ὁδῷ δικαιοσύνης μὴ ἐσθίων, μήτε πίνων, καὶ λέγουσι, Δαιμόνιον ἔχει· ἦλθεν ὁ υἱὸς τοῦ ἀνθρώπου ἐσθίων καὶ πίνων, καὶ λέγουσιν, Ἰδοὺ, ἄνθρωπος φάγος καὶ οἰνοπότης, φίλος τελωνῶν καὶ ἁμαρτωλῶν, καὶ ἐδικαιώθη ἡ σοφία [3] ἀπὸ τῶν τέκνων αὐτῆς. Πῶς δὲ ἡ σοφία ἐδικαιώθη ἀπὸ τῶν τέκνων αὐτῆς; ἀλλὰ τῶν συνιόντων τὰ τῆς σοφίας ῥήματα, ὡς λέγει καὶ ἐν τῷ προφήτῃ, Τίς συνετὸς καὶ συνήσει ταῦτα,

6. δεσμοῦσιν cod. *Rhedig.*

Cap. LXVII. — 1. „*Corr.* Ἄρχων, vel τὸν Ἄρχοντα.“ *Petavius. Suspicor ne Epiphanius scripserit* Ἴδωμεν τοίνυν τὸν Ἄρχοντα - - λέγει, εἰ βληθ. κάτω.

Dum enim intermissis bonis operibus dormimus, dum officia iustitiae negligimus, dum ad exequenda dei mandata vigili experrectoque animo non sumus, tunc in nobis peccata proseminantur. Videsne praeterea ut in hac parobola messores ad concremandum fasciculos componant? Dic sodes, o Manichaee, vinciuntur illic animae, an cum anima corpora comburuntur, an solae duntaxat animae? Non enim poterit tua illa de animorum purgatione stare sententia, cum ad supplicium ac iudicium tradentur. Sed de his hactenus; sunt enim veritatis verba sapientibus haud obscura.

Cap. LXVII. Aliud quoque testimonium profert sacris e literis depromptum, cuius sensum cum ignoret penitus, salutaris doctrinae vim aliena interpretatione detorquet. Eo igitur quod a domino dictum est abutitur, *Venit princeps mundi huius et in me suum nihil invenit.* Tum Ioann. 14, 30.
illud apostoli, *Deus huius seculi excaecavit cogitationes infidelium,* 2. Cor. 4, 4.
ut non intuerentur lucem evangelii gloriae. Videamus igitur num *Princeps ille mundi*, de quo dominus loquitur, in infima detrudetur. *Si enim*, inquit, *exaltatus fuero, omnes traham ad meipsum.* Quem Ioann. 12, 32.
igitur mundi Principem appellat? Si diabolum, cur Ioannes in evangelio de salvatore dicit, *In propria venit?* Videmus enim duas illas inter se sententias esse contrarias, cum et apostolus dicit, *Totus* Ioann. 5, 19.
mundus in maligno positus est, et alibi scriptum sit, *In mundo salvator erat.* Ioann. 4, 42.
Fierine potest ambo ut illic simul resideant? Nam si *mundus in maligno totus est positus*, quis in eo salvatori locus erit, ut in mundo esse dicatur? Rursum si quae in mundo sunt ad filii dei peculium pertinent, quis ille princeps dei rebus dominatur? Quod si propria filii dei illa ipsa non sunt, quisnam mundi Princeps ea quae in mundo sunt propria salvatoris esse patiatur? Contra vero, si mundus ad filium dei pertinet, cur ab illo Principe mundum suum usurpari permisit? Enimvero expressae omnes in scriptura veritatis voces summa cum sapientia pronuntiatae sunt, quo illud domini pertinet: *Venit Ioannes iustitiae viam tenens, non manducans, neque bi-* Matth. 11, 19.
bens, et dicunt, Daemonium habet: venit filius hominis manducans et bibens, et dicunt, Ecce homo vorax, et vini potator, amicus publicanorum et peccatorum: et iustificata est sapientia a filiis suis. Quomodo illud intelligendum est, *sapientiam a filiis esse iustificatam,* nisi ab his qui sapientiae voces intelligunt? Unde et apud prophetam dicit, *Qui sapiens, et intelliget haec, quoniam rectae viae domini et* Ose. 14, 10.

2. ἀγίας *pro* ἀληθείας *suspicatus est Petavius.* 3. ὑπὸ *cod. Rhedig.*

Ἐν τῷ καθεύδειν τὸν οἰκοδεσπότην. Ὅταν γὰρ ἡμεῖς ἀποκοιμηθῶ-
μεν ἀπὸ ἀγαθῶν ἔργων, ὅταν ἀμελήσωμεν τῆς δικαιοσύνης, ὅταν τὸν
νοῦν μὴ ἐγρήγορον ποιήσωμεν πρὸς τὴν τοῦ Θεοῦ ἐντολὴν, τότε σπει-
ρόμεθα τὰ ἁμαρτήματα. Ὁρᾷς ὅτι οἱ θερισταὶ ἑτοιμάζουσι τὰς δε-
σμὰς εἰς τὸ πῦρ τὸ αἰώνιον; Λέγε μοι, ὦ Μάνη, ψυχὰς ἐκεῖ [6] δε-
σμεύουσιν, ἢ σώματα σὺν ψυχῇ καίουσιν, ἢ καὶ τὰς ψυχάς; Οὐκέτι
γὰρ σταθήσεται ὁ περὶ καθαρισμοῦ σου τῶν ψυχῶν λόγος, ὅτι
εἰς τιμωρίαν καὶ κρίσιν παραδοθήσονται. Ἀλλὰ ἀρκέσει περὶ τού-
των ἕως τῶν ἐνταῦθα. Τοῖς γὰρ συνετοῖς φαίνεται τὰ ῥητὰ τῆς
ἀληθείας.

Κεφ. ξζ. Ἐπιλαμβάνεται πάλιν ἑτέρου ῥητοῦ, εἰς μέσον φέρων, καὶ
νοῶν τὰ ἐν αὐτῷ ἐγκείμενα ἑτέρως παρερμηνεύει τῆς σωτηριώδους
διδασκαλίας τὴν δύναμιν, διὰ τὸ εἰρηκέναι τὸν σωτῆρα ὅτι, Ἔρχεται
ὁ Ἄρχων τοῦ κόσμου τούτου, καὶ ἐν ἐμοὶ οὐδὲν τῶν αὐτοῦ εὑρ[ήσει]·
καὶ πάλιν παρὰ τῷ ἀποστόλῳ ὅτι, Ὁ Θεὸς τοῦ αἰῶνος τούτου ἐτύ-
φλωσε τὰ νοήματα τῶν ἀπίστων, πρὸς τὸ μὴ καταυγάσαι τὸν φωτι-
σμὸν τοῦ εὐαγγελίου τῆς δόξης. Ἴδωμεν τοίνυν, [1] εἰ Ἄρχοντα τοῦ
κόσμου τούτου περὶ οὗ ὁ κύριος λέγει, βληθήσεται κάτω. Ἐὰν
ἐγὼ ὑψωθῶ, πάντας ἑλκύσω πρὸς ἐμαυτόν. Τίνα λέγει Ἄρχοντα τοῦ
κόσμου τούτου; καὶ εἰ μὲν τὸν διάβολον λέγει, πῶς ὁ Ἰωάννης ἐν
εὐαγγελίῳ περὶ τοῦ σωτῆρος λέγει ὅτι, Εἰς τὰ ἴδια ἦλθεν; Ὁ[ρᾷς]
γὰρ τὰς δύο λέξεις ταύτας ἀντιθέτους πρὸς ἀλλήλας. Ὁ ἀπόστολος
γάρ φησι, Ὅλος ὁ κόσμος ἐν τῷ πονηρῷ κεῖται, καὶ ἐν τῷ κόσμῳ
ὁ σωτήρ. Πῶς ἄρα οἱ ἀμφότεροι χωρηθήσονται; εἰ ὅλως ὁ [κόσμος]
pag. 681. ἐν τῷ πονηρῷ κεῖται, ποῦ τόπος τῷ σωτῆρι ἐν τῷ κόσμῳ ἐστὶν
αὐτὸν ἐν τῷ κόσμῳ; καὶ εἰ ἴδια τυγχάνει τοῦ υἱοῦ τοῦ Θεοῦ [τὰ τοῦ]
κόσμου, ποῖος Ἄρχων κυριεύει τῶν τοῦ Θεοῦ ἰδίων; εἰ δὲ οὐ[κ ἔστιν]
ἴδια τοῦ υἱοῦ τοῦ Θεοῦ τὰ ἐν τῷ κόσμῳ, ποῖος Ἄρχων τοῦ κόσμου
χώρει ἴδια εἶναι τοῦ σωτῆρος τὰ ἐν τῷ κόσμῳ; καὶ εἰ τοῦ υἱοῦ
Θεοῦ τυγχάνει ὁ κόσμος, πῶς συνεχώρει Ἄρχοντι τὸν ἴδιον [κόσμον]
κατέχειν; Εἰσὶ δὲ πάντες οἱ λόγοι τῆς [2] ἀληθείας γραφῆς ἐν σ[...]
ρημένοι, καθὼς αὐτὸς ὁ κύριος λέγει. [5] Ἦλθεν Ἰωάννης ἐν [ὁδῷ δι-]
καιοσύνης μὴ ἐσθίων, μήτε πίνων, καὶ λέγουσι, Δαιμόνιον [ἔχει. Ἦλ-]
θεν ὁ υἱὸς τοῦ ἀνθρώπου ἐσθίων καὶ πίνων, καὶ λέγουσιν, [Ἰδοὺ]
ἄνθρωπος φάγος καὶ οἰνοπότης, φίλος τελωνῶν καὶ ἁμαρτω[λῶν. Καὶ]
ἐδικαιώθη ἡ σοφία [3] ἀπὸ τῶν τέκνων αὐτῆς. Πῶς δὲ ἡ [...]
καιώθη ἀπὸ τῶν τέκνων αὐτῆς; ἀλλὰ τ[...]
ῥήματα, ὡς λέγει καὶ ἐν τῷ προφήτ[...]

6. δεσμοῦσιν cod. Rhedig.
Cap. LXVII. — 1. „Corr. Ἀρχ[...]
vel τὸν Ἄρχοντα.“ Petavius. Sus[...]

enim intermissis bonis operibus dormimus, dum officia iustitiae gimus, dum ad exequenda dei mandata vigili experrectoque o non sumus, tunc in nobis peccata proseminantur. Videsne terea ut in hac parobola messores ad concremandum fasciculos onant? Dic sodes, o Manichaee, vinciuntur illic animae, an anima corpora comburuntur, an solae duntaxat animae? Non poterit tua illa de animorum purgatione stare sententia, cum pplicium ac iudicium tradentur. Sed de his hactenus; sunt veritatis verba sapientibus haud obscura.

Aliud quoque testimonium profert sacris e literis depromptum, sensum cum ignoret penitus, salutaris doctrinae vim aliena intatione detorquet. Eo igitur quod a domino dictum est abuti- *Venit princeps mundi huius et in me suum nihil invenit.* Tum apostoli, *Deus huius seculi excaecavit cogitationes infidelium,* on *intuerentur lucem evangelii gloriae.* Videamus igitur num *eps ille mundi*, de quo dominus loquitur, in infima detrudetur. *im*, inquit, *exaltatus fuero, omnes traham ad meipsum.* Quem mundi Principem appellat? Si diabolum, cur Ioannes in evande salvatore dicit, *In propria venit?* Videmus enim duas illas se sententias esse contrarias, cum et apostolus dicit, *Totus s in maligno positus est*, et alibi scriptum sit, *In mundo salvaat.* Fierine potest ambo ut illic simul resideant? Nam si *s in maligno totus est positus*, quis in eo salvatori locus erit, mundo esse dicatur? Rursum si quae in mundo sunt ad filii culium pertinent, quis ille princeps dei rebus dominatur? Quod pria filii dei illa ipsa non sunt, quisnam mundi Princeps ea mundo sunt propria salvatoris esse patiatur? Contra vero, dus ad filium dei pertinet, cur ab illo Principe mundum suum permisit? Enimvero expressae omnes in scriptura veritatis mma cum sapientia pronuntiatae sunt, quo illud domini per- *Venit Ioannes iustitiae viam tenens, non manducans, neque bi- t dicunt, Daemonium habet: venit filius hominis manducans et et dicunt, Ecce hom[illegible] et vini potator, amicus publica- t peccator[illegible] [illegible] apientia a filiis suis.* Quo- lud int[illegible] *a filiis esse iustificat[illegible],* [illegible] [illegible] nde et apud [illegible] *ectae viae* [illegible]

Cap. LXVII.
Ioann. 14, 30.
2. Cor. 4, 4.
Ioann. 12, 32.
Ioann. 5, 19.
Ioann. 4, 42.
Matth. 11, 18.

44.
50.
un.
13.
Esai. 42,
t.
catum
dig.

ὅτι εὐθεῖαι αἱ ὁδοὶ κυρίου, καὶ ὁ λόγος σοφίας, καὶ γνώσεται ταῦτα; ἀσεβεῖς δὲ ἀσθενήσουσιν ἐν αὐταῖς.

Κεφ. ξη'. Ἠσθένησε γὰρ καὶ ἠσέβησεν ὡς ἀληθῶς μετὰ τῶν ἀσεβῶν ἐν τοῖς θείοις καὶ ἐπουρανίοις λόγοις. Ὁ σωτὴρ γὰρ ἔλεγε πρὸ μικροῦ, Ἐθεώρουν τὸν σατανᾶν ὡς ἀστραπὴν πεσόντα ἐκ τοῦ οὐρανοῦ. Καὶ ὧδε πάλιν, Ὁ Ἄρχων τοῦ κόσμου τούτου βληθήσεται κάτω. Καὶ εἰ περὶ τοῦ σατανᾶ ἦν ὁ λόγος τοῦ ἤδη πεπτωκότος, τίς ἦν χρεία πάλιν βάλλεσθαι κάτω; Ἀλλὰ πάντως ἐρεῖς εἰς τὴν ἄβυσσον. Ποῦ οὖν ἔμελλεν ὑψοῦσθαι ὁ κύριος; εἰ μὲν γὰρ ἀπὸ τῆς ἀβύσσου ἔμελλεν ὑψοῦσθαι, τὸ ὅμοιον τῷ ὁμοίῳ παρεκτεινόμενον τὰ ἰσόρροπα τῆς φράσεως ἀπεργάζεται. Πότε δὲ ἐν τῇ γῇ ὑψώθη; ἔλεγε γὰρ περὶ τοῦ ὑψώματος τοῦ σταυροῦ, καὶ περὶ τοῦ εἰς οὐρανὸν ἀνιέναι, ἵνα πάντας ἀνελκύσῃ πρὸς ἑαυτόν. Καὶ τίνι λόγῳ ἄνω τυγχάνων οὐ καθείλκυσεν, ἀλλ' ἐπὶ τῆς γῆς ἐλήλυθεν; Ἔδει γὰρ αὐτὸν ἐλθεῖν, καὶ τὸ εἶδος τῶν ἀνθρώπων εἰς ἑαυτὸν ἀναδέξασθαι, ἵνα πρῶτον αὐτὸ τὸ σκεῦος τὸ ἅγιον ὃ ἀπὸ Μαρίας εἴληφεν, ἀναπλάσας ἑαυτῷ, [1] τὸ ἅγιον σῶμα, Θεὸς ἄνωθεν λόγος ἐλθὼν ἐκ κόλπων πατρῴων, ἵνα ἐν [2] τῷ τὸ ἴδιον σῶμα ὑψῶσαι ὑψωθεὶς τοὺς ὁμοίους [3] ἑλκύσῃ πρὸς ἑαυτόν. Τίς δέ ἐστιν ὁ Ἄρχων τοῦ κόσμου τούτου; ἀλλὰ ὡς λέγει, Πᾶς ὁ κόσμος ἐν τῷ πονηρῷ κεῖται, οὐκ οὐρανὸν λέγων, οὐ τὴν γῆν, οὐχ ἥλιον, οὐ σεpag. 682. λήνην, οὐ φυτά, οὐ θάλασσαν, οὐκ ὄρη, οὐκ ἀέρα, οὐ νέφη, οὐκ ἄνεμον, οὐκ ἄστρα, οὐ πτηνά, οὐδέν τι τῶν ἐκτισμένων, μὴ γένοιτο. Ἀλλ' ὁ κόσμος τῶν ἀνθρώπων ἡ ὑπερηφανία τῆς ἐννοίας, τὸ θράσος τοῦ τύφου ἡ [4] ἀλαζονεία τῆς τῶν ἀνθρώπων ἐπάρσεως. Οὗτος ὁ Ἄρχων τοῦ κόσμου τούτου ἐξέπεσε κάτω [5] ἡ ὑπερηφανία. Ὑμεῖς γάρ, φησί, δόξαν παρὰ ἀλλήλων λαμβάνετε, ἐγὼ δὲ οὐ ζητῶ τὴν ἐμαυτοῦ δόξαν. Πῶς γὰρ οὐκ ἔπεσεν ἡ ὑπερηφανία, πῶς οὐκ ἐθραύσθη ὁ Ἄρχων τοῦ κόσμου, Ἡρώδου [6] μὲν φυλάττοντος καὶ κρίνοντος τὸν κριτὴν ζώντων καὶ νεκρῶν, καὶ κύριον, Πιλάτου δὲ προκαθεζομένου, ὑπηρέτου ῥαπίζοντος τὴν σιαγόνα, Ἰούδα παραδιδόντος, Καϊάφα δικάζοντος, Ἰουδαίων καταπτυόντων, στρατιωτῶν κολαφιζόντων κεφαλὴν τοῦ δυναμένου νεύματι εἱλῆσαι οὐρανὸν καὶ γῆν; Αὕτη ἡ ὑπερηφανία, καὶ τὸ θράσος καὶ ἡ δόξα τῶν ἀνθρώπων τοῦ κόσμου, οὗτος ἦν ὁ Ἄρχων τοῦ κόσμου, ὁ πεσὼν χαμαί. Πάντες γὰρ οἱ τῶν ἀξιωμάτων ἐν τῷ κόσμῳ τούτῳ ἐν ὑπεροχῇ τυγχάνοντες τὴν ἀρχὴν ἔχουσι, διὰ τῶν φρυαγμάτων, διὰ τοῦ θράσους καὶ κύδους καὶ ὑπερηφανίας, ὧν [7] οὐδὲν ἐν τῷ σωτῆρι εὕρηται· λίνον γὰρ τυφόμενον οὐ σβέσει, καὶ κάλαμον [8] τεθραυσμένον οὐ κατεάξει.

Cap. LXVIII. — 1. *Vulgo extat* τῷ. 2. *Ita correxi. Libri enim habent* τῷ ἰδίῳ σῶμα (*Petavii editio habet* σώματι, *verbis* ὑψῶσαι ἐν αὐτῷ *uncinis inclusis*) ὑψῶσαι. *Olim placuit* τῷ ἰδίῳ σώματι ὑψώσας ἑαυτὸν ὑψωθεὶς *cett.* 3. ἑλκύσει *cod. Rhedig.*

sermo sapientiae, et cognoscet haec? Impii vero infirmabuntur in illis.

Plane enim cum impiis in divinis ac coelestibus oraculis imbecillis atque impius redditus esse memoratur. Nam salvator paulo ante dixerat, *Videbam Satanam quasi fulgur de coelo cadentem;* hoc vero loco, *Princeps mundi huius eiicietur foras.* Quod si de Satana iam lapso loqueretur, quid illum denuo praecipitari attinet? Ergo in abyssum deiiciendum fuisse dixeris. Ceterum ubinam exaltandus erat dominus? Si ex abysso in sublime fuit attollendus, similis locus cum simili comparatus eandem sententiae vim efficit. Quandonam enim est exaltatus in terra? Quare de crucis exaltatione, deque sua in coelum conscensione loquebatur, ut ad se ipsum omnes attraheret. Quaenam deinde ratio est, cur non in coelo manens inde pertraxit, sed ad terram usque descendit? Oportebat nimirum venire ipsum, atque hominis figuram suscipere, ut inprimis vas illud sanctum, quod de Maria virgine sumpsit, sanctum videlicet sibi corpus effingens, ac deus verbum e coelo, deque paterno sinu descendens, suum illud corpus attolleret, tum ubi esset ipse sublatus, sui ad sese similes attraheret. Sed quisnam est huius ille *mundi Princeps?* Inprimis cum ait, *Totus mundus in maligno positus est,* non coelum, non terram, non solem, aut lunam intelligit, non stirpes, mare, montes, aërem, nubes, ventos, sidera, volucres, rerum denique conditarum nullam, sed hominum mundus superbia mentis est, et fastus audaciae, et elati animi in hominibus arrogantia. Igitur mundi Princeps ille deorsum superbia sua cecidit. *Vos enim,* inquit, *gloriam ab invicem capitis: ego vero non quaero gloriam meam.* An non superbia excidit? Non Princeps mundi confractus est,, cum et Herodes mortuorum ac vivorum iudicem dominumque custodiret ac iudicio subiiceret? cum praesideret Pilatus? cum satelles malam caederet? Iudas proderet? Caiphas iudicaret? Iudaei sputis aspergerent? milites denique caput eius colaphis tunderent, qui solo nutu coelum terramque contorquere posset? Haec igitur superbia, haec audacia, haec mundo addictorum hominum gloria *mundi ille Princeps* est qui in terram prolapsus est. Etenim qui in hoc mundo honorum et dignitatum gradibus antecellunt, ita principatum obtinent, ut arrogantia, insolentia, gloria superbiaque sese nimium efferant, quae quidem a salvatore nostro abfuerunt omnia. *Linum enim fumigans non extinguet, et calamum contritum non confringet.*

Cap. LXVIII. — Luc. 10, 18. — Ioann. 12, 31. 1. Ioann. 5, 19. — Ioann. 5, 44. Ioann. 8, 50. — Ioann. 12, 13. — Esai. 42, 3.

4. ἀλαζονία *cod. ms. uterque, et ed. princ.*

5. ἡ ὑπερηφανία *ego. Vulgo extat* ὑπερηφανίᾳ, *dativo casu sine articulo.*

6. μὲν *non habet cod. Rhedig.*

7. *In cod. Rhedig. hoc* οὐδὲν *collocatum est ante* εὕρηται.

8. τεθρασμένον *cod. Rhedig.*

Κεφ. ξθ'. *Καὶ πολλά μοι ἔστι περὶ [1] τούτου λέγειν. Πάλιν δέ φησι ὁ αὐτὸς Μάνης ὅτι, Ὁ θεὸς, φησὶ, τοῦ αἰῶνος τούτου ἐτύφλωσε τὰ νοήματα τῶν ἀπίστων, τοῦ μὴ καταυγάσαι [2] εἰς τὸν φωτισμὸν τοῦ εὐαγγελίου. Εἰ [3] ἔνι ὁ θεὸς τοῦ κόσμου τούτου, τί ἄρα ἐλθὼν ὁ σωτὴρ ἐποίει εἰς τὰ ἀλλότρια; καὶ εἰ μὲν τῶν ἀλλοτρίων ἐφίετο, [4] οὐκ ἔστι τοῦτον ἀγαθοῦ, οὔτε δικαίου. Εἰ δὲ ἕνεκεν τοῦ σῶσαι ἦλθεν, οὐκ ἴδια, ἀλλ' ἀλλότρια, τοῦτο καὶ κόλακος τυγχάνει τινὸς βουλομένου προςεπαίρειν τοὺς τοῦ πέλας. Καὶ εἰ ὅλως τὰ τοῦ θεοῦ τοῦ αἰῶνος τούτου ἦλθε σῶσαι, ἄρα αὐτῷ τῷ θεῷ τοῦ κόσμου τὴν χάριν κατατίθεται, ἴδια αὐτοῦ σκεύη πειρώμενος σώζειν. Καὶ εἰ ὅλως συγκατατίθεται ὁ θεὸς τοῦ αἰῶνος τούτου ἐπὶ τοῖς αὐτοῦ διὰ τοῦ σωτῆρος σωζομένοις, ἄρα ἀγαθός ἐστιν, εἰ καὶ μὴ δύναται σώζειν, χαίρων ἐπὶ τῇ τῶν ἰδίων σωτηρίᾳ. Καὶ ἔσται λοιπὸν μία κοινωνία τῆς ἀγαθότητος, ὅτι ὁ μὲν δυνάμενος σώζει, ὁ δὲ μὴ δυνάμενος τὰ ἴδια σώζειν χαίρει ἐπὶ τοῖς σωζομένοις, κέρδος τὰ ἴδια ἡγούμενος παρὰ τοῦ καλῶς*
pag. 689. *σώζοντος σωζόμενα ἔχων. Καὶ εἰ ὅλως οὐκ ἐναντιοῦται τῷ βουλομένῳ τὰ ἴδια σώζειν, καὶ χάριν ὁμολογήσει. Εἰ δὲ χάριν ὁμολογεῖ, πρῶτον αὐτὸν σώζει οὗ οἱ σωζόμενοι, ἵνα δείξῃ ἐπ' αὐτὸν σωζόμενον τὴν αὐτοῦ ἀγαθότητα, καὶ οὐ τοὺς μικροὺς μᾶλλον βούλεται σώζειν, καὶ ἐᾶν τὸν ἀναγκαῖον, ἐξ οὗπερ οἱ σωζόμενοι γεγόνασιν. Ἢ ἄλλως πάλιν, εἰ μὲν βούλεται αὐτὸν μὴ σώζειν, τοὺς δὲ ὑπ' αὐτοῦ σώζει, ἄρα οὐ τέλειον ἀπεργάζεται, οὐδὲ δύναται τὸ ἀγαθὸν ἐργάσασθαι ἐν τελειότητι. Εἰ δὲ διὰ τὸ εἶναι αὐτὸν φύσεως μὴ σωζομένης αὐτὸν μὲν ἀδυνάτως ἔχει σώζειν, τοὺς δὲ ὑπ' αὐτοῦ γεγενημένους σώζει, πολλῷ μᾶλλον οἱ ἐξ αὐτοῦ γεγενημένοι σαθρότεροι αὐτοῦ ὑπάρχουσι, καὶ ἀδυνάτως ἔχουσι πρὸς σωτηρίαν. Καὶ ἄλλως δὲ, εἰ μὲν ἴδιά τινα μὴ ἔχων σώζειν εἰς τὰ ἀλλότρια ἦλθεν ἐπιδείξεως χάριν, τὴν αὐτοῦ βοήθειαν δεῖξαι, πολλὴ ἡ ἀπορία, ἡ μὴ δυναμένη ἴδια σώζειν, καὶ εἰς τὰ ἀλλότρια ἐπιδημοῦσα, ὅπως ἐνδείξηται τὸ ἔργον ὃ ἐν τοῖς ἰδίοις ἀδυνάτως ἔσχεν ἐπιδείξασθαι. Καὶ ἤδη διέπεσεν ὁ περὶ τοῦ σωτῆρος καὶ τοῦ Ἄρχοντος τοῦ αἰῶνος τούτου ὑπὸ τοῦ Μάνη εἰρημένος λόγος, καὶ ἔστι τῷ ὄντι ὁ θεὸς τοῦ αἰῶνος τούτου, οὐ θεὸς παρηλλαγμένος παρὰ τὸν ὄντα [5] ἄλλος, οὐδὲ ἐνυπόστατος θεὸς ἄλλος, μὴ γένοιτο. Θεὸς γὰρ ὁ πάντων δεσπότης, ὁ τὸν κόσμον ποιήσας, εἷς ἐστι θεὸς, ὁ πατὴρ τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, καὶ οὐδέποτε διαλείπει.*

Κεφ. ο'. *Περὶ οὗ δὲ ὁ ἀπόστολος λέγει, ὃν ἡρέτισαν τὸν θεὸν ἑαυτῶν*

Cap. LXIX. — 1. τοῦτο *ed. Petav.* 2. *Praepositio* εἰς *aberat supra cap.* 66. *Corrigendum fortasse est* αὐτοῖς. 3. *Sic supra haer.* 42, *pag.* 369. *dixit* δεικνύντι ὅτι ἄνευ νόμου καὶ Χριστου οὐκ ἔνι δικαιοσύνη, *haer.* 59, 6. πλὴν

Sed ut omittam cetera quae ad idem argumentum afferri bene multa possunt, Manichaeus hoc insuper obiicit quod scriptum est, *Deus huius seculi excaecavit mentes infidelium, ut non intuerentur evangelii lucem.* Atqui si deus mundi huius dominus est, quid salvator pedem in alienam possessionem immittens faciebat? Si eam ipsam concupiverat, minime id bono iustoque convenit. Sin idcirco venit, ut non propria, sed aliena servaret, iam hoc adulatoris alicuius proprium est, qui alieno principi subditos ad res novas ambitiose provocare studeat. Quod si eorum quae ad seculi huius deum pertinent servandorum gratia venit, bene utique de illo meritus est cuius rebus servandis operam adhibuerit. Ac si huius ille seculi deus suos a salvatore eripi libenti animo patitur, profecto bonus est, qui si servare minus ipse possit, de suorum tamen salute gaudeat. Atque ita commune quoddam erit bonitatis commercium, quod et salutem affertis qui potest, et qui res suas servare non potest, servari tamen ab altero libenter videt, quas etiam in lucro numerat, cum ab eo qui praeclare servare potest salvas et incolumes acceperit. Praeterea si eidem illi qui servare res ipsius cupiat nequaquam adversatur, habebit ei qui servat gratiam, proindeque is primum illum servabit ad quem qui servantur attinent, ut in eo liberando bonitatis suae specimen praebeat. Non enim, puto, solos eripere tenues volet, praecipuo illo relicto a quo hi qui servantur propagati sunt. Deinde si cum alios liberet, liberare nihilominus nolit illum, imperfectum quiddam est, quod molitur, nec absolutum bonum praestare posse videtur. Iam vero si, quod eiusmodi naturae non sit quae servari possit, salutem huic afferre nequeat, quam ab eo genitis impertitur, sane qui ab illo orti sunt longe deteriores esse debent, ut ne salutem quidem adipisci ipsi possint. Ad haec si cum nullam privatam possessionem habeat, quam vindicet, ad alienam accessit, ut seipsum et opem ostentaret suam, perplexum quiddam et implicatum efficitur, ut quae virtus res suas servare nequeat, ad alienas se conferat, ut illud in iis praestet quod in propriis exercere non potuit. Hoc igitur modo ruit omnis illa de salvatore ac seculi huius Principe Manichaei sententia. Ac si quod res est fateri volumus, istius seculi deus non alius est, a vero deo diversus, nec ulla substantia praeditus alius. Siquidem dominus omnium deus, ac mundi conditor deus unus est, *pater domini nostri Iesu Christi,* qui nunquam esse desinet.

Cap. LXIX.

2. Cor. 4, 4.

Quem vero commemorat apostolus, ultroque ab infidelibus ad- Cap. LXX.

ὅτι ζημία οὐκ ἔνι ἀπὸ τῆς μετανοίας. *Infra cap.* 87. ἄρα οὖν ἔνι σάρξ *cett.*

4. οὐκέτι *cod. Rhedig.*
5. ἄλλος *scripti,* ἄλλως *editi libri.*

εἶναι οἱ ἄπιστοι, οὐ μόνον λέγω ἕνα θεὸν εἶναι τοῦ αἰῶνος τούτου, μὴ γένοιτο, ἀλλὰ καὶ πολλοὺς, οἷς ἑαυτοὺς ὑπέταξαν οἱ ἄπιστοι, καὶ ἐτυφλώθησαν τὴν διάνοιαν. Ὡς καὶ ἐν ἄλλῳ τόπῳ λέγει, Ὧν ὁ θεὸς ἡ κοιλία, καὶ ἡ δόξα ἐν τῇ αἰσχύνῃ αὐτῶν· καὶ ὁ κύριος ἐν τῷ εὐαγγελίῳ, Οὐ δύνασθε δυσὶ κυρίοις δουλεύειν, φησί. Εἶτα μετὰ πολλὰ, ἵνα δείξῃ τίνες εἰσὶν οἱ δύο κύριοι, φησὶ, Οὐ δύνασθε θεῷ δουλεύειν, καὶ μαμωνᾷ. Ἄρα οὖν ὁ θεὸς θεὸς, καὶ μαμωνᾶς θεὸς τοῦ κόσμου. Διὰ γὰρ τοῦ μαμωνᾶ καὶ τῆς κοιλίας τῶν δύο τούτων ἡ πλείστη φύσις τῶν ἀνθρώπων τυφλώττει δελεαζομένη, οὐχ ὑπὸ θεοῦ λαβοῦσα τὴν πρόφασιν, ἀλλὰ διὰ τῆς ἰδίας κακομηχανίας, ὡς ἕκαστος
pag. 690. ὀρεγόμενος ἐπὶ τῇ ἀπιστίᾳ ἑαυτὸν παραδίδωσιν ὑποχείριον πάντων. Ὅθεν καὶ ὁ ἀπόστολος λέγει, Ῥίζα πάντων τῶν κακῶν ἐστι ἡ φιλαργυρία. Καὶ διὰ τοῦτο ἐπαρᾶται κακῇ προλήψει θεοποιΐας λέγων, Τὰ βρώματα τῇ κοιλίᾳ, καὶ ἡ κοιλία τοῖς βρώμασιν, ὁ δὲ θεὸς καὶ ταύτην καὶ ταῦτα καταργήσει, ἐπαρώμενος γαστρὸς ἐπιθυμίαις. Ὁ θεὸς τοίνυν τοῦ αἰῶνος τούτου ἐτύφλωσε τὰ νοήματα τῶν ἀπίστων· ὡς καὶ ἐν τῷ εὐαγγελίῳ εὑρίσκεται ὁ γραμματεὺς πρῶτος καὶ δεύτερος λέγων, Τί ποιήσας ζωὴν αἰώνιον κληρονομήσω; ὁ δὲ ἔφη, Τίμα τὸν πατέρα καὶ τὴν μητέρα κατὰ τὸ γεγραμμένον. Οὐ γὰρ ἦν ἀλλότρια τὰ τοῦ νόμου· [1] ὡςαύτως ὁ κύριος διδάσκει ζωῆς κληρονομίας εἶναι τὴν παραφυλακὴν τοῦ νόμου. Εἶτά φησι, Ταῦτα πάντα ἐποίησα ἐκ νεότητός μου. Καὶ ἀκούσας ἐχάρη, ἵνα δείξῃ τὰς ἐντολὰς τοῦ νόμου οὐκ ἀλλοτρίας τῆς αὐτοῦ θεότητος ὑπαρχούσας. Διὰ γὰρ τοῦ εἰπεῖν ὅτι ἐχάρη, συγκατάθεσιν ἐποιήσατο παλαιᾶς διαθήκης πρὸς νέαν διαθήκην. Ἀλλὰ, φησὶ, Τί ἔτι ὑστερῶ; καί φησι πρὸς αὐτὸν, Εἰ θέλεις τέλειος γενέσθαι, πώλησον τὰ ὑπάρχοντά σοι, καὶ δὸς πτωχοῖς, καὶ λάβε τὸν σταυρόν σου, καὶ ἀκολούθει μοι, καὶ ἕξεις θησαυρὸν ἐν [2] οὐρανοῖς. Ὁ δὲ ἀπῆλθε λυπούμενος. Ἦν γὰρ πλούσιος σφόδρα. Εἶτα ὁ κύριος ἔφη, Εὐκοπώτερόν ἐστι κάμηλον διὰ τρυμαλιᾶς ῥαφίδος εἰςελθεῖν ἢ πλούσιον ἐν τῇ βασιλείᾳ τῶν οὐρανῶν. Οὐ δύναται γὰρ εἰςελθεῖν, ὅτι ἐτυφλώθησαν ὑπὸ τοῦ θεοῦ τοῦ αἰῶνος, ἡγησάμενοι τὸν μαμωνᾶν ἑαυτῶν θεὸν, καὶ ἑαυτοὺς ὑποχειρίους πεποιηκότες τῷ θεῷ τοῦ αἰῶνος τούτου, τουτέστι τῇ φιλαργυρίᾳ. Ὡς λέγει, Προςέχετε ἀπὸ τῆς ζύμης [3] τῶν Φαρισαίων, ἥτις ἐστὶν ὑπόκρισις· καὶ ἐν ἄλλῳ τόπῳ, Ἥτις ἐστὶ φιλαργυρία. Καὶ ἵνα δείξῃ ταύτης τὸ ἀποτέλεσμα καὶ τὸ ἔργον, λέγει, Ὁδηγοί εἰσι τυφλοί· τυφλὸς δὲ τυφλὸν ὁδηγῶν, ἀμφότεροι εἰς βόθυνον ἐμπεσοῦνται. Ἐπειδὴ γὰρ ἐτύφλωσεν αὐτοὺς ἡ φιλαργυρία, ὁ θεὸς τοῦ αἰῶνος τούτου, καὶ οὐ κατηύγασεν ὁ φωτισμὸς τοῦ εὐαγγελίου ἐν ταῖς καρδίαις αὐτῶν, διὰ τὸ

Cap. LXX. — 1. *Fortasse* ὡς αὐτὸς ὁ κύριος. 2. οὐρανοῖς *codd. mss. et ed. princ.* οὐρανῷ *ed. princ.*

optatum adscitumque narrat, non unum illum, solumque seculi huius esse deum dico, sed plures, quibus se infideles subiecerint, et animis occaecati sint. Quemadmodum alio loco dicit: *Quorum deus venter est, et gloria in confusione ipsorum.* Item in evangelio dominus: *Non potestis duobus dominis servire.* Deinde multis interiectis, ut quinam duo illi domini essent ostenderet, *Non potestis*, inquit, *servire deo, et Mammonae.* Quamobrem et deus vere deus est, et Mammonas huius mundi deus. · Nam amborum, hoc est Mammonae ac ventris, illecebra pellecta maxima pars mortalium excaecatur. Cuius quidem culpam deus minime sustinet, sed privata illorum improbitas, pro eo ac quisque cupiditate ductus per infidelitatem subiectum se omnibus obnoxiumque tradiderit. Hinc illud apostoli dictum, *Radix malorum omnium est avaritia.* Hinc praesumptam illam ac depravatam falsorum deorum opinionem execratur his verbis: *Esca ventri et venter escis: deus autem et hunc et illas destruet.* Quibus verbis ventris cupiditates ille detestatus est. *Deus* itaque *seculi huius excaecavit mentes infidelium.* Quo illud pertinet quod in evangelio legimus, primum illum et alterum dixisse scribam, *Quid faciendo vitam aeternam consequar? Honora,* inquit, *patrem et matrem, sicut scriptum est.* Non enim aliena legis erant ab eo mandata, perindeque dominus illius observatione vitae coelestis hereditatem obtineri docuit. Subiecit ad haec iuvenis, *Haec omnia servavi ab adolescentia mea.* Quo audito Christus *gavisus est;* ut ostenderet a divinitate sua nequaquam praecepta legis abhorrere. Cum enim gavisus esse dicitur, veteris testamenti cum novo consensionem ac concordiam adstruxit. Instante vero adolescente, et, *Quid adhuc mihi deest?* interrogante, dominus respondit, *Si vis perfectus esse, vende quae habes, et da pauperibus, et sume crucem tuam, et sequere me, et habebis thesaurum in coelo: at ille tristis abiit; erat enim admodum dives.* Sub haec dominus, *Facilius est*, inquit, *camelum per foramen acus ingredi quam divitem in regnum coelorum.* Ideo enim ingredi nequeunt quod a deo seculi huius occaecati fuerint, et Mammonam pro deo habere instituerint, ac se denique seculi deo sponte, hoc est avaritiae, subiecerint. Ad quod illud salvatoris spectat: *Attendite a fermento Pharisaeorum, quod est hypocrysis.* Alio vero loco, *Quod est avaritia.* Cuius ut fructum opusque significaret, *Duces,* inquit, *caeci sunt: caecus autem caecum si ducat, ambo in foveam cadent.* Quod videlicet sua illos excaecarit avaritia, qui est huius seculi deus, neque ob eam caecitatem in eorum cordibus evangelicus

Philipp. 3, 19.
Matth. 6, 24.
1. Timoth. 6, 10.
1. Cor. 6, 13.
2. Cor. 4, 4.
Luc. 18, 18.
Matth. 18, 21.
Matth. 18, 22.
Luc. 12, 1.
Matth. 15, 14.

3. τῶν codd. mss. et ed. princ. τῆς ed. princ.

τετυφλῶσθαι περὶ τὴν φιλαργυρίαν. *Αὕτη γὰρ* [4] καὶ τὸν Ἰούδαν ἐτύφλωσεν, αὕτη καὶ τοὺς περὶ Ἀνανίαν ἀπέκτεινεν, αὕτη πολλοὺς ἠφάνισεν. Οὗτός ἐστιν ὁ θεὸς τοῦ αἰῶνος τούτου· ὃν αἱρησάμενοι θεὸν οἱ ἄνθρωποι ἐπελάβοντο τῆς πρὸς αὐτὸν τιμῆς, καὶ κατεφρόνησαν τοῦ κυρίου, ὡς λέγει, Τοῦ μὲν ἑνὸς ἀνθέξεται, τοῦ δὲ ἑτέρου κατα-
pag. 691. φρονήσει· οὐ δύνασθε θεῷ δουλεύειν καὶ μαμωνᾷ. Καὶ ὁρᾷς ῥητῶς καὶ σαφῶς τὸ πρᾶγμα ἑρμηνευόμενον; οὐδεὶς γὰρ ἔνι ἕτερος θεὸς, οὐκ ἐν οὐρανῷ, οὐκ ἐν τῇ γῇ, οὐκ ἐν πᾶσι χωρίοις, ἀλλὰ εἷς πατὴρ ἐξ οὗ τὰ πάντα, καὶ εἷς κύριος Ἰησοῦς Χριστὸς, δι' οὗ τὰ πάντα, καὶ ἓν πνεῦμα τὸ ἅγιον, ἐν ᾧ τὰ πάντα ἀεὶ οὖσα ἡ τριὰς, μία ἡ θεότης, καὶ μηδέποτε προςθήκην λαμβάνουσα, οὔτε ἀφαίρεσιν ἐνδεχομένη.

Κεφ. οα'. Ἴωμεν δὲ ἐφ' ἕτερα πάλιν, καὶ τὰ δίκτυα τούτου τοῦ θηρὸς καὶ ἐχθροῦ καὶ ἐκδικητοῦ διασπασώμεθα, ἀγαπητοὶ, ἐπὶ τὴν φράσιν τῆς ἀληθείας τὰ ὑπ' αὐτοῦ ξενολεκτούμενα φέροντες τοῖς βουλομένοις τὰ τῆς ἀληθείας καταμαθεῖν, καὶ ἀποτρέπεσθαι τὸν νοῦν ἀπὸ κακοδιδασκαλίας πάσης αἱρέσεως. Ἐπιλαμβάνεται γὰρ τοῦ νόμου πάλιν καὶ τῶν προφητῶν, ἐχθρὸς ὢν τῆς ἀληθείας καὶ τοῦ ἁγίου πνεύματος, τοῦ ἐν νόμῳ καὶ ἐν προφήταις λελαληκότος, καί φησι, [1] φύσει χαλάσας γλῶσσαν, ὡς καὶ ἀεὶ, κατὰ τοῦ θεοῦ τοῦ ποιήσαντος τὰ πάντα, λαλήσαντός τε ἐν νόμῳ καὶ ἐν προφήταις, πατρὸς ὄντος τοῦ κυρίου [2] ἡμῶν Ἰησοῦ Χριστοῦ, ἐξ οὗ πᾶσα πατριὰ ἐν οὐρανῷ καὶ ἐπὶ γῆς ὀνομάζεται, καί φησι, Ἐξ αὐτοῦ ἐπιθυμία, καὶ ἐξ αὐτοῦ φόνοι, καὶ τὰ ἄλλα πάντα· παρεκελεύετο γὰρ καὶ ἱμάτια ἀφαρπάξαι τῶν Αἰγυπτίων, θυσίας δὲ αὐτῷ προςφέρεσθαι, καὶ τὰ ἄλλα πάντα ὅσα παρέχει νόμος· φονεύειν δὲ τὸν φονεύοντα, ὡς μηκέτι ἀρκεῖσθαι τῷ πρώτῳ φόνῳ, ἀλλὰ καὶ δεύτερον ἐργάζεσθαι, δῆθεν ἐκδικοῦντος αὐτοῦ τὸν πρῶτον φόνον, ἐμβάλλειν τε ἐπιθυμίας εἰς τὰς διανοίας τῶν ἀνθρώπων, [3] καὶ γλιχομένας γυναικῶν, καὶ τῶν ἄλλων πραγμάτων. Ἐχεθύμως δὲ, φησὶ, ὀλίγα περὶ τοῦ Χριστοῦ προεφήτευσεν, ἵνα διὰ τῶν ὀλίγων πιστοποιήσῃ πιθανολογήσας. Καὶ ταῦτα ἦν τὰ ῥήματα τοῦ τολμηροῦ Μάνη, ἃ κατὰ τοῦ ἰδίου δεσπότου ἀθυρογλώττως φθέγγεται. Κατανοήσας δέ τις ἴδοι μηδὲν ἕτερον ἐν τούτῳ φαινόμενον, ἀλλ' ἢ φρενιτιῶντος ἔργα. Ὡς γὰρ ὁ τὴν φρενῖτιν ἔχων μάχαιραν καθ' ἑαυτοῦ ὁπλίζεται, καὶ διὰ τὴν ἐπιληψίαν τὰς ἑαυτοῦ σάρκας τέμνων νομίζει ἐχθροὺς ἀμύνασθαι, καὶ οὐκ οἶδεν, οὕτω καὶ οὗτος καθ' ἑαυτοῦ διοπλίζεται, μὴ νοῶν τὰς λέξεις ἃς καθ' ἑαυτοῦ ἐφέλκεται. Εἰ γὰρ ἐξ αὐτοῦ ἡ ἐπιθυμία, καὶ ἐπιθυμίας ἐνεργεῖ, πῶς ἄνω καὶ κάτω

4. καὶ om. ed. Pelav. Colon. repetita.
Cap. LXXI. — 1. φύσει om. ed. Pelav.

ille splendor illuxerit. Atque haec ipsa pecuniae cupiditas non modo Iudam excaecavit, sed et Ananiae necem attulit, et plerosque alios extinxit. Hic est inquam huius seculi deus, quem pro deo sibi adoptantes homines, cum ei honorando studuissent, dominum contempserunt; quod his ipse verbis indicat: *Unum amplectetur, alterum contemnet: non potestis deo servire et Mammonae.* Videsne quam diserte perspicueque res tota declaretur? Nam nullus alter deus est, nec in coelo, nec in terra, nec ullis aliis in locis, praeter unum patrem, ex quo omnia, et unum dominum Iesum Christum, per quem omnia, et unum spiritum sanctum, in quo omnia; quae est sempiterna trinitas, et una divinitas, cui nec accedere quidpiam potest, nec decedere.

Sed iam ad alia transeamus, atque huius bestiae et inimici atque insecutoris laqueos discerpamus, o carissimi, adeo ut quae ab illo affectata verborum novitate disputata sunt ad veritatis sermonem transferamus, in eorum gratiam qui veritatis cognoscendae desiderio tenentur, atque ab impia haereseon omnium doctrina animum avertere. Pergit igitur legem ac prophetas perstringens homo tam veritatis quam spiritus sancti, qui in lege ac prophetis locutus est, inimicus; atque adversus omnium conditorem deum, qui in lege ac prophetis locutus est, eundemque domini nostri Iesu Christi patrem, *ex quo omnis paternitas in coelo et in terra nominatur*, laxata effrenatae linguae petulantia omnis illum cupiditatis auctorem, ac caedium reliquorumque facinorum extitisse docet, quippe qui et vestes Aegyptiis eripere iusserit, et cum sacrificia sibimet offerre, tum quaecunque alia legis praescripto mandantur; quin et homicidam interficere, neque priori caede contentos alteram, quasi ad priorem vindicandam, perpetrare. Tum vero cupiditates hominum animis iniicit, ac de mulieribus ceterisque eius generis disputat. Callide vero, inquit, de Christo pauca praedixit, uti paucis illis quaesito sibi colore fidem faceret. Hae sunt temerarii hominis voces, quas in dominum suum procaciter effudit. Quas si quis diligentius consideravit, nihil in his aliud praeterquam phrenetici hominis facta apparere cognoscet. Ut enim phrenitide laborans, si gladium nactus fuerit, contra seipsum armatur, ac prae amentia suas ipse carnes concidens ulcisci se hostes existimat, et quid agat ignorat, sic iste in seipsum arma convertit, dum voces illas, quas contra se profert, non intelligit. Etenim si cupiditatis auctor ille veteris testamenti deus est, ac quae sunt cupiditatis propria molitur, cur ubique cupi-

Cap. LXXI.

Eph. 3, 15.

Exod. 11, 2.

2. ὑμῶν *ed. Petav.* *ego. Libri habent* καὶ διηγούμενος. *Possit etiam* κατορεγομένας.
3. καὶ γλιχομένας (*intell.* διανοίας)

κατὰ ἐπιθυμίας γράφει ὁ τὴν ἐπιθυμίαν ἐμβάλλων; ὁ λέγων, Μὴ ἐπιθυμήσῃς τὰ τοῦ πλησίον, μηδὲ τὸν βοῦν αὐτοῦ, μηδὲ τὸ ὑποζύγιον
pag. 692. αὐτοῦ, μηδὲ τὴν παιδίσκην αὐτοῦ, μηδὲ τὸν ἀγρὸν αὐτοῦ, μηδὲ τὴν γυναῖκα αὐτοῦ, μηδὲ ὅσα ἐστὶ τῷ πλησίον σου· εἰ ἀναιρεῖ τὴν ἐπιθυμίαν, οὐκ αὐτὸς τῆς ἐπιθυμίας ἐστὶ χορηγός.

Κεφ. οβ΄. Πῶς οὖν, φησὶ, ἐνετείλατο σκυλεῦσαι τοὺς Αἰγυπτίους, ἐν τῷ ἐξιέναι αὐτοὺς ἐκ γῆς Αἰγύπτου; Ναὶ, δίκαιος γάρ ἐστι κριτὴς, ὡς καὶ ἤδη πολλάκις εἴρηκα περὶ τούτου. Καὶ ἵνα δείξῃ ὅτι οὐκ αὐτὸς [1]ἐνδεῖται θυσιῶν, φησὶ ἐν τῷ προφήτῃ, Μὴ θυσίας προσηνέγκατέ μοι, οἶκος Ἰσραὴλ, τεσσαράκοντα ἔτη; λέγει κύριος. Τίνι οὖν ἦσαν αἱ προσφερόμεναι; αὐτῷ μὲν κατὰ τὴν διάνοιαν τῶν προσφερόντων, αὐτὸς δὲ οὐχ ἕνεκεν τοῦ [2]ἐνδεῖσθαι προστέταχεν, ἀλλ' ἵνα συνεθίσῃ ἀπὸ πολυθεΐας ἕνα θεὸν ἐπιγινώσκειν. Ἐπειδὴ γὰρ ἑώρα θυσίας ἐπιτελουμένας τοῖς θεοῖς τῶν Αἰγυπτίων, ἵνα μὴ διὰ πολυθεΐαν τραπέντα αὐτῶν τὰ νοήματα καταλείψωσι τὸν μόνον ἕνα θεόν. Ὅτε δὲ [3]συνηγήοχεν αὐτῶν τὴν διάνοιαν ἀπὸ πολυθεΐας διὰ πολλοῦ χρόνου, ἀποσυνεθίσας αὐτοὺς τῆς τοιαύτης ὑποθέσεως, ἄρχεται παρακόπτειν ἃ μὴ ἤθελε, καὶ ἔλεγεν, Ἵνα τί μοι λίβανον ἐκ Σαβᾶ φέρετε, καὶ κινάμωμον ἐκ γῆς μακρόθεν; μὴ φάγομαι κρέα ταύρων, ἢ αἷμα τράγων πίομαι; ταῦτα γὰρ οὐκ ἐξεζήτησα ἐκ τῶν χειρῶν ὑμῶν, ἀλλὰ ποιεῖν πρὸς τὸν πλησίον δικαιοσύνην, καὶ ἀλήθειαν ἕκαστον πρὸς τὸν ἀδελφὸν αὐτοῦ. Καὶ ὁρᾷς ὅτι προϊόντων τῶν χρόνων ἡ ὑπόστασις τῆς δυνάμεως τῶν θείων ἀποκαλύπτεται, ὡς αὐτὸς πάλιν λέγει τῷ Σαμουὴλ, Χρῖσον τὸν Σαοὺλ εἰς βασιλέα. Ὕστερον δὲ αὐτοὺς ἐλέγχει λέγων, Ἐχρίσατε βασιλέα οὐ δι' ἐμοῦ, καὶ ἄρχοντας, καὶ ἐγὼ οὐκ ἐνετειλάμην ὑμῖν. Ἀλλ' ἐπειδὴ ἐξήτησαν τοῦτο αἱ διάνοιαι [4]αὐτῶν, παραμυθούμενος ὁ θεὸς Σαμουὴλ τὸν προφήτην ἔλεγεν, Οὐ σὲ ἀπεβάλοντο, ἀλλ' ἐμὲ, λέγει κύριος· πλὴν χρῖσον αὐτοῖς τὸν Σαοὺλ, υἱὸν Κίς. Ὥςπερ παιδίοις μικροῖς προσφερόμενον τὸ θεῖον, ἵνα βαστάσῃ τὴν ἀσθένειαν τῶν ἀσθενούντων, καὶ [5]ἀναθωπεύσῃ τὸ βρέφος ἀπὸ τῆς αὐτοῦ ἀσθενείας. Εἶτα λέγει τὸ τελειότατον, Θυσία τῷ θεῷ πνεῦμα συντετριμμένον· καρδίαν συντετριμμένην καὶ τεταπεινωμένην ὁ θεὸς οὐκ ἐξουδενώσει· καὶ, Θύσατε τῷ θεῷ θυσίαν αἰνέσεως· καὶ ὅσα ἔστι περὶ τούτου λέγειν.

Κεφ. ογ΄. Εἶτά φησι ὁ αὐτὸς Μάνης, Ἠθέλησε περὶ Χριστοῦ λόγον ἐκθέσθαι. Ὁ λαλήσας γὰρ ἐν τῷ νόμῳ μέγας ἀληθῶς, ὁ ἐκθέμενος καὶ

Cap. LXXII. — 1. ἐνδεεῖται codd. mss. et ed. princ., ut paulo infra iidem ἐνδεεῖσθαι pro vulg. ἐνδεῖσθαι. Quam scripturam ortam esse puto ex ἐνδεῖται, superposita litera ε (ἐνδεῖται), quo videlicet significaretur formam ἐνδέεται esse potius restituendam. Non contracta enim

ditatem proscribit? qui quidem istud praeceperit: *Non concupisces res proximi tui, neque bovem, neque iumentum, nec ancillam, nec agrum, nec uxorem, nec alia quae proximi tui sunt.* Qui cupiditatem omnem amputat, non eam subministrare dicendus est. Exod. 20, 17. Exod. 2.

Cur igitur Iudaeis ex Aegypto migrantibus spoliare iubet Aegyptios? Nimirum iustus ille iudex est; quemadmodum de illo saepe dixi. Atque ut ostendat nihil se sacrificiis indigere, sic apud prophetam loquitur: *Num sacrificia obtulistis mihi domus Israel quadraginta annis? dicit dominus.* Cuinam igitur oblata illa sunt? Opinor illi, ut quidem qui offerebant putabant. At ipse non quod iis egeret, sed ut a multiplicium deorum cultu ad unius illos dei cognitionem translatos assuefaceret, fieri ista mandavit. Cum enim Aegyptiorum numina placari sacrificiis cerneret, ideo ista providit, ne eiusmodi deorum superstitione depravatis illorum animis ab uno soloque deo desciscerent. Posteaquam autem eorumdem mentes plurium ab deorum cultu revocatas longo intervallo confirmavit, tum demum ab hisce illos institutis desuescere volens coepit ea quae minus sibi placebant praecidere. Quare ita locutus est: *Quid mihi tus e Saba defertis, et cinnamomum e terra longinqua? Numquid manducabo carnes taurorum, aut sanguinem hircorum potabo? Neque enim haec requisivi ex manibus vestris: sed facere erga proximum suum iustitiam, et veritatem unumquemque in fratrem suum.* Animadvertis itaque quemadmodum progressu temporum divinae virtutis sese velut firmamentum aperiat. Unde cum Samueli mandasset, Unge Saul in regem, postea tamen Iudaeos increpat: *Unxistis*, inquit, *regem non per me, et principes, et ego non praecepi vobis.* Sed quoniam ex animorum suorum hoc libidine postularant, deus Samuelem consolans, *Non te*, inquit, *reiecerunt, sed me, dicit dominus. Verum tamen unge illis Saul filium Cis.* Qua in re perinde se deus erga illos ac puerulos gerit, ut infirmorum imbecillitatem sustineat, ac sic tanquam infantem in illa sua teneritudine permulceat. Postea vero quod summum ac perfectissimum est proponit, *Sacrificium deo spiritus contribulatus, cor contritum et humiliatum deus non despiciet.* Item, *Immolate deo sacrificium laudis*, et quaecunque alia de ea re possunt afferri. Cap. LXXII. Amos 5, 25. Ierem. 6, 20. Ps. 49, 13. Esai. 1, 12. Amos 5, 25. 1. Reg. 9, 16. Ose. 8, 4. 1. Reg. 8, 7. Psalm. 50, 19. Psalm. 49, 14.

Deinde vel Manes ipse confitetur deum illum de Christo mentionem facere voluisse. Magnus enim revera ille fuit qui in lege Cap. LXXIII.

fere utitur Epiphanius, ut haer. 68, 3. ἐδέετο, *haer.* 69, 61. *et* 62. ἐπεδέετο, *et ibid. cap.* 29. ἐπιδέεται.
2. ἐνδεεῖσθαι *codd. mss. et ed. princ.*
3. *Fortasse* συναγήοχεν.
4. αὐτῶν τοῦτο παραμυθούμενος *cod. Rhedig.*
5. ἀναθωπεύσει *cod. Rhedig.*

pag. 693. περὶ τῶν μελλόντων γινώσκων. Εἰ γὰρ οἶδε τὰ μέλλοντα, οὐκ ἄμοιρός ἐστι προγνώσεως, ἀλλὰ θεός ἐστι τὰ μέλλοντα εἰδώς· ἔγραψε δὲ αὐτὰ, ἵνα γένηται. Εἰ δὲ ἐναντία αὐτῷ ὑπῆρχεν, ἔγραφε μὲν περὶ αὐτῶν, ἔλυσε δὲ αὐτὰ, ἵνα μὴ αὐτοῖς πεισθῶμεν. Ὁπότε δὲ συνίστησι τὰ μέλλοντα εἰς Χριστὸν τελειοῦσθαι, αὐτὸ [1] ἄρα ἐστὶ τὸ πνεῦμα τὸ λαλῆσαν ἐν νόμῳ καὶ ἐν προφήταις καὶ ἐν εὐαγγελίῳ. Μία γάρ ἐστιν ἡ συμφωνία, ὡς διὰ Μωϋσέως λέγει, Προφήτην ὑμῖν ἐκ τῶν ἀδελφῶν ὑμῶν ἐγερεῖ κύριος. Καὶ πάλιν ὁ κύριος λέγει, Μωϋσῆς περὶ ἐμοῦ ἔγραψεν. Ὁ δὲ Μωϋσῆς φησι, Πᾶσα ψυχὴ ἥτις οὐκ ἀκούσεται τοῦ προφήτου ἐκείνου, ἐξολοθρευθήσεται. Καὶ πάλιν ὁ κύριος, Εἰ τοῖς Μωϋσέως γράμμασιν οὐ πιστεύετε, πῶς ἂν τοὺς ἐμοὺς λόγους ἀκούσετε; Καὶ πανταχόθεν φαίνεται ἡ ἀλήθεια φωτεινή τις οὖσα, καὶ μὴ ἔχουσα ῥυτίδα.

Κεφ. οδʹ. Θανάτου δὲ πάλιν ὁρίζεται τὴν διαθήκην τοῦ νόμου, διὰ τὸ εἰρηκέναι τὸν ἀπόστολον, Εἰ δὲ διαθήκη [1] τοῦ θανάτου ἐν γράμμασιν ἐντετυπωμένη λίθοις ἐγενήθη ἐν δόξῃ. Καὶ οὐ μόνον τοῦτο εἶπεν ἡ θεία γραφὴ, ἀλλ' ὅτι, Ὁ νόμος δικαίῳ οὐ κεῖται, ἀλλὰ πατραλοίαις, καὶ μητρολοίαις, καὶ ἐπιόρκοις, καὶ εἴ τι ἀντίκειται τῇ ὑγιαινούσῃ διδασκαλίᾳ. Ἐπεὶ οὖν ὁ νόμος δικαίῳ οὐ κεῖται, παράνομος ἆρά ἐστιν ὁ δίκαιος; μὴ γένοιτο. Ἀλλ' ἐπειδὴ προέλαβεν ὁ δίκαιος τὰ τοῦ νόμου τελέσαι, οὐκ ἔστι νόμος κατὰ δικαίου τοῦ πεποιηκότος τὸν νόμον. Κεῖται δὲ κατὰ τῶν ἠνομηκότων, δικάζων τοὺς παρανομήσαντας. Οὕτω οὖν ἡ διαθήκη. Ἔλεγε γὰρ τὸν φονέα φονεύεσθαι, καὶ τὸν μοιχὸν [2] ἀποκτέννεσθαι, καὶ τὸν παρανομήσαντα λιθοβολεῖσθαι. Ἐγένετο δὲ ἐν δόξῃ· μεγάλη γὰρ ἐγένετο ἡ ταύτης δόξα. Περιεκράτησε γὰρ τῆς δόξης τῶν ἀνθρώπων ἀπὸ τῆς πρὸς ἀλλήλους ἀδικίας, ἐν φωτὶ στύλου [3] πυρὸς τυπουμένη, ἐν σάλπιγξι φοβεραῖς ἠχούσαις μέγα, καὶ ἐν σκηνῇ τοῦ μαρτυρίου, καὶ ἐν μεγάλῃ τότε γενομένῃ δόξῃ. Ἔδει γὰρ προάγειν τὴν διαθήκην τοῦ θανάτου, ἵνα πρῶτον θανόντες τῇ ἁμαρτίᾳ ζήσωμεν τῇ δικαιοσύνῃ· ὡς Χριστὸς τὰς ἀσθενείας ἡμῶν ἐβάστασε, καὶ τὰς νόσους ἀνέλαβεν, [4] ἀνενέγκας πάντα ἐπὶ τῷ σώματι ἐν τῷ σταυρῷ, ἵνα πρῶτον τὰ τοῦ θανάτου, ἔπειτα τὸ τῆς ζωῆς ἐν αὐτῷ δι' ἡμᾶς πληρωθήσεται. Καὶ διὰ τοῦτο πρῶτον ἀποθνήσκει,
pag. 694. ἵνα συστήσῃ τὴν τοῦ θανάτου διαθήκην. Ἔπειτα ἐκ νεκρῶν ἐγήγερται, ἵνα ἀπὸ δόξης εἰς δόξαν, καθάπερ ἀπὸ κυρίου πνεύματος. Ἐν

Cap. LXXIII. — 1. *Vulgo* ἀρά ἐστι.

Cap. LXXIV. — 1. τοῦ θανάτου *verba absunt a cod. Rhedig.*
2. ἀποκτέννεσθαι *cod. ms. uterque.* ἀποκτένεσθαι *ed. princ.* ἀποκτείνεσθαι *ed. Petav.*
3. πυρὸς *restitui ex codd. mss. Vulgo* πῦρ.
4. ἀνενέγκας *cod. ms. uterque.* ανἔγκας *ed. princ.* ἐνέγκας *ed. Petav., qui eam scripturam videtur hausisse ex Schol-*

locutus est, qui futura ante praevidit ac praedixit. Nam si futura novit, praescientiae expers non fuit, eritque deus qui futurorum cognitione praeditus est. Porro ideo illa scripsit ut aliquando contingerent; quae si contraria ipsi forent, sic de illis scribi voluisset, ut everteret ac destrueret, ne persuaderi nobis possent. Nunc cum ea commendet ipsa quae in Christo perficienda erant, non dubium est eundem illum esse spiritum qui in lege ac prophetis evangelioque adeo sit locutus, quandoquidem una est omnium concordia. Quod a Moyse quoque declaratum est: *Prophetam*, ait, *e fratribus vestris* Deut. 18, 15. *suscitabit dominus.* Imo et dominus ipse, *Moyses*, inquit, *de me* Ioann 5, 46. *scripsit.* Qui quidem Moyses ita pergit: *Omnis anima quae non audierit prophetam illum, exterminabitur.* Item dominus: *Si Moysis* Ibid. *literis non creditis, quomodo sermones meos audietis?* Ita veritas omni ex parte splendida ac rugae expers apparet.

Cap. LXXIV. Atenim Manichaeus testamentum legis mortis esse testamentum asserit, quod apostolus dixerit, *Quod si testamentum mortis in lite-* 2. Cor. 3, 7. *ris insculptum lapidibus, gloriosum fuit.* Nec eo contenta scriptura illud insuper adiecit: *Lex iusto non est posita, sed patricidis et matri-* 1. Tim. 1, 9. *cidis, et periuris, et siquid aliud contrarium est sanae doctrinae.* Cum igitur lex iusto posita non sit, num sceleratus atque exlex dicendus est? Minime vero. Sed quoniam iustus quae lege praescripta sunt facere antevertit, adversus hunc non est constituta lex qui legem observavit, sed adversus eos decernitur qui sceleris aliquid commiserint, ad eos iudicandos qui contra legem peccaverint. Atque hoc modo sese testamentum vetus habuit, quod et homicidam interfici, et adulterum perinde morte damnari, ac legis violatorem lapidibus obrui praeceperat. Idem porro splendorem ac gloriam habuit, et quidem non mediocrem. Gloriam enim inter homines ob Exod. 20, 16. mutuas illorum iniurias promeruit. Quod ignea in columna traditum et informatum est, tubis vehemens quiddam horrendumque perstrepentibus, in tabernaculo testimonii, reliquaque omni gloria, quae praecipua tum extitit. Oportebat enim praeire testamentum mortis, ut cum *peccatis essemus mortui, iustitiae viveremus.* Qua ratione 1. Petr. 2, 24. Christus *infirmitates nostras portavit,* morbosque suscepit, quae Isai. 53, 4. omnia corpori suo imposita in cruce sustinuit, ut primum quae ad mortem pertinent, tum vero quae sunt vitae propria in eadem nostra caussa complerentur. Quam ob caussam moritur primo, ut mortis testamentum commendaret. Deinde a mortuis excitatus est, ut a gloria transiret ad gloriam, tanquam a *domini spiritu.* Nam in cruce

tiano exemplo cuius in marg. ea conspicitur annotata cum siglo M.

γὰρ τῷ σταυρῷ ἐθριάμβευσεν Ἀρχὰς καὶ Ἐξουσίας, ἐν τῷ θανάτῳ κατέκρινε τὴν ἁμαρτίαν, ἐν τῷ ταφῆναι ἔθαψε τὴν ἀνομίαν, ἐν τῷ γεύσασθαι θανάτου κατέκλασε τὸ κέντρον τοῦ θανάτου, ἐν τῷ κατελθεῖν εἰς τὸν ᾅδην ἐσκύλευσε τὸν ᾅδην, ἔλυσε τοὺς πεπεδημένους ἐν ἀνδρείᾳ, ἔλαβε τὸ τρόπαιον τοῦ σταυροῦ κατὰ τοῦ διαβόλου. Καὶ ὅρα πῶς ἡ δόξα αὕτη ἀπὸ Μωϋσέως ἄχρι τοῦ κυρίου. Πόσῳ γε μᾶλλον ἡ διαθήκη τῆς ζωῆς ἔσται ἐν δόξῃ, λίθου ἀποκεκυλισμένου, πετρῶν ῥηγνυμένων, μνημάτων ἀνοιχθέντων, ἀγγέλων ἐξαστραπτόντων, γυναικῶν εὐαγγελιζομένων, εἰρήνης διδομένης, πνεύματος παρ᾽ αὐτοῦ τοῖς ἀποστόλοις διδομένου, οὐρανῶν βασιλείας καταγγελλομένης, εὐαγγελίου φωτίσαντος τὴν οἰκουμένην; ὁ καταβὰς αὐτὸς, καὶ ὁ ἀναβὰς ἐπάνω πάντων τῶν οὐρανῶν, καὶ καθεζόμενος ἐν δεξιᾷ τοῦ πατρός; Οὐκ ἦν θανατοποιὸς ἡ διαθήκη, ἀλλὰ κατὰ τοῦ θανάτου ἡ διαθήκη. Ἐν δόξῃ δὲ ἡ τοῦ θανάτου, ἵνα ἡ ὑπερβάλλουσα δόξα κατὰ τοῦ θανάτου γένηται.

Κεφ. οε΄. Εἶτα πάλιν λέγει ὁ αὐτὸς Μάνης, Οὐ δύναται ἑνὸς διδασκαλίου εἶναι παλαιὰ καὶ καινὴ διαθήκη. Ἡ μὲν γὰρ παλαιοῦται ἡμέραν ἐξ ἡμέρας, ἡ δὲ ἀνακαινίζεται ἡμέραν [1] καθ᾽ ἡμέραν· πᾶν γὰρ τὸ παλαιούμενον καὶ γηράσκον ἐγγὺς ἀφανισμοῦ γίνεται· ἀλλὰ ἐκείνη ἄλλου θεοῦ, καὶ ἄλλου διδασκάλου, καὶ αὕτη ἑτέρου θεοῦ καὶ ἑτέρου διδασκάλου. Καὶ εἰ μὲν εἶχε δεῖξαι δύο διαθήκας παλαιὰς, ἠδύνατο παρ᾽ αὐτῷ πιθανὸν εἶναι τὸ λεγόμενον, ὡς δύο ὄντων τῶν τότε διαθεμένων. Ὡσαύτως δὲ εἰ δύο καινὰς διαθήκας εἶχε δεῖξαι, ἦν εἰς τὴν διάνοιαν λαβεῖν τὸ προειρημένον. Εἰ δὲ ἡ μὲν παλαιὰ ἑνὸς, καὶ ἡ καινὴ τοῦ ἄλλου, τοῦ δὲ καλοῦ θεοῦ [2] εἰ ἔστιν ἡ καινὴ διαθήκη, πονηροῦ δὲ ἡ παλαιὰ, ἄρα εἰ μὴ [3] εἶδεν ὁ ἀγαθὸς θεὸς τὸν πονηρὸν διαθέμενον, οὐκ ᾔδει ὅτι χρὴ διαθέσθαι διαθήκην, καὶ ἔσται μᾶλλον παρ᾽ αὐτοῦ λαμβάνων τὴν πρόφασιν τῆς διδασκαλίας, καὶ ἄπειρος ὢν ἐν τοῖς πράγμασιν. Εἰ γὰρ μὴ ἑώρακεν, οὐκ ἂν ἐμιμήσατο, καὶ ἔδει μᾶλλον τὴν παλαιὰν διαθήκην εἶναι τοῦ ἀγαθοῦ, ἵνα κἂν ὁ πονηρὸς μιμηλὸς ἀκούσῃ, ἤπερ ὁ ὢν ἀληθινὸς θεός. Λέγει γὰρ ὁ κύριος ἐν
pag. 685. τῷ εὐαγγελίῳ, Ὃ ἐὰν βλέπῃ ὁ υἱὸς [4] τὸν πατέρα ποιοῦντα, [5] οὕτω καὶ αὐτὸς ὁμοίως ποιεῖ. Καὶ ἵνα μὴ [6] εἴξῃ τῷ συμβουλεύοντι, εἰς τὸ μὴ καυχᾶσθαι τὸν διάβολον, καὶ λέγειν διὰ τῆς συμβουλίας αὐτοῦ τι τὸν σωτῆρα πεποιηκέναι, ὥς φησι πρὸς αὐτὸν, Εἰπὲ ἵνα οἱ λίθοι ἄρτοι γένωνται. Ὁ δὲ οὐκ ἀνέχεται, ἵνα μὴ μαθὼν [7] ὑποληφθείη παρὰ τοῦ διαβόλου λαμβάνων τὴν συμβουλίαν. Καὶ ὁρᾷς ὅτι τὰς

Cap. LXXV. — 1. ἐξ ἡμέρας cod. Rhedig.

2. Voculam εἰ uncinis notavit Petavius.

3. Vulgo εἶδεν. In exemplo F. Scholtii in marg. annotatum invenio ex cod. illo nescio quo (siglo M. notato) οἶδεν. Sed vides etiam paulo infra sequi εἰ γὰρ μὴ ἑώρακεν, οὐκ ἂν ἐμιμήσατο.

4. Libri habent πρὸς τὸν πατέρα. Su-

Principatus ac Potestates velut in triumpho traduxit. In morte vero peccatum damnavit, in sepultura iniquitatem sepeliit, in degustanda morte *stimulum mortis infregit*, in suo illo ad inferos descensu spolia detraxit inferis, vinctos fortitudine sua liberavit, adversus diabolum trophaeum crucis accepit. Vide ut a Moyse ad Christum gloria perstiterit, quanto erga maiorem gloriam vitae testamentum obtinebit, cum et lapis revolvitur, et saxa franguntur, et monumenta reserantur, et angeli fulguris instar emicant, et mulieres evangelium praedicant, pax conceditur, spiritus apostolis ab illo tribuitur, regnum coeleste denuntiatur, orbis terrarum evangelio collustratur? Postremo *qui descendit ipse est qui ascendit super omnes coelos, et sedet ad dexteram patris.* Non fuit mortiferum testamentum, sed adversus mortem constitutum. Illud porro quod mortis dicitur, gloriam habuit, maior ut adversus mortem gloria compararetur.

Coloss. 2, 15. 1. Cor. 15, 59. Eph. 4, 9.

Cap. LXXV.

Sed obiicit Manichaeus, non posse vetus ac novum testamentum ab eodem esse magistro profectum. Si quidem *vetus de die in diem inveteratur*, alterum *vero in dies innovatur: quicquid enim inveteratur, ac senescit, interitui proximum est.* Quare superest ut illud alterius dei ac magistri, hoc alterius esse dicatur. Verum si vetera duo testamenta demonstrare posset, probabile nonnihil videri posset quod de duplici testatore disputat. Ita etiam si nova duo testamenta nobis ostenderet, utcumque quod narrat intelligi posset. Sed cum vetus quidem alterius, novum testamentum alterius sit, hoc si bono deo tribuere velimus, illud vero malo, consequens illud est, bonum deum, nisi conditum a malo testamentum scivisset, a se quoque condendum ignoraturum fuisse. Quare doctrinae suae divulgandae occasionem ab illo nactus, ac rerum gerendarum imperitus esse videbitur. Nisi enim fieri ab altero vidisset, nunquam esset imitatus, ac bono deo testamentum vetus affingi magis oportebat, ut malus alter potius aemulator appellaretur quam verus germanusque deus. Dominus enim in evangelio dicit, *Quicquid viderit filius patrem facientem, idem et ipse similiter facit.* Tum insuper ne consulenti illi cessisse videretur, neve gloriari ac iactare diabolus posset suo aliquid consilio a salvatore gestum, cum ita suaderet ipsi: *Dic ut lapides panes fiant*, repudiavit penitus, ne didicisse aliquid a diabolo, eiusque consilio usus esse videretur. Quod autem testa-

1.Cor.4, 16. Hebr. 8, 13. Ioann. 5, 19. Matth. 4, 3.

spicor librarium voluisse τὸν υἱὸν πατρὸς (= πρὸς) τὸν πατέρα *cett.*
5. οὕτως *cod. Rhedig.*
6. εἴξῃ *emendavit Petav. Vulgo extat* ἥξει, *in cod. Rhedig.* ἥξει. *Cornar. vertit* Et ut ne admitteret consiliarium *cett.*
7. ὑπολειφθείη *cod. ms. uterque et ed. princ.*

δύο διαθήκας ἑνὸς λέγει θεοῦ; φησὶ γὰρ ὁ ἀπόστολος· ἡ πρώτη διαθήκη ἐκ τοῦ ὄρους Σινᾶ ἐδόθη, εἰς δουλείαν γεννῶσα. Τὸ γὰρ ὄρος Σινᾶ ἐστιν ἐν τῇ Ἀραβίᾳ. Εἰ γὰρ δύο εἰσὶ γυναῖκες, ἀλλὰ εἷς ὁ ἀνὴρ, οὕτω εἰ καὶ δύο εἰσὶ διαθῆκαι, ἀλλὰ εἷς ὁ θεὸς, ὁ τὰς δύο θέμενος. Καὶ διὰ τοῦτο οὐ δύο κέκληκε καινὰς, οὐδὲ δύο παλαιὰς, ἀλλὰ μίαν παλαιὰν, καὶ μίαν καινήν. Καί φησι, Διαθήκη δὲ ἐπὶ νεκροῖς βεβαία ἐστὶ, διὸ καὶ ἡ πρώτη ἄνευ αἵματος οὐκ ἐγένετο· ἔλαβε γὰρ Μωϋσῆς τὸ αἷμα τῶν τράγων, καὶ ἐῤῥάντισεν αὐτὸ τὸ βιβλίον καὶ τὸν λαόν· διὰ τοῦτο καὶ ἡ δευτέρα ἐπὶ τῷ θανάτῳ τοῦ σωτῆρος ἐδόθη διαθήκη· ὁπότε μάλιστα αἱ ἀμφότεραι ἀλλήλαις συνᾴδουσιν, ἡ μὲν λέγουσα, Οὐκ ἐκλείψει ἄρχων ἐξ Ἰούδα, οὐδὲ ἡγούμενος ἐκ τῶν μήρων αὐτοῦ, ἕως ἂν ἔλθῃ [8] ᾧ ἀπόκειται· ἡ δὲ δευτέρα ὅτι, θεὸς ἦν ἐν Χριστῷ, κόσμον καταλλάσσων ἑαυτῷ, μὴ λογιζόμενος [9] ἑαυτοῖς τὰ παραπτώματα. Καὶ πολλά ἔστι περὶ τούτου λέγειν, διὰ δὲ τὴν συντομίαν ὑπερβήσομαι.

Κεφ. ος'. Δένδρεσιν δὲ ἐξηραμμένοις καὶ γεγηρακόσιν ἀπεικάζει πάλιν νόμον καὶ προφήτας, δῆθεν ἀπὸ τοῦ ῥητοῦ οὗ εἴρηκεν, Ὁ νόμος καὶ οἱ προφῆται ἕως Ἰωάννου. Καὶ οὐδὲν τούτου ἠλιθιώτερον. Τίνι γὰρ οὐ σαφὲς ὑπάρχει ὅτι πληρωθέντος τοῦ ὑπὸ τῶν προφητῶν καταγγελλομένου ἐτελέσθησαν οἱ προφῆται; Εἰ γὰρ ἔτι προφῆται ἤρχοντο καταγγέλλοντες Χριστὸν [1] ἐρχόμενον ἀπὸ Μαρίας, οὔπω Χριστὸς ἐπεδήμησεν. Ἔοικε γὰρ [2] ἡ ὑπόθεσις αὕτη τοιούτῳ τινὶ πράγματι, ὡς βασιλεὺς μέλλων ἀποδημεῖν εἰς χώραν προπέμπει [3] ἐνώπιον αὐτοῦ [4] ἐφίππους, προετοιμαστὰς, προκαταγγέλτορας, καὶ ὅσον ἡ παρουσία φθάνει τοῦ βασιλέως, τοσούτῳ πλείους οἱ τῆς παρουσίας κήρυκες προλαμβάνοντες καὶ ἐν ταῖς πόλεσι τὰ τῆς παρουσίας διαγγέλλοντες. Ἐπὰν δὲ φθάσῃ ὁ βασιλεὺς εἰςελθεῖν εἰς τὴν πόλιν, τίς ἔτι χρεία κηρύκων;
pag. 698. τίς ἔτι χρεία [5] ἐφίππων, ἢ τῶν ἄλλων τῶν προκαταγγελλόντων τὴν τοῦ βασιλέως παρουσίαν, ὁπότε αὐτὸς ὁ βασιλεὺς ἔνδον ὑπάρχει; Οὕτω καὶ ὁ νόμος καὶ οἱ προφῆται ἄχρις [6] Ἰωάννου. Ἰωάννου δὲ κηρύξαντος φωνὴν ἐν τῇ ἐρήμῳ, καὶ δείξαντος ὅτι οὗτός ἐστιν ὁ ἀμνὸς τοῦ θεοῦ, ὁ αἴρων τὴν ἁμαρτίαν τοῦ κόσμου, οὐκέτι προφητῶν ἐστι χρεία, ὅπως ἔλθωσι καὶ κηρύξωσιν ἡμῖν τὴν τοῦ Χριστοῦ ἀπὸ παρθένου παρουσίαν· χρεία δὲ τῶν προκαταγγειλάντων αὐτοῦ τὴν παρουσίαν, πρὸς βεβαίωσιν τῆς αὐτοῦ παρουσίας, ὅτι προκατήγγελτο. Ὡς γὰρ εἴ τις παιδαγωγὸν ἔχοι (καθάπερ καὶ ὁ ἀπόστολος λέγει ὅτι, Παιδαγωγὸς ἡμῶν γέγονεν ὁ νόμος εἰς τὴν τοῦ κυρίου παρουσίαν), ἐπὰν δὲ φθάσῃ ἡλικίας γενέσθαι, καὶ καταλάβοι τὸν διδάσκαλον, οὐ πάντως ἀποβάλλεται τὸν παιδαγωγὸν ὡς ἐχθρὸν ὑπάρχοντα, οὕτω καὶ ἡμεῖς καθω-

8. ᾧ *rescribendum vidit Petavius, cum vulgo extaret* ὅ.

9. *Ita libri omnes.*

Cap. LXXVI. — 1. ἐρχόμενον *abest*

menta duo dei esse unius affirmet, ex eo potes animadvertere. Sic enim apostolus: *Prius testamentum ex monte Sina datum est, quod ad servitutem generat: Sina enim mons est in Arabia.* Nam tametsi duae sint uxores, unus tamen vir est. Ita licet duo testamenta sint, unus duntaxat amborum conditor est deus. Ob id non aut duo nova, aut duo vetera, nominavit, sed unum vetus, alterum novum. Atque illud praeterea: *Testamentum vero in mortuis firmum est: quare neque primum sine sanguine factum est: accepit enim Moyses sanguinem hircorum, eoque librum et populum aspersit: ideoque et secundum testamentum domini morte sancitum est.* Cum ambo summa inter se consensione conspirent. Ut enim vetere proditum est, *Non deficiet princeps e Iuda, neque dux de femoribus eius, donec veniat cui repositum est*, ita novum, *Deus erat in Christo mundum sibi reconcilians, nec imputans illis peccata.* Plura de ea re dici possent, quae brevitatis caussa praetereo.

Gal. 4, 24. Hebr. 9, 18. Gen. 49, 10. 2. Cor. 5, 19.

Cap. LXXVI. Luc. 16, 16.

Ceterum Manichaeus cum aridis et effoetis arboribus legem ac prophetas comparat, hac potissimum sententia fretus, *Lex et prophetae usque ad Ioannem;* quo nihil afferri potest ineptius. Quis enim ignorat ubi id quod a prophetis nuntiabatur impletum est desisse prophetas. Qui si deinceps prodeuntem ex Maria Christum praedicantes venissent, nondum advenisse illum oporteret. Eiusmodi enim fere illud est, quemadmodum rex in aliquam provinciam iturus metatores ante se ac nuntios praemittit, ac quo propinquior illius adventus est, eo plures eius praecones ac praecursores antecedunt: postquam autem princeps urbem ingressus fuerit, quid amplius praeconibus opus est, aut veredariis ceterisque regis adventus praenuntiis, cum iam ipse intra moenia versetur? Eodem modo *lex et prophetae ad Ioannem usque perstiterunt.* Postquam autem Ioannes in deserto praedicavit, et agnum illum esse dei monstravit, *qui tollit peccata mundi*, nihil amplius prophetas mitti necesse est, qui nobis Christi ex virgine ortum adventumque denuntient. Olim quidem necessarii illi fuerunt, qui eundem illum advenire nuntiarent, ut adventus eius hoc ipso fides astrueretur, quod ante significatus fuerat. Porro quemadmodum si quis paedagogum habeat (recte enim hac similitudine utimur, cum apostolus dicat, *Paedagogus noster fuit lex in domini adventum*), postquam adoleverit, et praeceptorem habuerit, non omnino paedagogum velut inimicum re-

Ioann. 1, 29. Gal. 3, 24.

a cod. Rhedig.

2. ἡ *codd. mss. Desideratur ea vocula in utroque edito.*

3. ἐν τῷ αὐτῷ *extat in cod. Rhedig. pro* ἐνώπιον αὐτοῦ.

4. *Ita correxit Petavius. Libri vulgo* ἐφ' ἵππους.

5. *Libri omnes* ἐφ' ἵππων.

6. *Vox* Ἰωάννου *om. in ed. Petav. Colon. repet.*

δηγήθημεν ἐν νόμῳ καὶ ἐν προφήταις ἕως τῆς παρουσίας τοῦ διδασκάλου, εὑρόντες δὲ τὸν διδάσκαλον οὐκ ἀτιμάζομεν τὸν παιδαγωγὸν ἀλλὰ καὶ χάριν αὐτῷ ὁμολογοῦμεν, ὅτι τὴν ἡμῶν νηπιότητα καθοδηγήσας εἰς τὰ ἐντελέστερα ἡμᾶς μαθήματα προεπέμψατο. Ἢ καθὼς ἐάν τις μέλλων πλεῖν [7] ἐν θαλάσσῃ ἔχοι μεγάλην τὴν ναῦν, ἐν ἀκατίῳ δὲ μικρῷ ἐπέλθοι τὸ σάλος τὸ παρὰ τὴν ὄχθην τῆς θαλάσσης, καὶ διενέγκῃ τὸ ἀκάτιον εἰς τὴν μεγάλην ναῦν τὸν ἄνθρωπον, οὐ πάντως ὁ ἄνθρωπος βυθίζει τὸ ἀκάτιον, ἐπειδὴ εὗρε τὴν μεγάλην ναῦν, ἀλλὰ μετὰ τοῦ χάριν ἔχειν τῷ ἀκατίῳ καταλαμβάνει τὸ μειζότερον τῆς αὐτοῦ σωτηρίας πλοῖον. Ἢ καὶ ἑτέρως ἵνα εἴπωμεν, ὡς ἐάν τις ἐκβληθῇ ὑπὸ μητρὸς γεννησάσης, [8] ληφθεὶς δὲ ὑπό τινος τοῦ τυχόντος καὶ ἀνατραφείη χρόνῳ, εἰςύστερον ἀνδρωθέντος αὐτοῦ ἐπιγνῷ τὸν ἴδιον αὐτοῦ πατέρα τὸν κατὰ φύσιν, ἔχοι δὲ ὁ τοιοῦτος σύνεσιν, μὴ ἐπειδὴ [9] ἐπέγνω τὸν ἑαυτοῦ πατέρα, καὶ ἐπιλαμβάνεται τῆς ἰδίας κληρονομίας, παρὰ τοῦτο ἀτιμάζει τὸν ἀναθρέψαντα; οὐ πολλῷ μᾶλλον χάριν ἔσχε τῷ ἀναθρέψαντι, ὅτι οὐκ εἴασεν αὐτὸν εἰς θάνατον παραδοθῆναι; οὕτω καὶ ἡμεῖς χάριν ἔχομεν [10] θεῷ τῷ δεδωκότι νόμον καὶ προφήτας, καὶ χάριν ἔχομεν αὐτῷ καταξιώσαντι ἡμᾶς τῆς τοῦ υἱοῦ αὐτοῦ καινῆς διαθήκης.

Κεφ. οζ'. Φησὶ δὲ ὁ αὐτὸς Μάνης εἶναι ἡμᾶς μορφὰς Ἀρχόντων, καὶ ὑπὸ τῶν Ἀρχόντων γεγονότας, αὐτοῖς δὲ εἰς κατάβρωμα καταβεβλημένους.
pag. 697. Πολλὴ δὲ [1] ἄνοια ἐν τοῖς τοιούτοις λόγοις. Ὁρῶμεν γὰρ οὐχ οὕτως τὰ πράγματα συμβαίνοντα. Πᾶν γὰρ ὁτιοῦν ἐπὶ τῆς γῆς, κἄν τε φαυλοτέρων καὶ ἀγριοτέρων θηρίων ὑπάρχοι, οὐ τῇ ἰδίᾳ μορφῇ ἐπέρχεται, ἀλλὰ ταῖς ἄλλαις. Ὡς οἷον εἰπεῖν, λέοντες λέοντας οὐκ ἐσθίουσι, διὰ τὸ ἴδιον ἐκτύπωμα καὶ ὁμόστοιχον, ἀλλὰ λιμοῦ μεγάλου πιέζοντος ἐν τοῖς ὄρεσι τοὺς θῆρας, καὶ [2] ἔν τι πολλῷ χρόνῳ αὐτῶν μὴ εὑρισκόντων, ἤτοι διὰ χιόνα, ἢ δι' ἑτέραν ἔνδειαν, ἀναστρέφουσιν ἐν τοῖς φωλεοῖς καὶ χηραμοῖς αὐτῶν λέοντες ἅμα σκύμνοις ὑπάρχοντες, καὶ ἅμα λεαίναις. Καὶ οὐκ ἐπέρχεται θὴρ θηρίῳ, οὐ λύκος λύκῳ, εἰ μή τι ἂν εἰς μανίαν ἔλθοι τὸ ζῶον, καὶ λυσσῆσαν ἀγνοεῖ ὃ πράττει. Εἰ τοίνυν λύκος λύκον οὐκ ἐσθίει, διὰ τὴν ὁμόστοιχον μορφήν, πῶς δύνανται οἱ Ἄρχοντες ἡμᾶς ἐσθίειν, εἰ τῆς αὐτῆς ὑπάρχομεν, καὶ οὐ μᾶλλον θωπεύουσιν, ἵνα δόξωσιν τὰς ἰδίας αὐτῶν μορφὰς περιποιεῖσθαι; Καὶ πανταχόθεν ἐλέγχονται τοῦ ἀγύρτου οἱ λόγοι.

Κεφ. οη'. Εἶτα πάλιν ἀπὸ τοῦ εὐαγγελίου ἐπιλαμβάνεται ὅτι, Οὐ πάντες χωροῦσι τὴν αὐτοῦ διδασκαλίαν, ἀλλ' οἷς δέδοται. Καὶ οὐκ ἦν ὁ λό-

7. ἐν τῇ θαλάσσῃ cod. Rhedig. 8. Suspicor ληφθείη. Nisi potius malueris ληφθεὶς δὲ - - καὶ ἀνατραφεὶς χρόνῳ cett. Pro ἐὰν in cod. Rhedig. est ἄν. 9. ἔγνω cod. Rhedig.

spuit, ita et nos per legem ac prophetas ad praeceptoris adventum usque perducti, ubi hunc nacti sumus, paedagogum cum ignominia non reiicimus, sed ei gratiam potius habemus, quod infantiam nostram per viam deducens ad perfectiores nos disciplinas promoverit. Item velut si quis in alto mari navigaturus, comparata maiore navi, exiguo lembo vicinum littori salum, in quo maior illa navis fluctuat, traiecerit, et ad eam minoris huius beneficio pervenerit, ubi maiorem attigerit, non statim lembum in profundum deprimit, sed ita grandiori navigio salutem suam committit, ut exiguo illi lembo gratiam habendam putet. Addam et aliud exemplum. Sicut expositus a genitrice quispiam, si ab aliquo forte sublatus et educatus fuerit, posteaquam adoleverit, ac naturalem suum parentem agnoverit, is, si prudentiae aliquantulum habeat, num ubi parentem agnoverit, et hereditatem suam adierit, idcirco nutricium illum aspernabitur, aut non ei potius gratificabitur, quod eius beneficio letum evaserit? Perinde igitur et nos deo gratiam habemus, primum quod legem nobis ac prophetas dederit, tum etiam quod novo nos filii sui testamento dignatus sit.

Idem Manichaeus Principum nos imagines esse, et a Principibus productos affirmat, quibus ad pabulum simus expositi. Quod sane dictu quam impium est. Longe enim aliter omnibus in rebus accidere cernimus. Et vero ex his omnibus quae in terra sunt, licet pessimas ac crudelissimas quasque feras consideres, nulla est quae in sui similem saeviat, sed in alterius generis duntaxat. Exempli caussa leonem leo propter formae ac naturae similitudinem non devorat, sed licet ingens fames in montibus feras illas urgeat, adeo ut propter nives aut inopiam aliquam praedae nihil longo tempore inveniant, in lustris tamen ac latibulis suis cum catulis ac leaenis commorantur; nec ulla omnino bestia in sui similem incurrit, velut lupus in lupum, nisi forte in rabiem concitata quid agat nesciat. Quare cum ne lupus quidem lupum devoret, ob figurae cognationem, quomodo Principes devorare nos possunt, quibus sumus formae similitudine coniuncti? Cur non potius blandiuntur nobis, quo suas ipsorum effigies tueri complectique videantur? Sic impostoris illius undique confutatur oratio. Cap. LXXVII.

Sed illud ex evangelio profert: *Non omnes doctrinam suam capere, sed quibus datum est.* Atqui nulla hic a salvatore de doctrina Cap. LXXVIII. Matth. 19, 10.

10. *θεῷ abest a cod. Rhedig.*

Cap. LXXVII. — 1. *Ita correxit Petav. Est ea scriptura in margine exempli Schottiani annotata. Libri enim vulgo habent ἀνοσία. Ego olim suspicabar ἀγνωσία.*

2. *Sic correxi. Libri habent ἐπὶ πολλῷ χρόνῳ.*

γος περὶ διδασκαλίας ἐνταῦθα τῷ Σωτῆρι, ἀλλὰ περὶ εὐνούχων. Εἰ δὲ περὶ τῆς αὐτοῦ διδασκαλίας πληροῦται τὸ, Οὐ πάντες χωροῦσιν, ἐνταῦθα τῷ σωτῆρι, ἄρα ἐὰν οὐ χωρήσωσι, κατὰ τὴν ἰδίαν γνώμην οὐ χωροῦσιν. Ἐπαινετοὶ οὖν ἤτοι [1] ψεκτοὶ οὗτοι ἐπὶ τὸ αὐτεξούσιον κληθήσονται, καὶ οὐκέτι κατὰ φύσιν ἔσται τὸ χώρημα, ἐπεὶ [2] τί ἂν ὠφελήσειε τὴν αὐτῷ καταγγέλλων διδασκαλίαν; Ἐξέπεσε δὲ πανταχόθεν αὐτοῦ ὁ λόγος. Οὔτε γὰρ διδασκαλίαν ὁ σωτὴρ τὸν λόγον ἀπεφήνατο, ἀλλὰ δι' εὐνουχισμόν. Κἄν τε διδασκαλίαν εἴποι, οὐκέτι σταθήσεται τοῦ Μάνη [3] ὁ λόγος. Φησὶ δὲ ὁ αὐτὸς Μάνης, [4] Ἤιδει τοὺς ἡμετέρους· καὶ γὰρ τὰ ἐμὰ πρόβατα γινώσκει με, καὶ γινώσκω τὰ ἐμὰ πρόβατα. Ἐν ἅπασι δὲ ψεύδεται. Βουλόμενος γὰρ θωπείᾳ ἁρπάσαι [5] ψυχὰς κατὰ τῶν τότε παρόντων ἐν τῇ συζητήσει τοῦτον ἐξεῖπε τὸν λόγον, ὑποσπείρων δέλεαρ, ὡς εἰπεῖν, ἵνα διὰ τῆς κολακείας δόξωσιν αὐτῷ συνάπτεσθαι· ἵνα ὅταν συναφθῶσιν ἄρξηται κομπάζειν καὶ λέγειν εἰδέναι αὐτοὺς πρὶν ἢ τὴν ἄφιξιν πρὸς αὐτὸν ποιήσονται.

pag. 698. Γέγονε δὲ [6] αὐτῷ ὡς ὁ τῶν Ἑλλήνων μῦθος κατὰ τὸν Ἀπόλλωνα τὸν μάντιν, μαντευόμενον τοῖς ἄλλοις, ἑαυτῷ δὲ μὴ δυνάμενον μαντεύεσθαι, ἀλλὰ ἐκπεπτωκότα αὐτὸν τοῦ μαντείου, ἐρῶντα τῆς Δάφνης, καὶ ἐκπεπτωκότα αὐτῆς διὰ σωφροσύνην. Οὕτω καὶ οὗτος ὁ Μάνης ἐμαντεύετο μὲν εἰδέναι τοὺς ἰδίους, φύσει δὲ διὰ Μάρκελλον ἧκεν ὑποχείριον αὐτὸν ληψόμενος, διέπεσεν δὲ τὸ αὐτοῦ μαντεῖον. Οὔτε γὰρ αὐτῷ Μάρκελλος ἐπείσθη, οὐδέ τις ἕτερος κατ' ἐκεῖνο καιροῦ τῶν τότε ἀνθρώπων.

Κεφ. οϑ'. Εἶτα ἔφη ὅτι, Τὰ παλαιὰ ἔτη οὐδεὶς ἐσώθη, ἀλλὰ ἀπὸ τοῦ πεντεκαιδεκάτου ἔτους Τιβερίου Καίσαρος ἄχρι τῶν [1] αὐτοῦ χρόνων. Πρόβος δὲ ἦν ὁ κατ' ἐκεῖνο καιροῦ βασιλεὺς, καὶ Αὐρηλιανὸς ὁ πρὸ αὐτοῦ, ὅτε οὗτος ὁ Μάνης ἐνεδήμει. Καὶ ἐν τούτῳ πάλιν ἐλέγχεται πάντη, τοῦ εὐαγγελίου λέγοντος, καὶ τῶν ἀποστολικῶν ῥημάτων περὶ τῶν ἤδη πρότερον σεσωσμένων. Ὡσαύτως ὁ κύριος λέγει, Ζητηθήσεται ἀπὸ τῆς γενεᾶς ταύτης πᾶν αἷμα δικαίου ἐκχυνόμενον ἐπὶ τῆς γῆς, ἀπὸ αἵματος Ἄβελ τοῦ δικαίου μέχρις αἵματος Ζαχαρίου τοῦ ἐκκεχυμένου ἀναμέσον τοῦ ναοῦ καὶ τοῦ θυσιαστηρίου. Πόθεν οὖν δίκαιος Ἄβελ, πόθεν Ζαχαρίας, εἰ μὴ ὅτι ἦν ἤδη [2] ἡ σωτηρία, καὶ ὅτι ἔσωσεν ἤδη διὰ νόμου καὶ προφητῶν; Φησὶ, Ἐβασίλευσεν ὁ θάνατος ἀπὸ Ἀδὰμ μέχρι Μωϋσέως· ὅπως γνῷς ὅτι ἐν Μωϋσεῖ [3] ἀνεκόπη ὁ θάνατος, οὐ παντάπασιν ἀφανισθείς. Ἀπεξεδέχετο γὰρ τὸν τελειωτὴν πάντων Ἰησοῦν, ἵνα ὅταν [4] αὐτὸν παραδῷη ὑπὲρ τῆς ἀνθρωπότητος,

Cap. LXXVIII. — 1. ψευκτοὶ *cod. Rhedig.*

2. τί *desideratur in ed. Petav.*

3. *Articulum* ὁ *adieci ex utroque cod. mss.*

4. ᾔδει *scripsi ex emendatione Petavii. Libri habent* ἤδη. *Cornarius vertit* dicit amplius idem Manes, nostros iam sermones usurpans.

5. ψυχὰς *libri mss.; et Cornarius ver-*

mentio, sed de eunuchis duntaxat instituitur. Verum ut hoc demus, ad ipsius doctrinam dictum illud spectare: *Non omnes capiunt*, igitur si non capiunt, ex propria animi sententia non capiunt. Quare laude aut vituperio digni ex voluntatis suae libertate dicentur, neque ex natura capacitas illa petenda fuerit; alioqui quid praedicanda doctrina sua proficeret? Verum nihil omnino dicit, quandoquidem non ad doctrinam, sed ad spadones salvatoris ille sermo pertinet. Ac tametsi de doctrina loqueretur, non tamen stare posset Manichaei ratio. Atenim Manichaeus, Noverat, inquit, nostros. *Oves enim meae cognoscunt me, et cognosco oves meas.* Sed ubique mentitur. Nam cum ex eorum numero, qui tum illi disputationi praesentes aderant, quempiam vellet per ambitionem ac blanditias rapere, istiusmodi vocibus est usus, ac velut escam et illecebram aspersit, ut hac illi adulatione ad eius se societatem aggregarent, ut cum adiuncti essent, gloriari ac iactare posset se illos, antequam ad se venirent, cognitos habuisse. Sed idem illi contigit quod Apollini vati, qui, ut est in Graecorum fabulis cum aliis futura praediceret, sibi ipsi non praesagiit, sed suo ipsius oraculo fraudatus est, cum scilicet Daphnes amore flagrans ob eius castitatem compos esse non potuit. Ita Manichaeus cum se suos nosse vaticinaretur, ac Marcelli captandi gratia venisset, sua illum frustrata divinatio est. Nam neque Marcello, neque alteri cuiquam per illud tempus dogmata sua probare potuit.

Ioann. 10, 14.

Cap. LXXIX.

Praeterea, Nemo, inquit ille, priscis temporibus salutem adeptus est, nisi ab anno decimo quinto Tiberii Caesaris ad aetatem usque suam, quae in Probi et antecessoris Aureliani imperium incidit, sub quibus Manichaeus vixit. In quo rursus explodendus venit, cum de multis olim salutem assecutis tam evangelii quam apostolorum scripta meminerint; imo et dominus ipse, *Requiretur*, inquit, *ab hac generatione sanguis omnis iustus, qui effusus est a sanguine Abel iusti, usque ad sanguinem Zachariae, qui effusus est inter templum et altare.* Potuitne iustus Abel aut Zacharias esse, nisi iam tum salus comparari potuisset, eamque leges ac prophetarum beneficio tribueret? Propterea scriptum est, *Regnavit mors ab Adam usque ad Moysem*, ut intelligas repressam in Moyse mortem esse, non omnino restinctam. Expectabat quippe consummatorem omnium Iesum, donec pro humano sese genere sponte traderet, atque et

Matth. 23, 36.

Rom. 5, 14.

tit animas. *At in utroque edito extat* ψυχήν.
6. αὐτῷ *codd. mss. et ed. pr.* αὐτοῦ *ed. Petav.*
Cap LXXIX. — 1. αὐτοῦ *revocavi* *ex libris manu exaratis. In editis male est* αὐτῶν.
2. *Articulum* ἡ *restitui ex libris mss.*
3. ἀνεχόπει *ed. princ.*
4. *Suspicor* αὐτόν. *Vocem* ὅταν *de-*

ὁ ἀθάνατος θανὼν, ὁ ἀκράτητος κρατητὸς γενόμενος, ἡ ζωὴ ἐν σαρκὶ τὸ παθεῖν ὑπομένων, καὶ κλάσῃ διὰ τοῦ θανάτου τὸν τὸ κράτος ἔχοντα τοῦ θανάτου, τὸ κέντρον τῆς ἁμαρτίας καὶ τὸν θάνατον· ὅτε λοιπὸν ἐπληροῦτο, Ποῦ σου θάνατος τὸ κέντρον; ποῦ σου ᾅδη τὸ νῖκος; Ἐκεῖ μὲν γὰρ ἐν Μωϋσεῖ ἀνετράπη ἐπισχεθεὶς ὁ θάνατος, βασιλεύσας ἄχρι Μωϋσέως. Καὶ πρῶτον μὲν δίκαιοι ἦσαν οἱ περὶ Ἄβελ, καὶ Ἐνώχ, ὁ μετατεθεὶς τοῦ μὴ ἰδεῖν θάνατον, καὶ οὐχ ηὑρίσκετο. Ἀλλὰ οὔπω ὁ ἔγγραπτος νόμος, ἀλλὰ ὁ κατὰ φύσιν ἐκ διανοίας, καὶ ἐκ παραδόσεως, κατὰ διαδοχὴν πατέρων πρὸς τοὺς υἱούς. Ὅτε [5] δὲ τηλαυγῶς ἐξετέθη ὁ νόμος, ἐγένετο, ὡς εἰπεῖν, μάχαιρα διχάζουσα pag. 699. τὴν δύναμιν τῆς ἁμαρτίας, ὅτε δὲ ὁ σωτὴρ παρεγένετο, συνετρίβη τὸ κέντρον τοῦ θανάτου. Καὶ πάλιν καταποθήσεται ὁ θάνατος εἰς νῖκος τότε. Καὶ ὅρα πῶς ἔσωζεν ὁ θεὸς διὰ πολλῶν τρόπων· τὸ δὲ τέλειον τῆς σωτηρίας ἐν Χριστῷ Ἰησοῦ τῷ κυρίῳ ἡμῶν γεγένηται, καὶ γενήσεται, ὡς καὶ ὁ εὐαγγέλιον φάσκει ὅτι, Ἐκ τοῦ πληρώματος αὐτοῦ ἡμεῖς πάντες ἐλάβομεν. Καὶ, Ποῖον, φησὶ, τὸ πλήρωμα; ἀλλ' ὁ νόμος διὰ Μωϋσέως ἐδόθη, ἡ χάρις καὶ ἡ ἀλήθεια διὰ Ἰησοῦ ἐγένετο. Ἐκεῖ μὲν ἐδόθη, ὧδε ἐγένετο. Εἰ ἐκ πληρώματος ὁ νόμος, ἡ χάρις, καὶ ἡ ἀλήθεια τοῦ Ἰησοῦ, παλαιὰ καὶ καινὴ διαθήκη ἐν τῷ νόμῳ καὶ χάριτι καὶ ἀληθείᾳ.

Κεφ. π'. Ἑτέρᾳ δὲ πάλιν λέξει κέχρηται ὁ αὐτὸς Μάνης φάσκων ὅτι, Ὁ Χριστὸς ἐξηγόρασεν ἡμᾶς [1] ἀπὸ τῆς κατάρας τοῦ νόμου, γενόμενος ὑπὲρ ἡμῶν κατάρα. Λεγέτω τοίνυν ποίοις ἀργυρίοις ἡ ἀγορασία γεγένηται, ποῖον τὸ τίμημα ὃ δέδοται, ἵνα ἡμᾶς ἀγοράσῃ. Οὐ γὰρ εἶπεν [2] ὃ ἠγόρασεν, ἀλλ' Ἐξηγόρασεν. Ἀλλὰ τὴν μὲν ἀγορασίαν ἐπίσταται, τὸ δὲ τίμημα ἀγνοεῖ· ἡ δὲ ἀλήθεια τὰ ἀμφότερα ὁμολογεῖ. Ἐξηγόρασε γὰρ ἡμᾶς, καὶ ἠγόρασεν ἀληθῶς ἀπὸ κατάρας τοῦ νόμου, γενόμενος ὑπὲρ ἡμῶν κατάρα. Καὶ πῶς ἠγόρασεν ἡμᾶς, εὐθὺς ἐπιφέρει ὁ διδάσκαλος τῆς ἐκκλησίας, [3] φάσκων ὅτι, [4] Τιμῆς ἠγοράσθητε, τιμίῳ αἵματι ἀμνοῦ ἀμώμου καὶ ἀσπίλου Χριστοῦ. Εἰ τοίνυν τῷ αἵματι ἠγοράσθητε, οὐχ ὑπάρχεις τῶν ἠγορασμένων, ὦ Μάνη, ἐπειδὴ τὸ αἷμα [5] ἀρνεῖσαι. Πόθεν δὲ ἡμᾶς ἠγόρασε; λέγε. Ἀλλοτρίους ὄντας ὠνήσατο; Ἆρα ἠπόρησεν ὁ πρότερον ἡμῶν δεσπότης, καὶ ἐπιδεόμενος τοῦ ἡμῶν τιμήματος, λαβὼν ἀπέδοτο ἡμᾶς Χριστῷ; Καὶ εἰ ἀπεδόθημεν Χριστῷ, οὐκέτι ἐσμὲν τοῦ προτέρου. Εἰ τοίνυν [6] ὁ πρότερος οὐκέτι ἡμᾶς κέκτηται, ἄρα τῆς αὐτοῦ περιουσίας ἔξω

lendum iudicavit Petavius, non videns ἵνα coniunctionem pertinere ad verba καὶ κλάσῃ, ὅταν vero ad αὐτὸν παραδῷη.
5. Particulam δὲ non agnoscit cod. Rhed.

Cap. LXXX. — 1. ἐκ cod. Rhedig.
2. Immo ᾧ ἠγόρασεν.
3. λέγων cod. Rhedig.

immortalis obiret mortem, et qui comprehendi non potest comprehendi se permitteret, et vita suscepta carne pateretur, ac denique per mortem eum qui morti dominabatur infringeret peccati cum morte stimulum. Quo tempore illud impletum est, *Ubi est mors stimulus* 1.Cor.15,55.
tuus? ubi est inferne victoria tua? Illic enim mors est eversa profligataque penitus, quae cum regnum ad tempora Mosis obtinuisset, sub illo cohibita fuerat. Inprimis ergo iustus Abel extitit et Enoch, *qui translatus est ne videret mortem, nec inventus est.* Nec dum Gen. 5, 24.
scripta lex promulgata fuerat, sed naturalis tantummodo vigebat, quae cuiusque animo infixa, ac per generis successionem a parentibus in filios propagata fuerat. Posteaquam vero palam proposita lex est, fuit hic velut quidam gladius, quo peccati vis est ac potentia divisa. Sed accedente salvatore stimulus mortis confractus est. Atque illo denique tempore *mors in victoriam iterum absorbebitur.* Vides quemadmodum deus homines ad salutem variis modis perduxerit, at perfecta salus in Christo Iesu domino nostro contigit, contingetque perpetuo, perinde atque in evangelio scriptum est: *De plenitu-* Ioann. 1, 16.
dine eius nos omnes accepimus. Quaenam vero est illa plenitudo? *Lex,* inquit, *per Moysem data est: gratia et veritas per Iesum facta est.* Illic porro data est, hic facta. Quod si ex illa plenitudine derivata lex est, gratia et veritas Iesu tribuitur, tam vetus quam novum testamentum lege et gratia ac veritate continetur.

Quin et illud Manichaeus e scripturis arcessit: *Christus rede-* Cap. LXXX.
mit nos a maledicto legis, factus pro nobis maledictum. Dicat igitur Gal. 3, 13.
quibus nummis facta illa sit emptio, quodve pretium pro nobis repensum fuerit. Non enim dixit: *Emit,* sed, *Redemit.* Verum cum emptionem noverit, pretium tamen ignorat. Utrumque porro veritas ipsa confitetur. Plane quippe nos redemit, ac pro nobis factus maledictum, a legis nos maledicto pretio vindicavit. Ceterum quonam modo vindicaverit, statim ecclesiae magister subiicit: *Pretio,* 1.Cor.6,20.
inquit, *empti estis, pretioso sanguine agni immaculati et incontaminati Christi.* Quamobrem si sanguine redempti sumus, nequaquam inter redemptos, Manichaee, numerandus es, cum sanguinem abneges. Undenam vero nos redemit? dic sodes. An cum alieni iuris essemus acquisivit? Num vero ad inopiam et angustiam prior noster dominus redactus, ac pretio nostro indigens Christo nos vendidit? Igitur si Christo venditi sumus, non amplius in prioris mancipio sumus. Quod si possidere nos ille desiit, ditione sua deiectus est,

4. τιμῆς *libri scripti.* τιμῇ *editi.* 5. *Correxi* ἀρνεῖσαι, *cum libri haberent* ἀρνῆσαι, *quae forma iterum occurrit infra cap.* 83., *et haer.* 69, 9. *In margine exempli Schottiani annotatum est* ἀρνεῖ, *siglo M. addito.* 6. ἡμᾶς ὁ πρότερος οὐ κέκτηται, ἄρα *cod. Rhedig.*

ἐγένετο, καὶ ἐν τοῖς ἰδίοις τόποις οὐκ ἔχει ἐξουσίαν. Πῶς οὖν ἐνεργεῖται ἐν τοῖς υἱοῖς τῆς ἀπειθείας, κατὰ τὸ γεγραμμένον; Ἀλλ' οὔτε πῶς ἠγόρασεν, οὔτε πῶς ἠγοράσθημεν, οὔτε πῶς κατάρα ὑπὲρ ἡμῶν γέγονε, νοεῖ ὁ κατὰ πάντα μανεὶς, ἀνοίξας αὐτοῦ τὸ στόμα, καὶ μὴ δυνάμενος περὶ ὧν λέγει διαβεβαιοῦσθαι. Ἰδοὺ γὰρ αὐτοὺς ὁρῶμεν [7] λέγοντας ἐν τῇ παλιγγενεσίᾳ τῆς αὐτοῦ παρουσίας, καὶ κράζοντας,
pag. 700. Ἐν τῷ [8] σῷ ὀνόματι ἐφάγομεν, καὶ ἐν τῷ σῷ ὀνόματι δαιμόνια ἐξεβάλομεν. Καὶ ἐρεῖ πρὸς αὐτοὺς, Ἀπέλθετε ἀπ' ἐμοῦ κατηραμένοι, οὔπω ἔγνων ὑμᾶς. Πῶς οὖν αὐτὸν ὁμολογοῦσι, καὶ αὐτὸς αὐτοὺς καταρᾶται; Τί δὲ ἦν ἡ κατάρα τοῦ νόμου; ἀλλὰ κατάρα τοῦ νόμου σταυρὸς διὰ τὰς ἁμαρτίας. Ἐὰν γάρ τις καταληφθῇ ἐν παραπτώματι, ἔλεγεν ὁ νόμος, Καὶ κρεμάσητε αὐτὸν ἐπὶ ξύλου, οὐ μὴ δύνῃ ὁ ἥλιος ἐπ' αὐτῷ ἐπὶ τῷ θνησιμαίῳ αὐτοῦ, ἀλλὰ καθελόντες καθελεῖτέ τε αὐτὸν, καὶ θάψαντες θάψατε αὐτὸν πρὸ δύσεως τοῦ ἡλίου, ὅτι ἐπικατάρατος πᾶς ὁ κρεμάμενος ἐπὶ [9] τοῦ ξύλου. Ἐπεὶ οὖν διὰ τὴν σταύρωσιν ἡ κατάρα προςετέτακτο, ἐλθὼν δὲ αὐτὸς τὰς ἁμαρτίας ἡμῶν ἀνήνεγκεν ἐπὶ ξύλου, ὑπὲρ ἡμῶν ἑαυτὸν δεδωκὼς τὸ αἷμα αὐτοῦ ἡμᾶς ἠγόρασε, τὸ σῶμα αὐτοῦ ἡμῶν τὰς κατάρας ἔλυσε, τουτέστιν λύσας τὰς ἁμαρτίας διὰ τῆς τοῦ σταυροῦ μετανοίας, καὶ τῆς αὐτοῦ παρουσίας. Οὔτε οὖν ὁ νόμος κατάρα, μὴ γένοιτο, οὔτε τὸ εὐαγγέλιον ἔλαβε τὴν κατάραν, οὔτε ὁ κύριος, ἀλλὰ διὰ τῆς προφάσεως τοῦ αὐτοῦ θανάτου λέλυται ὁ θάνατος ὁ κατὰ τῆς ἁμαρτίας.

Κεφ. πα΄. Εἶτά φησιν ὅτι, Ὁ νόμος διακονία ἦν τοῦ θανάτου. Ἤδη περὶ τούτου πολλὰ εἴπομεν, ὅτι οὐκ αὐτὸς ἦν διάκονος θανάτου. Οὔτε γὰρ ἔλεγε φονεύειν, ἀλλ' ἐκέλευσε λέγων, Μὴ φονεύσῃς. Ἐπειδὴ δὲ ἐφόνευσε τὸν φονεύοντα, ἵνα ἀναιρεθῇ διὰ τοῦ ἑνὸς τοῦ φονευθέντος ἡ τοῦ φόνου ἐνέργεια, καὶ [1] δι' ἕνα φοβηθέντες πολλοὶ κατάσχωσι τὴν ἀδικίαν τοῦ μηκέτι φονεύειν, ἡ διακονία ἦν θανάτου, οὐχ ἵνα θάνατον διακονήσῃ, ἀλλ' ἵνα θάνατον τῷ φονευτῇ ἐργάσηται, ἵνα μηκέτι φονευταὶ πολλοὶ γίνωνται. Ἐλθὼν δὲ ὁ σωτὴρ, ἐπειδὴ λοιπὸν ἐσωφρόνισεν ὁ παιδαγωγὸς, τὸ πλεῖστον τοῦ χρόνου τὰ ἐντελέστερα μαθήματα δεικνὺς μετὰ τῆς συμφωνίας τοῦ νόμου, τοῦ, Μὴ φονεύσῃς, Μὴ κλέψῃς, Μὴ ψευδομαρτυρήσῃς, ἔφη ὅτι, Τῷ ῥαπίζοντί σε εἰς τὴν δεξιὰν σιαγόνα, στρέψον [2] αὐτῷ καὶ τὴν ἄλλην, ἵνα ζωῆς γένηται ἡ διακονία, ἀναιρουμένου παντάπασι τοῦ φόνου. Ὁ γὰρ τυπτόμενος τὴν σιαγόνα παροξυσμὸν οὐκ ἐργάζεται φόνου, ἀλλὰ λύει τὴν χεῖρα τοῦ φονευτοῦ, τῇ ταπεινοφροσύνῃ θωπεύων τὴν ἐν αὐτῷ κακίαν. Καὶ οὕτως πάντα συμφωνεῖ παλαιὰ καὶ καινὴ διαθήκη.

7. λέγοντας *non habet cod. Rhedig.*
8. σώματι ἐφάγομεν *cod. Rhedig.*
9. τοῦ *non habet cod. Rhedig.*

Cap. LXXXI. — 1. δι' ὃν *habent libri manu exarati et ed. princ.*

nec in propriis sedibus ius ullum obtinet. Quonam igitur modo *operatur in filiis inobedientiae*, sicut scriptum est? Sed nimirum neque quomodo nos Christus redemerit, redemptique ipsi fuerimus, neque quomodo maledictum pro nobis extiterit, furiosus ille Manichaeus intelligit; qui aperto ore multa effutiens quae dicit probare non potest. Ecce enim in secundo illius adventu ac restitutione mundi vociferantes illos videmus, *In nomine tuo comedimus, et in nomine tuo daemonia eiecimus*. Quibus ille respondit, *Discedite a me maledicti; nescio vos*. Cur cum eum confiteantur, ipse tamen illos execratur? Quid autem aliud maledictum legis est praeter crucem, quae propter peccata maledictum legis est facta? Etenim si quis in delicto deprehensus esset, de eo lex ista iubebat, *Suspendetis illum in ligno: non occidet sol super illo, et super cadavere eius, sed deponendo deponetis eum, et sepelientes sepelietis ante solis occasum, quoniam maledictus omnis qui pendet in ligno*. Itaque cum ob crucis supplicium constituta sit maledictio, Christus porro veniens in cruce peccata nostra sustulerit, ac semetipsum nostra caussa tradiderit, eius nos sanguis redemit, ipsiusque corpus execrationes nostras discussit, cum scilicet poenitentia crucis adventuque suo peccata nostra dissolvit. Quocirca neque lex maledictum fuit, nec evangelium maledictum suscepit, nec dominus ipse postremo, sed mortis illius beneficio adversus peccata constituta mortis est poena sublata.

Eph. 2, 2. Matth. 7, 22. et Luc. 13, 26. Matth. 25, 41. Deut. 21, 22.

Quod vero illud obiicit, *Lex ministratio mortis erat*, de eo plura antea diximus, idque ostendimus, nequaquam legem mortis administram fuisse. Non enim caedem praecipiebat, imo e contrario, *Non occides*. Verum quod homicidam interfici iubebat, ut unius hominis nece parricidia prohiberentur, et unius exemplo deterriti plerique improbitatem suam coërcerent, nec amplius caedem perpetrarent, ob id *ministerium mortis* esse dicitur, non quod mortis administra sit, sed quod parricidae mortem infligeret, ne plures eo se scelere amplius obstringerent. Postea vero salvator accedens, cum paedagogus homines castigasset, bonam temporis partem in tradendis perfectioribus documentis insumpsit, summopere cum hisce legis mandatis consentiens, *Non occides, Non furaberis, Non falsum testimonium dices*, ita ipse praecepit: *Si quis dextram tibi maxillam ceciderit, praebe illi et alteram*, ut parricidio penitus extincto vitae administratio succederet. Cuius enim maxilla percutitur, is ad caedem patrandam non provocat, sed intentas homicidae manus solvit, dum illius nequitiam sui ipsius abiectione demulcet. Atque hoc modo vetus ac novum testamentum sibi in omnibus consentanea sunt.

Cap. LXXXI. 2. Cor. 3, 7. Deut. 5, 17. Deut. 5, 17. Matth. 5, 39.

2. αὐτοῦ codd. mss. Fortasse αὐτοῦ, h. e. ϛαυτοῦ.

Κεφ. πβʹ. pag. 701. Εἶτα πάλιν ἐπιλαμβάνεται, ἵνα παρεισενέγκῃ δύο προσώπων ἀγωγὴν πρὸς σύστασιν τῆς παρ᾽ αὐτῷ λεγομένης δυάδος, τῶν τε δύο φύσεων, ἀρχῶν τε ἀνάρχων καὶ ῥιζῶν, ὧν ἤδη πρότερον εἰρήκαμεν, τὰ ὅμοια βουλόμενος λέγειν ἐπὶ διαιρέσει τῶν πραγμάτων, διαιρεῖν οὕτως τολμῶν οὐκ αἰδεῖται λέγων ὅτι ἡ παλαιὰ εἶπεν, Ἐμὸν τὸ χρυσίον, καὶ ἐμὸν τὸ ἀργύριον, ἡ δὲ καινὴ διαθήκη λέγει, Μακάριοι οἱ πτωχοὶ πνεύματι, ὅτι αὐτῶν ἐστιν ἡ βασιλεία τῶν οὐρανῶν. [1] Ἀλλ᾽ οὐκ οἶδεν ὅτι καὶ ἡ παλαιὰ πάλιν λέγει, Πλούσιος καὶ πένης συνήντησαν ἀλλήλοις, ὁ δὲ κύριος τοὺς ἀμφοτέρους ἐποίησε. Καὶ ἡ καινὴ διαθήκη τὸ αὐτὸ συμφωνεῖ, μακαρίζουσα μὲν τοὺς πτωχοὺς [2] φύσει πτωχοὺς, ἄλλοτε [3] δὲ τοὺς πτωχοὺς τῷ πνεύματι, ἵνα τὰ ἀμφότερα ἐξισχύσῃ· ἵνα καὶ καυχώμενοι οἱ περὶ Πέτρον δείξωσι τὴν ἀληθινὴν πτωχείαν, ὅτι, Ἀργύριον καὶ χρυσίον οὐχ ὑπάρχει μοι, ὃ δὲ ἔχω, τοῦτό σοι δίδωμι· ἐν τῷ ὀνόματι Ἰησοῦ Χριστοῦ ἀνάστα, καὶ περιπάτει. Ἵνα φύσει τὸν μακαρισμὸν τῶν πτωχῶν σημάνῃ μὴ ἀντίθετον ὑπάρχοντα πρὸς τὸν μακαρισμὸν τῶν πτωχῶν κατὰ πνεῦμα, οἵτινες μὲν εἰσι κεκτημένοι τινὰ μετὰ δικαιοσύνης, πτωχοὶ δέ εἰσι ταπεινοφρονοῦντες· περὶ ὧν ἔλεγεν, Ἐπείνασα, καὶ ἐδώκατέ μοι φαγεῖν, ἐδίψησα, καὶ ἐποτίσατέ με, καὶ τὰ ἑξῆς. Εἶτα φράζει λέγων ὅτι, Οὗτοι ἐποίησαν ἐκ τῶν ὑπαρχόντων αὐτοῖς. Καὶ θεωρεῖς ἓν καὶ τὸ αὐτὸ πνεῦμα ἐν παλαιᾷ πτωχὸν [4] δεικνύον καὶ πλούσιον, ἅμα καὶ ἐν καινῇ διαθήκῃ; τὸ αὐτὸ ὡς καὶ ὁ σωτὴρ ἐπαινεῖ τὰ ἀμφότερα. Προσέχων γὰρ τῷ γαζοφυλακίῳ [5] ἴδε τοὺς βάλλοντας εἰς τὸν κορβωνᾶν, καὶ οὐκ ἀπηγόρευσε πλουσίων τὰ [6] δόματα, ἐπῄνεσε δὲ καὶ τὴν τὰ δύο λεπτὰ βεβληκυῖαν χήραν, διὰ τὴν προειρημένην πτωχείαν, ἵνα πληρωθῇ τὸ γεγραμμένον, Πλούσιος καὶ πένης συνήντησαν ἀλλήλοις, ὁ δὲ κύριος τοὺς ἀμφοτέρους ἐποίησε. Καὶ ὅτι μὲν ταῦτα οὕτως ἔχει, καὶ ὅτι τὸ αὐτό ἐστι πνεῦμα παλαιᾶς τε καὶ καινῆς διαθήκης, ὅρα τὸν ἀπόστολον λέγοντα περὶ ἀρχαίων προφητῶν, Ἐπιλείψει μοι ὁ χρόνος διηγουμένῳ περὶ Γεδεὼν, Βαρὰκ, Σαμψὼν, [7] Ἰεφθάε, Δαβὶδ, καὶ λοιπῶν προφητῶν, οἵτινες περιῆλθον ἐν μηλωταῖς, ἐν αἰγείοις δέρμασι [8] κακουχούμενοι, στενοχωρούμενοι, θλιβόμενοι, ὧν οὐκ ἦν ἄξιος ὁ pag. 702. κόσμος. Εὑρήκαμεν γὰρ [9] καὶ Ἡσαΐαν ἐνδεδυμένον σάκκον, καὶ Ἠλίαν ὡσαύτως. Καὶ ὁρᾷς πῶς μακαρίζονται ἐν παλαιᾷ καὶ καινῇ διαθήκῃ οἱ πτωχοὶ δι᾽ εὐσέβειαν, καὶ μακαρίζονται πλούσιοι διὰ δικαιοσύνην.

Κεφ. πγʹ. Εἶτα πάλιν λέγει ὁ αὐτὸς Μάνης, Ἡ παλαιὰ διαθήκη, φησὶ,

Cap. LXXXII. — 1. ἀλλ᾽ codd. mss. ἀλλὰ editi.
2. Verba φύσει πτωχοὺς desiderantur in ed. Petav. Colon. repet.
3. δὲ particulam, quae abest ab editis, restitui ex codd. mss.
4. δεικνύων codd. mss. et ed. princ.
5. εἶδε legisse videntur Cornarius atque

Praeter haec vero, ut duas personas introducat, ac suum illum naturarum et principiorum origine carentium ac radicum binarium affirmet, idemque in rebus ipsis divortium constituat; haec enim, ut antea diximus, separare contendit; ut hoc igitur comprobet, obiicere illud non veretur. Vetus, inquit, testamentum ita loquitur, *Meum est aurum, meum est argentum:* novum contra, *Beati pauperes spiritu, quoniam ipsorum est regnum coelorum.* Nec illud videt, etiam in vetere illud esse dictum, *Dives et pauper occurrerunt invicem; dominus autem ambos fecit.* Cui et novum testamentum astipulatur, in quo nonnunquam qui reipsa pauperes sunt felices praedicantur, alias qui spiritu pauperes sunt, quo nimirum utrique vis sua constaret. Atque ut Petrus cum sodalibus suis veram bonorum inopiam praedicare gloriando posset, *Argentum*, inquit, *et aurum non est mihi, quod autem habeo hoc tibi do: in nomine Iesu Christi surge, et ambula.* Ut quod egentes ac pauperes beati esse dicuntur, cum eo non repugnet, quod eadem illa spiritu pauperibus beatitas tribuitur, qui cum nonnulla iure possideant, pauperes nihilominus animi moderatione et humilitate dicuntur; de quibus haec accipienda sunt: *Esurivi et dedistis mihi manducare: sitivi, et potum mihi dedistis.* Tum illud adiicit, ex his quae sibi suppetebant illos fecisse. Vides, ut in vetere ac novo testamento unus idemque spiritus pauperem divitemque designet, atque ut ambo a salvatore commendentur? Cum enim in gazophylacium intenderet, animadvertit eos qui stipem in gazophylacium immitterent, nec divitum munera prohibuit, sed et viduam illam collaudavit, quae minuta duo iecerat, ob illam quam diximus paupertatem, et ut impleretur quod scriptum est, *Dives et pauper occurrerunt invicem, dominus autem ambos fecit.* Atque ut intelligas eundem esse veteris ac novi testamenti spiritum, vide quid apostolus de veteribus prophetis scripserit: *Deficiet me tempus*, inquit, *narrantem de Gedeon, Barac, Samson, Iephte, David, ac ceteris prophetis, qui circuierunt in melotis, in pellibus caprinis, afflicti, angustiati, vexati, quibus dignus non erat mundus.* Siquidem et Isaiam, et Eliam cilicium induisse legimus. Animadvertis denique uti tam in vetere quam in novo testamento et pauperes pietatis ac religionis, et divites iustitiae nomine beati esse dicantur.

Cap. LXXXII. Agg. 2, 9. Matth. 5, 3. Prov. 22, 2. Act. 3, 6. Matth. 25, 35. Marc. 12, 41. Hebr. 11, 32.

Rursum vero Manichaeus instat, et obiicit vetus testamentum Cap. LXXXIII.

Petavius, quorum hic animadvertit, *ille* vidit *interpretatus est. At nihil obstat quominus retineamus imperativum.*
6. δόγματα *cod. Rhedig.*
7. *Ita uterque codd. mss. Editi habent* Ἰεφθάε.
8. κακοχούμενοι *cod. ms. uterque et ed. princ.*
9. καὶ *desideratur in ed. Petav. Colon. repet.*

κελεύει σαββατίζειν, καὶ εἴ τις οὐκ ἐσαββάτισε, λίθοις κατελιθοβολεῖτο, ὡς καὶ φορτίον ξύλων τις συλλέξας παρεδόθη· ἡ δὲ καινὴ διαθήκη, τουτέστιν ὁ κύριος ἐν τῷ εὐαγγελίῳ ἔφη ὅτι, Ἐγὼ ἐργάζομαι, καὶ ὁ πατήρ μου ἐργάζεται· καὶ ἐν τῷ σαββάτῳ ἔτιλλον στάχυας οἱ μαθηταὶ, καὶ ἐν τῷ σαββάτῳ ἐθεράπευσε. Καὶ οὐ μόνον τοῦτο, ἀλλὰ καὶ, Ἆρον τὸν κράββατόν σου, καὶ ὕπαγε εἰς τὸν οἶκόν σου, ἔλεγε. Καὶ ὢ πολλῆς ἀγνωσίας. Οὐδὲν γὰρ χειρότερον τῆς ἀπειρίας· πολλοὺς γὰρ ἐτύφλωσεν ἡ ἀγνωσία. Πότε γὰρ τὸ σάββατον ἐπὶ ἀγαθῇ προφάσει οὐ λέλυται; πότε δὲ οὐκ ἐδεσμεύθη ἀπὸ πονηρίας, οὐ μόνον τὸ σάββατον, ἀλλὰ πᾶσα ἡμέρα; Ἰησοῦς γὰρ ὁ τοῦ Ναυῆ, ὁ διάδοχος Μωϋσέως, ὁ ἐν προφήταις κατηριθμημένος, ὁ ἐκλεκτὸς παρὰ θεῷ, ὁ δι' εὐχῆς κατασχὼν τὸν ἥλιον καὶ τὴν σελήνην, ὡς ἔφη, Στήτω ὁ ἥλιος κατὰ Γαβαὼν, καὶ ἡ σελήνη κατὰ φάραγγα Ἰάλω, εὐθὺς εὑρίσκεται τὸ σάββατον λύων ἐπὶ ἀγαθοεργίᾳ. Ἐπὶ ἑπτὰ ἡμέρας γὰρ κυκλοῖ τὰ τείχη Ἱεριχὼ ὁ Ἰησοῦς· ὅτι οὐκ ἐξῆν βαδίζειν ἐν σάββασιν ὑπὲρ τὸ μέτρον τῶν ἓξ σταδίων τῶν ὡρισμένων. Τὸ δὲ περίμετρον τῆς Ἱεριχὼ ὑπὲρ σταδίους εἴκοσι τυγχάνει. Ἐπὶ ἑπτὰ δὲ ἡμέρας κυκλωσάντων αὐτῶν, πάντως ὅτι ὑπέπιπτε τὸ σάββατον ἐν μιᾷ τῶν ἡμερῶν. Ἦν δὲ τοῦτο πρόσταγμα θεοῦ, ἵνα δείξῃ αὐτοῦ τὸ θέλημα τῆς θαυματουργίας. Οὔτε γὰρ μηχαναὶ, οὔτε μάγγανα ἦν, οὐ κριοὶ, [1] οὐθ' ἑλεπόλεις, ἀλλὰ μόνῃ φωνῇ σάλπιγγος κερατίνης καὶ εὐχῇ δικαίου ἐκλίθησαν καταπεσόντα τὰ τείχη τῶν ὑπεναντίων. Ἔδει γὰρ αὐτοὺς τιμωρηθῆναι, ἐπειδὴ ἐπληρώθησαν αἱ ἁμαρτίαι τῶν Ἀμορραίων.

Κεφ. πδ'. Δικαστὴς γὰρ ἦν ὁ νόμος κατὰ τῆς ἀδικίας, καὶ ἑκάστῳ [1] ἀπεδίδου κατὰ τὰ ἴδια ἔργα, καὶ ἐπειδὴ ἐν ἁμαρτίαις ἐτύγχανον οἱ Ἀμορραῖοι, ἐν παραβάσει γεγονότες καὶ ἀρνησάμενοι τὸν ὅρκον ὃν ὤμοσαν, ὡς καὶ ἤδη ἀλλή πού μοι εἴρηται· οὐδὲν δὲ λυπήσει καὶ ἐνταῦθα τὰ αὐτὰ παραθέσθαι. Ταῦτα γάρ ἐστι τὰ πρόχειρα τῆς τοῦ Μάνη pag. 703. δεινότητος, ὅτι, Καλὸς ὁ θεὸς τοῦ νόμου, ὃς ἐσκύλευσε μὲν τοὺς Αἰγυπτίους, ἐξέβαλε δὲ Ἀμορραίους καὶ Γεργεσαίους, καὶ τὰ ἄλλα ἔθνη, καὶ ἔδωκε τὴν γῆν αὐτῶν τοῖς υἱοῖς Ἰσραήλ· ὁ λέγων, Μὴ ἐπιθυμήσῃς, πῶς ἔδωκεν αὐτοῖς τὰ ἀλλότρια; Καὶ οὐκ οἶδεν ὁ ἰδιώτης ὅτι τὴν ἰδίαν γῆν ἀπείληφαν διηρπασμένην ἀπ' αὐτῶν, καὶ [2] ἐξεδικήθη τὰ μεταξὺ ἀλλήλων γινόμενα ἐν ὅρῳ ἀληθείας καὶ ὅρκῳ. Νῶε γὰρ σωθεὶς ἀπὸ τοῦ κατακλυσμοῦ, καὶ ἡ αὐτοῦ σύμβιος σὺν τοῖς τρισὶν υἱοῖς αὐτοῦ καὶ τρισὶ νύμφαις, μόνος διαιρῶν τὸν πάντα κόσμον

Cap. LXXXIII. — 1. οὐθ' ἑλεπόλεις cod. *Rhedig.* οὐχ ἑλεπόλεις *cod. Ien. et edili. In seqq. corrigendum duxi* ἀλλὰ μόνῃ φωνῇ σάλπιγγος καὶ εὐχῇ δ. ἐκλίθησαν. *Vulgo enim extat* ἀλλὰ μόνη φωνὴ σ., κ. εὐχὴ δ., ἐκλ.

sabbatum observari iubere. Quod si quis non fecisset, lapidibus obruebatur; quo supplicio ille est affectus qui lignorum fasciculum collegerat. Contra in novo testamento, sive evangelio, dominus ait, *Ego operor, et pater meus operatur;* atque etiam, *Sabbato spicas vulsere discipuli.* Eodem sabbato non solum aegros curavit, sed et illud praecepit: *Tolle grabatum tuum, et vade in domum tuam.* O incredibilem inscitiam! Nihil enim imperitia deterius est, quae plurimos occaecavit. Quo enim tempore sabbatum non licuit honesta de caussa dissolvere? Quo vero tempore, quod ac scelus ac nequitiam attinet, non est religione constrictum, non modo sabbatum, sed et quaelibet dies? Iesus illae Navae filius Moysis successor, qui inter prophetas numeratur, qui a deo dilectus est, qui solis ac lunae cursum oratione sua moratus est, cum ita precaretur: *Stet sol ad Gabaon, et luna ad convallem Ialo,* hic igitur sabbatum boni operis exercendi caussa solvisse legitur, cum septem totos dies Hierichuntis moenia circumiit. Non enim sabbatis licebat ultra praescriptum sex stadiorum modum ambulando pergere. At Hierichuntis ambitus viginti stadiis amplior est. Quare cum septem diebus urbem circumirent, necesse est in aliquam ex diebus illis incurrisse sabbatum. Sed hoc dei mandato factum est ut quae prodigia ac miracula moliri decreverat ostenderet. Nullae tum illic machinae, nulli arietes, nulla subruendis moenibus instrumenta, sed sola tubae corneae voce, ac viri iusti precibus diruta hostium moenia conciderunt. Quos quidem hostes luere supplicium oportebat, quandoquidem *Amorrhaeorum peccata impleta fuerant.*

Num. 15, 32. Ioann. 5, 17. Luc. 6, 1. Ioann. 5, 8. Ios. 10, 12. Gen. 15, 16.

Cap. LXXXIV.

Lex enim adversus scelera iudicis vices obibat, et unicuique pro suorum operum merito rependebat. Amorrhaei porro sese peccatis obstrinxerant, ac iura violarant, quod contra iurisiurandi fidem egerant. De quo cum alio loco dixerimus, iuvat tamen eadem hoc loco proponere. Eiusmodi quippe sunt quae in promptu Manichaei calliditas habet. Praeclarum vero, inquit, legis deum, qui et Aegyptiorum opes praedatus est, et Amorrhaeis, Gergezaeis ac reliquis gentibus eiectis, agros illarum Israëlitis attribuit. Qui hoc mandatum dedit, *Non concupisces,* quomodo illis aliena largitus est? Adeo vero rudis est ut istud non videat, Israëlitas terram suam recuperasse, quam illi per vim eripuerant, eaque capta, quae inter illos convenerant, quaeque sincere et interposito iureiurando sancita fuerant esse vindicata. Etenim Noë a diluvio cum uxore tribusque filiis, ac totidem nuribus servatus orbem terrarum universum solus

Exod. 20.

Cap. LXXXIV. — 1. ἐδίδου *cod. Rhedig.*
2. ἐξεδικήθησαν *cod. Rhedig.*

τοῖς τρισὶν υἱοῖς αὐτοῦ, τῷ Σὴμ καὶ Χὰμ καὶ Ἰάφεθ διεῖλε, βαλὼν τοὺς κλήρους ἐν Ῥινοκορούροις, ὡς καὶ ἡ ἀκολουθία ἔχει, καὶ οὐδὲν κενόφωνον, οὐδὲ παραπεποιημένον. Ῥινοκόρουρα γὰρ ἑρμηνεύεται Νεὲλ· καὶ οὕτω φύσει οἱ ἐπιχώριοι αὐτὴν καλοῦσιν, ἀπὸ δὲ τῆς Ἑβραΐδος ἑρμηνεύεται κλῆροι, ἐπειδήπερ ὁ Νῶε ἐκεῖ ἔβαλε τοὺς κλήρους τοῖς τρισὶν υἱοῖς αὐτοῦ. Καὶ ὑπέπεσεν ὁ κλῆρος ἀπὸ Ῥινοκορούρων ἄχρι Γαδείρων, Αἴγυπτον ἔχων, καὶ [3] Μαρειανδίνην, καὶ Ἀμμῶνα, Λιβύην τε καὶ Μαρμαρίδα, Πεντάπολιν, [4] Μακάτην, [5] Μακρόνην τε καὶ [6] Λεπτημάγνην, Σύρτιν, Μαυριτανίαν ἄχρι τῶν Ἡρακλεωτικῶν [7] Στηλῶν λεγομένων καὶ τῆς ἔσω Γαδείρης, ταῦτα τὰ πρὸς νότον· ἀπὸ δὲ Ῥινοκορούρων τὰ πρὸς ἀνατολήν, τήν τε Ἰδουμαίαν καὶ [8] Μαδιανῖτιν, τήν τε [9] Ἀλαβαστρῖτιν, καὶ [10] Ὁμηρῖτιν, καὶ [11] Ἀξωμῖτιν, καὶ [12] Βούγεαν, καὶ Λίβαν, ἄχρι τῆς τῶν Βάκτρων χώρας. Ὁ δὲ αὐτὸς κλῆρος διορίζει ἀναμέσον τοῦ Σὴμ τὰ πρὸς ἀνατολήν. Τῷ δὲ Σὴμ ὑπέπεσεν ὁ κλῆρος πρὸς πλάτος, ἡ Παλαιστίνη, καὶ Φοινίκη, καὶ Κοίλη, Κομμαγήνη, Κιλικία, Καππαδοκία, Γαλατία, Παφλαγονία, Θρᾴκη, Εὐρώπη, Ῥοδόπη, Λαζία, Ἰβηρία, Κασπία, [13] Καρδυέα, ἄχρι τῆς Μηδίας πρὸς Βορρᾶν, ἐντεῦθεν οὗτος ὁ κλῆρος διορίζει τὸν Ἰάφεθ τὰ πρὸς Βορρᾶν. Πρὸς δὲ τὴν δύσιν ἀπὸ τῆς Εὐρώπης ἄχρι τῆς Ἱσπανίας καὶ [14] Βριττανίας, ἐκεῖθέν τε τὰ παρακείμενα ἔθνη, [15] Ἔητες, καὶ Δαύνεις, Ἰάπυγες, [16] Κάλαβροι, Λατῖνοι, [17] Ὀππικοὶ, [18] Μάγαρδες, ἕως [19] διακατοχῆς τῆς [20] Σπανίας, καὶ τῆς Γάλλας, τῆς τε τῶν [21] Σκόττων καὶ Φράγγων ἄνω χώρας.

Κεφ. πέ'. pag. 704. Ὅτε οὖν οὕτως διῃρέθησαν οἱ κλῆροι, συγκαλεσάμενος Νῶε τοὺς τρεῖς υἱοὺς, ὥρισεν [1] αὐτοῖς ὅρκῳ, ἵνα μηδεὶς ἐπιβῇ τῷ κλήρῳ τοῦ ἀδελφοῦ αὐτοῦ, καὶ πλεονεκτήσῃ τὸν ἀδελφὸν αὐτοῦ. Χαναὰν δὲ πλεονέκτης ὢν ὁ υἱὸς τοῦ Χὰμ ἐπῆλθε τῇ [2] Παλαιστηνῶν γῇ, καὶ κατέσχεν αὐτὴν, καὶ ἐπεκλήθη ἡ γῆ Χαναὰν, διότι ἐν αὐτῇ κατῴκησε, καταλείψας τὸν ἴδιον κλῆρον διὰ τὸ δοκεῖν εἶναι καυματινόν. Καὶ

3. μαρειανδίνην *cod. ms. uterque et ed. princ.* Μαρειανδύνην *ed. Petav. Corrige* Μαρείαν λίμνην.

4. *In Ancorato cap.* 115. *appellantur* Μαγάρδαι, *corrupta haud dubie scriptura. Significat enim utroque loco quos Herodotus IV,* 175. *aliique appellant* Μάκας, *Ptolemaeus* Μακατούτας.

5. Μάχορες *fortasse Chronici Pasch. p.* 32. *In Ancor. l. l. enumerantur* Μακεδόνες, Κράκονες (*cod. Paris.* Κρώκονες), Συρτῖται. *Quorum quidem nominum utrum qui illic* Κράκονες, *an qui* Μακεδόνες *appellantur iidem sint qui hic sub* Macrone *nomine latent, dicere non ausim.*

6. *Ita uterque cod. ms., non* Λεπτημάννην, *ut habent editi. Ancoratus habet* Λεπτῖται Μαγνῆται. *Scribendum fortasse* Λέπτιν (*vel* Λέπτην) Μάγνην.

7. στυλῶν *cod. Rhedig.*

8. μαδιανίτιν *cod. ms. uterque et ed. princ.*

9. ἀλαβαστράτιν *codd. mss.* ἀλαβαστράτην *ed. princ.* ἀλαβαστρίτην *ed. Petav.*

10. Ὁμηρίτην *codd. mss.* ὁμηρίτιν *ed. princ.*

11. Ἀξωμίτιν *codd. mss.* ἀξωνίτιν *ed. princ.* Αὐξομῖται *habet Ancoratus.*

12. *Fortasse* Βουδαίαν *vel* Βουδίαν. *Nam* Βουδίους *Armeniae populum com-*

in tres liberos, Sem, Cham, et Iaphet partitus est, iactis apud Rhinocorurorum oppidum sortibus, uti consentanea fama vulgatum est, cui nihil vanum subest, aut temere confictum. Nam Rhinocorura Neel interpretari possis, itaque ab incolis appellatur, Hebraicum autem vocabulum sortes significat, quoniam Noëmus tribus illic filiis sortes suas assignavit, ex quibus exiit una, quae totum illum terrarum tractum complexa est, qui Rhinocoruris ad Gades extenditur, continetque Aegyptum, Mariandynen, Ammonem, Libyam, Marmaricam, Pentapolim, Macatam, Macronen, Leptemanen, Syrtes, Mauritaniam ad usque columnas Herculis, interioremque Gadiram. Hae sunt regiones ad meridiem porrectae. Ad orientem vero ab eodem Rhinocorurorum oppido Idumaeam, Madianitidem, Alabastritidem, Homeritem, Axomitem, Bugaeam et Lybam, usque ad Bactrianos fines eadem illa sors ad orientem ac attributis Semo regionibus dividit. Cui quidem Semo altera sors in latitudinem porrecta contigit, eaque Palaestinam complectitur, et Phoenicem, et Coelen Syriam, Commagenam, Ciliciam, Cappadociam, Galatiam, Paphlagoniam, Thraciam, Europam, Rhodopen, Lasiam, Iberiam, Caspiam, Cardyaeam, Mediam usque ad Septentriones, ubi Iaphet regionem excludit. Ad occidentem vero ab Europa usque ad Hispaniam et Britanniam, ac finitimas illic nationes. Quo in tractu Veneti sunt, et Daunii, Iapyges, Calabri, Latini, Opici, Magardes usque ad Hispaniam et Galliam, et Scotorum ac Francorum superiorem regionem.

Distributis hunc in modum sortibus Noëmus, convocatis tribus Cap. LXXXV. filiis sacramentum illos adegit, ne quis in fratris sui sortem invaderet, eumque iniuria circumveniret. At Chanaam filius Cham alienarum rerum cupidus Palaestinam occupavit, quae ob id terra Chanaan appellata est, quod relicta regione sua, quae ob aestum minus commoda videbatur, illic habitarit. Ergo in Semi possessione do-

memorat Steph. Byz. Libam Syriae urbem Polyb. V, 51.

13. *Cf. supra haer.* 1, 4. *Significat* Γορδυαίους *Strabonis, quos Iosephus Ant. I*, 4. *et Philostorg.* 3, 7. Κορδυαίους, *alii* Γορδυηνούς (Corduenos *Plin. VI*, 15.) *et* Καρδούχους.

14. *Ita cod. Ien. Cod. Rhedig. et editi habent* Βριτανίας.

15. *Fortasse* Ἕλληνες. *In Ancorato enumerantur* Οὐέννοι, Δαυνεῖς, Ἰάπυγες. *Petav. suspicatus est* Ἐνετοί (*i. e.* Οὐένετοι).

16. *Sic correxi ex Ancorato pro* καὶ Λάβροι, *quod vulgo extat. Cod. Rhedig. habet* καὶ λαῦροι. *Petav. volebat* Κάλαυροι.

17. Ἱππικοὶ *habet Ancor.* ὀπτικοὶ *est in Panar. libris.*

18. *Fortasse* Δαλματεῖς, *vel* Μόργητες.

19. διὰ κατοχῆς *ed. princ.*

20. ἱσπανίας *cod. Rhedig.*

21. *Libri habent* Σκόπτων.

Cap. LXXXV. — 1. αὐτοῖς *codd. mss.*, αὐτῶν *editi.*

2. *In Ancorato p.* 118. *in loco gemello legitur* Παλαιστίνων, *at in inscriptione Epist. ad Epiphanium, quae praefixa est Panariis, vulgo* Παλαιστηνόν, *contra in Ancor. cap.* 115. Παλαιστινόν.

καθίσας ἐν τῇ γῇ τοῦ Σὴμ, τῇ νῦν καλουμένῃ Ἰουδαίᾳ ἐγέννησε τοὺς υἱοὺς τούτους τόν τε Ἀμορραῖον, καὶ Γεργεσαῖον, καὶ Φερεζαῖον, καὶ Ἰεβουσαῖον, καὶ Εὐαῖον, καὶ Ἀρουκαῖον, καὶ Χετταῖον, καὶ Ἀσεναῖον, καὶ Σαμαραῖον, καὶ Σιδώνιον, καὶ [3] Φιλισταῖον. Διὰ τοῦτο καὶ ὁ κύριος λέγει ἐν τῷ νόμῳ, δεικνὺς ὅτι αἱ ἁμαρτίαι αὐτῶν ἐν τῷ ὅρκῳ ἐπληροῦντο, ὡς λέγει, Οὔπω ἐπληρώθησαν αἱ ἁμαρτίαι τῶν Ἀμορραίων. Διὰ τοῦτο παρέμειναν ἐν τῷ ὄρει χρονοτριβούμενοι ἐν τῇ ἐρήμῳ, ἕως ἂν αὐτοκατακρίτους ἑαυτοὺς ποιήσωσι, καὶ ἐπέλθωσι πρὸς πόλεμον τοῖς υἱοῖς τοῦ Σὴμ τοῖς ἠδικημένοις. Σὴμ [4] γὰρ γεννᾷ τὸν [5] Ἀρφαξὰδ, Ἀρφαξὰδ τὸν [6] Κηννᾶ, Κηννᾶ τὸν Σαλᾶ, Σαλᾶ τὸν Ἔβερ, Ἔβερ τὸν Φαλὲκ, Φαλὲκ τὸν [7] Ῥαγὰβ, Ῥαγὰβ τὸν Σεροὺχ, Σεροὺχ τὸν Ναχὼρ, Ναχὼρ τὸν Θάρρα, Θάρρα τὸν Ἀβραὰμ, Ἀβραὰμ τὸν Ἰσαὰκ, Ἰσαὰκ τὸν Ἰακὼβ, Ἰακὼβ τὸν Ἰούδα, Ἰούδα τὸν [8] Φάρες, Φάρες τὸν [9] Ἐσρὼμ, Ἐσρὼμ τὸν Ἀρὰμ, Ἀρὰμ τὸν [10] Ἀμιναδὰβ, Ἀμιναδὰβ τὸν Νασσών. Ἐν χρόνοις Νασσὼν τοῦ φυλάρχου τοῦ Ἰούδα, καὶ ἐν χρόνοις Ἰησοῦ τοῦ Ναυῆ, ἔλαβον οἱ υἱοὶ τοῦ Σὴμ τὴν ἰδίαν γῆν, μηδεμίας ἀδικίας ἐν μέσῳ ὑπαρχούσης, ἀλλὰ δικαιοκρισίας. Ἔπεσεν οὖν τὰ τείχη Ἱεριχὼ αὐτόματα. Ἡ γὰρ δικαιοσύνη ἐκδικεῖ τὴν ἀδικίαν. Ἐν ἑπτὰ ἡμέραις περιεκύκλουν τὰ τείχη, καὶ [11] ἐλύετο τὸ σάββατον, ἵνα πληρωθῇ ἡ δικαιοσύνη.

Κεφ. πς'. Οὐ μόνον δὲ τοῦτο, ἀλλὰ ἑπτὰ λύχνους ἔσχεν ἡ λυχνία τοῦ ἁγιάσματος ἐν τῇ σκηνῇ τοῦ μαρτυρίου, καὶ καθ' ἑκάστην ἡμέραν οἱ ἑπτὰ λύχνοι ἥπτοντο ἴσως, καὶ οὐδ' ὅλως ἐν μιᾷ ἡμέρᾳ ἤργει εἷς αὐτῶν, ἀλλὰ καθ' ἑκάστην ἡμέραν τὸ αὐτὸ φῶς ἦν. Οὐ γέγονε γὰρ τὸ σάββατον εἰς ἀπόκλεισιν, ἀλλὰ εἰς ἔργον ἀγαθόν. Μηδενὸς δὲ ὅλως ἐργαζομένου ἐν ταῖς δώδεκα φυλαῖς, μόνον τὸ θυσιαστήριον οὐκ ἤργει,
pag. 705. καθὼς λέγει ὁ κύριος ἐν τῷ εὐαγγελίῳ, Οἱ ἱερεῖς ὑμῶν βεβηλοῦσι τὸ σάββατον ἐν τῷ ναῷ, καί εἰσιν ἀναίτιοι. Τὸ δὲ Βεβηλοῦσι τὸ σάββατον, τουτέστι Λύουσι. Λύουσι δὲ πῶς, ἀλλ' ἢ [1] θυσίας προσφέροντες τῷ θεῷ, ἵνα μὴ ἀργήσῃ τὸ θυσιαστήριον; οὐ μόνον δὲ τοῦτο, ἀλλὰ καὶ ἥλιος ἀνατέλλει καὶ δύνει, καὶ σελήνη αὔξει καὶ φθίνει, καὶ ἄνεμοι πνέουσι, καὶ καρποὶ βλαστάνουσι, καὶ μητέρες γεννῶσι, καὶ πάντα γίνεται ἐν σαββάτῳ. Διὰ τοῦτο καὶ ὁ κύριος ἐλθὼν οὐκ ἐτεκτόνευσεν ἐν σαββάτῳ, οὐκ ἐχάλκευσεν, οὔ τι ἕτερον, ἀλλὰ θεὸς ὢν θεοῦ ἔργον εἰργάσατο, καί φησι, Ἆρον τὸν [2] κράββατόν σου, καὶ περιπάτει· ἵνα ἀπὸ τοῦ βαστάζοντος φανῇ τὸ ἔργον τὸ γινόμενον, ἵνα πάντες ἐπιγνώσονται τὸν ἀπ' οὐρανοῦ ἐλθόντα πρὸς βοήθειαν υἱοῖς τῶν ἀν-

3. φυλιστιαῖον *legitur in utroque cod. ms.*
4. δὲ *cod. Rhedig.*
5. ἀρφαξᾶδ ἀρφαξᾶδ *cod. Rhedig.*
6. Κινᾶ, Κινᾶ *legitur in Ancorato.*
7. *Repone* Ῥαγαῦ, Ῥαγαῦ. *Cf. pag.* 7.
8. *Scribe* Φαρὲς, Φαρὲς, *ut habet cod. Rhedig., et est scriptum supra pag.* 10., *et in Ancorato.* Φάρες, Φάρες *habet cod. Ien.*

micilium collocans, quae hodie Iudaea dicitur, filios istos genuit, Amorrhaeum, Gergaeseum, Pherezaeum, Iebusaeum, Evaeum, Arrucaeum, Chettaeum, Asenaeum, Samaraeum, Sidonium, et Philistaeum. Quam ob caussam dominus in lege veteri, ut ostenderet in iure iurando illorum impleri peccata, *Nondum,* inquit, *impleta* Gen. 15, 16.
sunt Amorrhaeorum peccata. Ob id in monte diutius haeserunt, ac moras in solitudine traxerunt, donec ultro seipsos illi condemnarent, ac filiis Sem, quos iniuria pridem affecerant, bellum etiam inferrent. Quippe Sem genuit Arphaxad, Arphaxad Cainam, Cainas Salam, Salas Heber, Heber Phalec, Phalec Rhagau, Rhagau Seruch, Seruch Nachor, Nachor Thare, Thare Abraam, Abraam Isaac, Isaac Iacob, Iacob Iudam, Iudas Phares, Phares Esrom, Esrom Amram, Amram Aminadab, Aminadab Naasson. Ceterum Naasson Iudae tribus principis et Iesu Nave filii tempore filii Sem regionem suam non modo nulla cuiusquam iniuria, sed iustissimo etiam dei iudicio receperunt. Igitur Hierichuntis moenia sponte sua collapsa sunt; iustitia enim poenas de iniustitia repetit. Proinde septem diebus muros ambierunt, in quos sabbatum incidit, quo plena esset, cumulataque iustitia.

Nec illud modo sabbato contigit. Sed cum sanctuarii candela- Cap. LXXXVI.
brum in tabernaculo testimonii septem lucernas haberet, omnes illae Exod. 25.
quotidie pariter accendebantur, nec ullo die cessabat earum aliqua, sed eadem lux singulis diebus ardebat. Etenim sabbatum non ad intercludendum, sed ad praestandum bonum opus est constitutum. Cumque nemo penitus in duodecim tribubus operatus esset, solum altare nunquam feriabatur, ut in evangelio testatur dominus: *Sa-* Matth. 12, 5.
cerdotes vestri violant in templo sabbatum, ac sine culpa sunt. Prophanare vero idem est ac solvere. Quomodo vero solvere dicuntur nisi quod deo sacrificium offerunt, ne altare sit otiosum? Sed ut ista praeteream, eodem in sabbato sol oritur et occidit, luna augescit, ac minuitur, ventorum flatus ingruunt, fructus pullulant, matres pariunt, ceteraque fiunt omnia. Ideo veniens ipse dominus non fabrilem in sabbato artem, non aerariam, aut aliam id genus exercuit, sed utpote deus divinum opus molitus est. *Tolle,* inquit, *gra-* Marc. 2, 5.
batum tuum, et ambula, ut ex ipso gestante de miraculi veritate constaret, et eum omnes agnoscerent qui ut humano generi subve-

9. ἐρώμ, ἐρὼμ *cod. Rhedig.*

10. ἀμιναδὰμ, ἀμιναδὰμ *cod. ms. uterque.*

1. ἐλύετο *codd. mss., quod expressit etiam Cornar. in versione Latina. Editi perperam* ἐγίνετο. *Cf. supra cap.* 83.

Cap. LXXXVI. — 1. θυσίας *cod. ms. uterque. Editi* θυσίαν.

2. κράβατον *codd. mss.*

θρώπων. Καὶ γὰρ τῷ μὲν ὄντι ἦλθε λῦσαι τὸ σάββατον. Οὐκ ἠδύνατο δὲ λῦσαι αὐτὸ, εἰ ἀλλότριον αὐτοῦ ὑπῆρχεν. Οὐδεὶς γὰρ [3] ἀλλότριον λύει ἔργον, εἰ μή τι ἂν ἐκλήπτωρ ἀλλοτρίων ὁ τοιοῦτος γένηται, καὶ [4] ἀλλοτριοεπίσκοπος, δίκας [5] ἑαυτῷ ἐξαγοραζόμενος. Ἐπειδὴ δὲ ἴδιον αὐτοῦ [6] ὑπῆρχε τὸ σάββατον, διὰ τοῦτο λέγει ὅτι, Κύριός ἐστιν ὁ υἱὸς τοῦ ἀνθρώπου καὶ τοῦ σαββάτου. Καὶ, φησὶ, Οὐχ ὁ ἄνθρωπος διὰ τὸ σάββατον γεγένηται, ἀλλὰ τὸ σάββατον διὰ τὸν ἄνθρωπον. Εἰ τοίνυν ἐποίησεν ὁ θεὸς τὸ σάββατον διὰ τὸν ἄνθρωπον, καὶ προετίμησε τὸν ἄνθρωπον παρὰ τὸ σάββατον, ἵνα ὁ ἄνθρωπος γινώσκῃ τὴν ἀνάπαυσιν, καὶ τῶν μελλόντων τὴν ἀνάπαυλαν. Ἀντίτυπα γάρ ἐστι ταῦτα τῶν ἐπουρανίων. Ἐνταῦθα γὰρ ἀπὸ μέρους, ἐκεῖνα δὲ ἡ πᾶσα τελειότης. Τὸ σάββατον οὖν τὸ ἐν [7] νόμῳ ἕως τῆς αὐτοῦ παρουσίας, ἔλυσε δὲ ἐκεῖνο τὸ σάββατον, καὶ ἔδωκεν ἡμῖν τὸ μέγα σάββατον, ὅπερ ἐστὶν αὐτὸς ὁ κύριος, ἡ ἀνάπαυσις ἡμῶν, καὶ ὁ σαββατισμός.

Οὐδεὶς οὖν διοίσει παλαιὰν ἀπὸ καινῆς διαθήκης, οὔτε καινὴν ἀπὸ παλαιᾶς. Μία γάρ ἐστι καὶ ἡ αὐτὴ συμφωνία. Ὁ δὲ ἀμαθὴς καὶ ἄπειρος, ἐὰν ἴδῃ δύο ἀντλητῆρας ἀπὸ μιᾶς πηγῆς ἀντλοῦντας, νομίσῃ δὲ διὰ τὴν διαφορὰν τῶν ἀντλητήρων διάφορα εἶναι καὶ τὰ ὕδατα, ἀκούσῃ δὲ παρὰ τῶν συνετῶν [8] τὴν ἀλήθειαν ὅτι, Γεῦσαι τῶν δύο ἀντλητήρων, καὶ ἴδε ὅτι [9] δύο μὲν οἱ ἀντλητῆρες, μία δὲ ἡ πηγὴ ὑπάρχει· οὕτως εἷς κύριος, εἷς θεὸς, ἓν πνεῦμα λαλῆσαν ἐν νόμῳ
pag. 700. καὶ ἐν προφήταις καὶ ἐν εὐαγγελίῳ. Διὰ τοῦτο γὰρ οὐ δύο παλαιαὶ διαθῆκαι, καὶ οὔτε δύο καιναὶ διαθῆκαι, ἐπειδὴ οὐκ εἰσὶ δύο οἱ διαθέμενοι, ἀλλ' εἷς ὁ τὴν παλαιὰν [10] παλαιῶν, καὶ τὴν καινὴν ἀνακαινίζων, οὐ τὴν παλαιὰν καταργῶν εἰς ἀφανισμὸν, ἀλλὰ τὴν παλαιὰν καταπαύων, καὶ τῇ δευτέρᾳ προστιθέμενος περιουσίας κληρονομίαν.

Κεφ. πζ'. Ἄλλην δὲ [1] πάλιν λέξιν ὁ αὐτὸς Μάνης παρεισφέρει, λέγων ὅτι, Οἶδα [2] πνεῦμα σωζόμενον ἄνευ σώματος· τοῦτο γὰρ, φησὶ, διδάσκει ὁ ἀπόστολος λέγων ὅτι, Ὅλως ἀκούεται ἐν ὑμῖν πορνεία, καὶ τοιαύτη πορνεία ἥτις οὐδὲ ἐν τοῖς ἔθνεσιν, ὥστε γυναῖκά τινα τοῦ πατρὸς ἔχειν. Καὶ ὑμεῖς πεφυσιωμένοι ἐστὲ, καὶ οὐχὶ μᾶλλον ἐπενθήσατε ἵνα ἀρθῇ ἐκ μέσου ὑμῶν ὁ τὸ ἔργον τοῦτο πράξας. Ἐγὼ μὲν ἀπὼν τῷ σώματι, παρὼν δὲ τῷ πνεύματι, ἤδη κέκρικα τὸν τὸ ἔργον τοῦτο κατεργασάμενον, συνελθόντων ὑμῶν, καὶ τοῦ κυρίου, μετὰ τοῦ ἐμοῦ [3] πνεύμα-

3. ἀλλότριος *cod. Rhedig.*

4. ἀλλοτριοεπίσκοπος *emend. Petavius. Libri habent* ἀλλότριος ἐπίσκοπος. *In marg. exempli Schottiani, quod penes me est, legitur* ἀλλοτριεπίσκοπος *addito siglo M. In cod. ms. Coislin.* 179. *chart., qui glossarium continet satis amplum, legitur glossa* Ἀλλότριος ἐπίσκοπος, ἀπαιτητής, alienus appetitus, *quod corrigo* Ἀλλότριος ἐπίσκοπος, alienorum appetitor. *Nam voc.* ἀπαιτητής *corruptela est voc.* appetitus, *ante voc.* alienus *repetiti. Cf.* 1. *Petr.* 4, 15.

5. ἑαυτοῦ *ed. Petav. Colon. repet.*

niret e coelo descenderat. Nam revera solvendi sabbati gratia venerat; solvere porro si alienum esset, minime potuisset. Nemo enim alienum opus destruit, nisi alienorum usurpator, et eorum peregrinus inspector, qui sibi lites arcessat. Itaque quod ad sese pertineret sabbatum, ideo *dominus*, est, inquit, *filius hominis etiam sabbati*. Item, *Non propter sabbatum homo factus est; sed sabbatum propter hominem*. Quare si sabbatum deus hominis caussa condidit, pluris eundem sabbato fecit, uti futuram illam quietem intelligeret. Haec enim coelestium figurae sunt, cum hic ex parte duntaxat, omnia perfecta illic absolutaque sint. Quamobrem sabbatum illud lege praescriptum ad ipsius adventum usque perseveravit, quo demum abrogato magnum nobis sabbatum obtulit, qui est ipse dominus, requies, sabbatique observatio nostra.

Nemo itaque vetus ab novo testamento, vel hoc ab illo separandum existimet. Est enim amborum una eademque concordia. Sed perinde se res habet ac si imperitus quispiam ac rudis situlas duas haurientes eodem ex fonte videat, tum quod eae diversae sint, diversas etiam aquas esse suspicetur, deinde vero a prudentioribus doceatur, et ita loquentes audiat: Ex utraque situla degusta, ac disce duas illas esse quidem, sed unicum nihilominus fontem. Eodem modo unus dominus est, unusque deus, unus spiritus, qui in lege, prophetis evangelioque locutus est. Ob id non duo vetera testamenta sunt, neque duo nova; quoniam neque testatores duo sunt, sed unus tantummodo qui antiquato vetere novum instaurat, nec ita ut vetus extinguendo deleat, sed ei finem imponat, et ad secundum bonorum possessionem transferat.

Alium e scriptura locum Manichaeus in medium affert. Hoc enim, inquit, invenio, spiritum sine corpore salutem obtinere, quod ipsum his verbis docet apostolus: *Omnino auditur in vobis fornicatio,* (Cap. LXXXVII.) (1. Cor. 5, 1.) *et eiusmodi fornicatio quae ne in gentibus quidem cernitur, adeo ut uxorem quidam patris habeat: et vos inflati estis, et non magis luxistis, ut tollatur e medio vestri, qui hoc facinus commisit: ego quidem absens corpore, praesens autem spiritu, iudicavi eum qui hoc scelus commisit, convenientibus vobis, et domino, cum meo spiritu,*

6. ὑπάρχει *cod. Rhedig.*
7. νόμῳ μωύσεως τῆς (*h. e.* μωῦσεως ἕως) αὐτῶν *cod. Rhedig.*
8. τὴν *om. ed. Petav. Colon. repet.*
9. δύο *om. in ed. Petav. Colon. repet.*
10. *Vulgo* τῶν παλαιῶν. *Articulum delendum esse vidit iam Cornarius, qui interpretatus est* sed unus qui vetus antiquat, et novum renovat.

Cap. LXXXVII. — 1. πάλιν *om. cod. Rhedig.*
2. σῶμα *cod. Rhedig.*
3. πατρὸς *cod. Rhedig.*

τος, παραδοῦναι τὸν τοιοῦτον τῷ σατανᾷ εἰς ὄλεθρον τῆς σαρκὸς, ἵνα τὸ πνεῦμα σωθῇ ἐν τῇ ἡμέρᾳ τοῦ κυρίου. Ὄλεθρος δὲ ἐπὶ σαρκὸς ὁ παντάπασίν ἐστιν ἀφανισμός. Πῶς οὖν ἀφανιζομένης τῆς σαρκὸς ἐν χειρὶ τοῦ διαβόλου, καὶ σωζομένου τοῦ πνεύματος, ἔτι ἔσται ἀνάστασις σωμάτων, ἢ σαρκός; Καὶ οὐκ οἶδεν ὁ ἄπειρος κατὰ πάντα ὅτι τὰ ἔργα τῆς σαρκὸς πορνεία, μοιχεία, ἀσέλγεια, καὶ τὰ τούτοις ὅμοια, καὶ οὐ περὶ αὐτῆς τῆς σαρκὸς λέγει, ἀλλὰ τῶν ἔργων τῆς σαρκός. Ὅτε μὲν ἐργάσεται πορνείαν, ἡ σὰρξ ἐργάζεται, ἐὰν δὲ κτήσηται ἐγκράτειαν, οὐκέτι ἡ σὰρξ [4] σάρξ ἐστιν, ἀλλὰ ἡ σὰρξ μεταβέβληται εἰς πνεῦμα. Ὡς καὶ ὁ ἀπόστολος λέγει ὅτι, Ὁ ἀπαρχῆς συζεύξας τὰ ἀμφότερα εἶπεν, Ἀντὶ τούτου καταλείψει ἄνθρωπος τὸν πατέρα αὐτοῦ καὶ τὴν μητέρα αὐτοῦ, καὶ κολληθήσεται τῇ γυναικὶ αὐτοῦ, καὶ ἔσονται οἱ δύο εἰς σάρκα μίαν· ὡς ὁ κολλώμενος τῇ πόρνῃ ἓν σῶμά ἐστι, [5] καὶ ὁ κολλώμενος τῷ κυρίῳ ἓν πνεῦμά ἐστιν. [6] Ἄρα οὖν ὁ τὴν πορνείαν ἐργαζόμενος σὰρξ γεγένηται· οὐ μόνον αὐτὴ ἡ σὰρξ, ἀλλὰ καὶ πάντα, καὶ ψυχὴ καὶ τὰ ἄλλα, σὰρξ γίνεται. Κολληθεὶς γὰρ τῇ πόρνῃ σὰρξ ἐγένετο, καὶ ὢν σαρκικὸς σὰρξ ὅλως καλεῖται. Ὁ δὲ κολλώμενος τῷ κυρίῳ ἓν πνεῦμά ἐστι, τουτέστι σῶμα καὶ ψυχὴ, καὶ πάντα εἴ τί ἐστιν ἐν τῷ ἀνθρώπῳ, ἓν πνεῦμα ἐν τῷ κυρίῳ. Καὶ περὶ τούτου νομο-
pag. 707. θετῶν ὁ αὐτὸς ἀπόστολός φησι, Ὁ θεὸς ἔθετο ἐν σώματι πάντα τὰ μέλη, ἕκαστον καθὼς ἠθέλησε· καὶ ὅρα πῶς ὁμολογεῖ τὸν θεὸν ποιητὴν τοῦ σώματος καὶ θέτην τῶν ἐν ἡμῖν μελῶν, καὶ καθὼς ἠθέλησε τῇ ἰδίᾳ σοφίᾳ καὶ ἀγαθότητι. [7] Εἶτα πάλιν, ἀντὶ τοῦ παραδείγματος τοῦ ἡμετέρου σώματος, τοῦ Χριστοῦ, Ὡς καὶ ἡμεῖς σῶμα Χριστοῦ ἐσμεν, καὶ μέλη ἐκ μέλους, καὶ ἡ ἐκκλησία τοῦ θεοῦ, ἥτις ἐστὶ σῶμα Χριστοῦ. Εἰ σῶμα τοίνυν θεοῦ ἡ ἐκκλησία κεκολλημένη τῷ πνεύματι, τουτέστι τῷ κυρίῳ, ἕν πνεῦμά ἐστιν, ὁ ἀπ' αὐτῆς τοίνυν ἁμαρτάνων πνεύματος ἐκπεσὼν, σὰρξ γεγένηται ὅλως, ψυχῇ καὶ σώματι, καὶ εἴ [8] τί ἐστιν ἐν αὐτῷ. Ἐπεὶ πῶς ἐδύνατο μέρος παραδοθῆναι τῷ σατανᾷ, καὶ μέρος μὴ παραδοθῆναι; Οὐ γὰρ εἶπε παραδοθῆναι Τὴν σάρκα τῷ σατανᾷ, ἀλλὰ παραδοῦναι Τὸν τοιοῦτον. Ὁ δὲ λέγων Τὸν τοιοῦτον ὁλοσχερῆ ἄνθρωπον σὺν ψυχῇ καὶ παντὶ τῷ ἀνθρώπῳ παραδέδωκεν. Εἰ δὲ ὅλον παραδέδωκεν, ὅλον σάρκα ἀπεφήνατο· τὸ πνεῦμα δὲ ἐδήλου σώζεσθαι εἰς τὴν ἡμέραν κυρίου. Ἵνα μὴ ὑπὸ αἰτίαν γένηται ἡ ἐκκλησία τοῦ σφάλματος τοῦ σφαλέντος ἀνθρώπου, καὶ μολυνθῇ ὅλη ἡ ἐκκλησία τῷ παραπτώματι τοῦ ἑνὸς, λέγει, Παράδοτε τὸν σφαλέντα, ἵνα τὸ πνεῦμα, τουτέστιν ὅλη ἡ ἐκκλησία, σωθῇ.

4. *Alterum* σάρξ *om. in ed. Petav. Colon. repet.*
5. καὶ *om. in ed Petav. Colon. repet.*
6. ἄρα *cod. Rhedig.*
7. „Deest aliquid" *in marg. annotavit Petavius. Repete modo* φησὶ *ex superioribus. Cornarius vertit, minus accurate*, deinde pro exemplo nostri cor-

tradere eiusmodi satanae in interitum carnis, ut spiritus salvus fiat in die domini. Iam carnis interitus nihil aliud est quam absoluta illius extinctio. Quomodo igitur cum in diaboli potestate caro funditus extinguatur solusque servetur spiritus, corporum esse potest carnisque resurrectio? Adeo vero est hebes ut illud non videat, carnis opera fornicationem esse, adulterium ac libidinem, et id genus alia, nec de carne illum, sed de carnis operibus loqui. Nam cum stuprum aliquis committit, caro istud exequitur, cum autem temperantiam sibi compararit, iam caro quodammodo esse caro desinit, atque in spiritum convertitur; quemadmodum apostolus refert: *Qui initio coniunxit ambos, dixit, Propter hoc relinquet homo patrem suum,* Eph. 5, 31.
et matrem suam, et adhaerebit uxori suae, et erunt duo in carnem unam: sicut qui adhaeret meritrici unum corpus est, et qui adhaeret domino unus spiritus est. Itaque qui stuprum committit, caro efficitur, non corpus duntaxat, sed et cetera omnia, adeoque anima ipsa in carnem quodammodo mutatur. Dum enim ad meretricem adhaerescit, caro fit, cumque carnalis sit, omnino caro dicitur. At qui domino adhaeret, tam corpore quam animo unus cum eo spiritus est, ac quicquid in homine inest, unus in domino spiritus efficitur. Qua de re statuens idem apostolus, *Deus*, inquit, *posuit in corpore* 1.Cor.12,18.
omnia membra singula prout voluit. Vide ut corporis quoque conditorem affirmet deum ac membrorum nostrorum compositorem, qui sapientia ac bonitate sua uti voluit universa constituit. Post haec exemplum corporis nostri ad Christi corpus accommodat: *Quemad-* 1.Cor.12,27.
modum et nos corpus Christi sumus, et membra de membro, et ecclesia dei, quae est corpus Christi. Proinde si corpus dei ecclesia spiritui adhaerens, hoc est domino, unus est spiritus, quicumque ab eadem excidit, perinde a spiritu desciscens, anima pariter et corpore commutatur in carnem, ac si quid aliud in ipso continetur. Nam qui fieri posset, pars ut una satanae traderetur, non traderetur altera? Neque vero dixit apostolus, *Tradere carnem satanae*, sed, *Tradere eiusmodi.* At qui *Eiusmodi* dicit, integrum profecto hominem, hoc est tam animam quam corpus tradiderit necesse est. Qui cum totum tradiderit, totum videlicet carnem esse significat, at spiritum in diem domini servari demonstrat, ut ne ecclesia delinquentis hominis scelere obstringeretur, uniusque delicto tota ipsa pollueretur. Quare ita iubet apostolus: *Tradite eum qui deliquit, ut spiritus,* hoc 1.Cor 5, 5.
est ecclesia universa, *salvus sit.*

poris proponit corpus Christi, quod et nos corpus Christi sumus *cett.*

8. τι *emendarunt Cornarius et Petav.* τις *est in libris omnibus.*

Κεφ. πη'. Ἀλλὰ, φησὶ, γέγραπται, Σὰρξ καὶ αἷμα βασιλείαν θεοῦ οὐ κληρονομήσουσι, καὶ νομίζει ἐν τούτῳ λέγειν τι. Καὶ γὰρ τῷ ὄντι οὐ δύναται πορνεία κληρονομεῖν βασιλείαν οὐρανῶν, οὐδὲ μοιχεία, οὐδὲ ἀσέλγεια, οὐδὲ [1] εἰδωλολατρεία, τουτέστι σὰρξ καὶ αἷμα. Εἰ δὲ περὶ σαρκὸς καὶ αἵματος τοῦτο νομίζεις, εἶναι αὐτὴν τὴν σάρκα, πῶς ἔτι πληροῦται τὸ εἰρημένον, Καὶ ὅσοι ἔλαβον αὐτὸν, ἔδωκεν αὐτοῖς ἐξουσίαν τέκνα θεοῦ γενέσθαι, οἳ οὐκ ἐξ αἱμάτων, οὐδὲ ἐκ σαρκὸς ἐγενήθησαν, ἀλλ' ἐκ θεοῦ; Τίς ἐν κόσμῳ γεγένηται ἄνευ σαρκός; Ἀλλ' ἐπειδὴ μετεβλήθησαν αἱ γνῶμαι, οὐ γὰρ αἱ φύσεις τῶν γενωμένων ἀπὸ μητέρων καὶ πατέρων σαρκὸς καὶ αἵματος [2] καὶ ἐγενήθησαν τὴν δευτέραν γένησιν τὴν ἀπὸ τῆς τοῦ κυρίου γενήσεως διὰ πνεύματος καὶ πυρὸς, ἔδωκεν αὐτοῖς ἐξουσίαν τέκνα θεοῦ γενέσθαι. Ὡς οὖν ἐνταῦθα ἐκ σαρκὸς ἐγενήθησαν καὶ ἐξ αἵματος, καὶ [3] οὐκέτι λογίζεται ἐκ σαρκὸς καὶ αἵματος ἡ γένησις, διὰ τὴν μεταβολὴν τῆς δικαιοσύνης, pag. 708. καί τοί γε ἐν σαρκὶ καὶ αἵματι, ὡς λέγει, Ἐν σαρκὶ γὰρ περιπατοῦντες, οὐ κατὰ σάρκα στρατευόμεθα, [4] ἄρα οὖν ἔνι σὰρξ, οὐ κατὰ σάρκα στρατευομένη, καὶ διὰ τοῦτο λέγει σάρκα καὶ αἷμα μὴ κληρονομεῖν βασιλείαν οὐρανῶν, οὐ περὶ τῆς σαρκὸς ταύτης τῆς καμούσης, τῆς ἁγιασθείσης, τῆς τῷ θεῷ εὐαρεστησάσης, ἀλλὰ περὶ τῆς ἐν ἁμαρτίαις ἐξετασθείσης. Ἐπεὶ πῶς ἂν πληροῦται τὸ εἰρημένον, Δεῖ γὰρ τὸ φθαρτὸν τοῦτο [5] ἐνδύσασθαι ἀφθαρσίαν, καὶ τὸ θνητὸν τοῦτο ἐνδύσασθαι ἀθανασίαν. Τηλαυγέστερον δὲ περὶ τούτου ὁ αὐτὸς ἀπόστολος σημαίνων, ἵνα μή τινες πλανηθῶσι, καὶ ἀντὶ τῶν φαύλων ἔργων τὴν τοῦ σώματος πλάσιν ἀπελπίσωσιν ἐκ τῆς ἀναστάσεως, λέγει, Νεκρώσατε τὰ μέλη τὰ ἐπὶ τῆς γῆς, ἅτινά ἐστι πορνεία, μοιχεία, ἀσέλγεια, καὶ τὰ ἑξῆς. [6] Ἀλλ' ἄκουε καὶ τοὺς ὀφθέντας τοῖς Γαλιλαίοις, καὶ λέγοντας ὅτι, Τοῦτον τὸν Ἰησοῦν, ὃν ἑωράκατε ἀφ' ὑμῶν ἀναλαμβανόμενον, οὕτως ἐλεύσεται ὃν τρόπον εἴδετε αὐτὸν ἀναλαμβανόμενον.

Κεφ. πθ'. Ἀπὸ δὲ τῶν εἰρημένων πάντων δύνανται οἱ νουνεχεῖς τὸν νοῦν [1] ἐπιστῆσαι ἐπὶ πᾶσι τοῖς τῆς ἀληθείας λόγοις, καὶ τοῖς ἀπὸ [2] τοῦ ψεύσματος τοῦ προειρημένου λεγομένου Μανιχαίου, ἵνα, εἰ καὶ οὐκ ἐπεμνήσθην τινὸς μαρτυρίας, ἀπὸ τῶν δύο ἢ τριῶν μαρτυριῶν ὧν εἴπομεν τὰ πάντα αὐτοῦ φωραθῇ ψευδῆ. Ἡμεῖς δὲ πολλὴν ἐπιβεβη-

Cap. LXXXVIII. — 1. εἰδωλολατρία cod. Rhedig. et Ien. (cum rasura).
2. καὶ restitui ex codd. mss. Quod est plane necessarium. Agnoscit etiam Latina versio Cornarii et geniti sunt secunda nativitate cett.
3. οὐκ ed. Petav. Colon. repet.
4. Vulgo ἄρα.
5. δύσασθαι cod. Rhedig.
6. Post verba καὶ τὰ ἑξῆς Cornarius et Petavius aliquam multa excidisse statuerunt, locumque lacunae signo notave-

Atqui scriptum est, ait, *Caro et sanguis regnum dei non possidebunt.* Qua scripturae sententia nonnihil efficere se putat. Verum longe is aberrat. Certum enim est non posse stuprum coeleste regnum obtinere, nec adulterium, neque libidinem nec idololatriam, quae omnia per carnem et sanguinem intelligenda sunt. Nam si carnem et sanguinem sic interpretaris, ut ad propriam hominis carnem pertineat, quonam modo verum illud esse poterit? *Quotquot autem receperunt illum, dedit eis potestatem filios dei fieri: qui non ex sanguinibus, neque ex carne nati sunt, sed ex deo.* Quis in mundo sine carne natus est? Verum quoniam non naturae quidem illorum, qui ex parentum carne et sanguine propagati sunt, sed animi commutati sunt, ac secunda generatione a domino per spiritum ignemque procreati, propterea, *Dedit,* inquit, *illis potestatem filios dei fieri.* Sic igitur ex carne istic et sanguine nati sunt. Neque tamen ob traductionem illam ad iustitiam alterius ex carne et sanguine habetur generationis ratio. Quamquam in carne nihilominus, et sanguine permaneant; velut alio loco dicit, *In carne ambulantes non secundum carnem militamus.* Quocirca inest quidem caro, sed non secundum carnem militat. Hinc est quod ait, *Carnem et sanguinem coeleste regnum minime possidere.* Ubi non de ea carne loquitur, quae laboribus attrita, quae sanctitate consecrata, quae deo denique grata sit, sed de ea quae in peccatorum sordibus detinetur. Quod nisi ita est, quinam illud impleri poterit: *Oportet enim corruptibile hoc induere incorruptionem, et mortale hoc induere immortalitatem?* Quod clarius idem apostolus significans, ne qui forsitan errarent, atque ob scelera de formatione corporis in resurrectione desperarent, his verbis hortatur: *Mortificate membra, quae sunt in terra,* hoc est, fornicationem, adulterium, libidinem, etc. Imo et eos [audi] qui Galilaeis apparuerunt eosque sic allocuti sunt: *Hunc Iesum, quem vidistis a vobis assumptum, sic veniet quemadmodum vidistis eum assumptum.*

(Cap. LXXXVIII. — 1. Cor. 15, 50. — Ioann. 1, 12. — 2. Cor. 10, 3. — 1. Cor. 15, 50. — 1. Cor. 15, 53. — Col. 3, 5. — Act. 1, 11.)

Cap. LXXXIX.

Ex his, quae hactenus dicta sunt, facile intelligentes homines possunt tam ad veros sermones quam Manichaei mendacia animum advertere: ut tametsi quodpiam allatum ab eo testimonium praetermiserim, ex duobus illis tribusque, quae commemoravimus, reliqua ab eo falso conficta deprehendantur. Nos autem longo asperoque

runt. At ut in codicibus manu exaratis nullum eius suspicionis indicium, ita nec sententiam ab ulla iam parte mancam esse videbis, postquam levissima correctione restituimus Ἀλλ' ἄχουε καὶ τοὺς *cett. Vulgo enim legebatur* ἀλλὰ καὶ τοὺς *cett., voce* ἄχουε *vicinis vocabulis absorpta.*

Cap. LXXXIX. — 1. *Sic recte Petavius. Codd. mss. et edit. princ.* ἐπιστῆναι.

2. τοῦ *om. ed. Petav. Colon. repet. In seqq. abundare videtur* λεγομένου.

κότες ὁδὸν τραχεῖαν, καὶ κινδυνώδεις τόπους, μόλις ταυτησὶ τῆς ἀμφισβαίνης καὶ θηρὸς ὀλετηρίου τῆς κεγχρίτιδος, ἀπὸ πολλῶν ὁμοιωμάτων πεποικιλμένης πρὸς ἀπάτην τῶν ὁρώντων, ἐχούσης δὲ κεκρυμμένην [3] κάτω τὴν κεντρώδη καὶ ἰοβόλον πηγὴν, τῆς ἐκ πάντων ὁρμωμένης. Ἐπειδὴ γὰρ μετὰ Ἑλλήνων Ἕλλην ἐστὶν, ἥλιον προσκυνῶν, καὶ σελήνην, καὶ τὰ ἄστρα, καὶ δαίμονας, [4] Ἕλλην ὁ ἀνὴρ, ἀγαπητοὶ, τυγχάνει, καὶ ἡ αὐτοῦ αἵρεσις τὰ τῶν Ἑλλήνων ὑφηγεῖται, τὰ μάγων ἐπίσταται, καὶ ἐν αὐτοῖς ἐγκυλινδεῖται, ἀστρονόμους ἐπαινεῖ,
pag. 709. τὰ αὐτῶν περιεργαζόμενος, μόνον Χριστοῦ σεμνύνεται ὄνομα λόγῳ, ὡς καὶ αὐτὴ ἡ κεγχρῖτις κρύπτει μὲν τὸν ἰὸν, ἀπατᾷ δὲ διὰ τῆς ποικιλίας, ἐν μέσῳ ὑλῶν πολλῶν γενομένη, καὶ ἀφομοιουμένη μετὰ τῶν ὄντων. Ἐν δὲ τῇ τοῦ θεοῦ δυνάμει τῷ ξύλῳ τῆς ἀληθείας, καὶ αἵματι Χριστοῦ, καὶ σώματι τῷ ἀπὸ Μαρίας, τῷ ἀληθινῶς γεγεννημένῳ, καὶ τῇ τῶν νεκρῶν ἀναστάσει, καὶ τῇ ὁμολογίᾳ τῆς μιᾶς ἑνότητος, συντρίψαντες τὴν κεφαλὴν τοῦ δράκοντος ἐπὶ τοῖς ὕδασι, τὴν πολυκέφαλον ταύτην αἵρεσιν, εἰς τοὐπίσω στρέψαντες, καὶ [5] τὴν κεφαλὴν καταθλάσαντες, εὐχάριστοι μὲν θεῷ διατελέσωμεν, ἐπὶ δὲ τὰς ἑξῆς αἱρέσεις προελθεῖν σπεύσωμεν, θεὸν ἐπικαλούμενοι βοηθὸν τῆς ἡμῶν ἀσθενείας, ὅπως τὰ ἐπηγγελμένα ἐν θεῷ περαιώσαντες, τελείως θεῷ εὐχαριστήσωμεν.

ΚΑΤΑ ἹΕΡΑΚΙΤΩΝ,

τεσσαρακοστὴ ἑβδόμη, ἡ καὶ ἑξακοστὴ ἑβδόμη.

Κεφ. α΄. Μετὰ τὴν μοχθηρὰν ταύτην, καὶ ἰοβόλον ὑπὲρ πᾶσαν αἵρεσιν, καὶ ἑρπετώδη τοῦ Μάνη βαρβαρικὴν θηριοβολίαν τῆς διδασκαλίας ἀνέστη τις Ἱέρακας ὀνόματι, ἀφ' οὗπερ Ἱερακῖται. Οὗτος ἐν τῇ Λεοντῷ, τῇ κατ' Αἴγυπτον ὑπῆρχεν, ἐν προπαιδείᾳ οὐ μικρᾷ ὑπάρξας, Ἑλληνικῶν τε πάντων λόγων ἐπιτηδεύμασιν ἀσκηθεὶς, ἰατροσοφιστικῇ τε καὶ τοῖς ἄλλοις, τοῖς τῶν Αἰγυπτίων καὶ Ἑλλήνων μαθήμασιν ἀκριβῶς ἐπιστάς. Τάχα δὲ καὶ ἀστρονομίας· καὶ μαγείας ὁ ἀνὴρ καρήψατο· ἐμπειρότατος γὰρ ὑπῆρχε πολλῶν λόγων, καὶ ἐν ἐξηγήσει, ὡς ὑποφαίνουσι οἱ αὐτοῦ λόγοι, πάνυ δὲ τὴν τῶν Αἰγυπτίων ἐπιστάμενος γλῶσσαν. Αἰγύπτιος γὰρ ὁ ἀνὴρ ἦν, ἀλλὰ καὶ τῇ τῶν Ἑλλήνων τετρανωμένος οὐ μικρῶς, ὀξὺς κατὰ πάντα τρόπον. Ὑπῆρχε δῆθεν Χριστιανὸς, ἀλλ' οὐκ ἐνέμεινε τῇ τοῦ Χριστοῦ πολιτείᾳ. Παρέπεσε γὰρ, καὶ ὀλισθήσας ἐξώκειλεν. Οὗτος μὲν γὰρ παλαιὰν καὶ

3. *Ita corrigendum erat. Libri habent* κατὰ. *Minus certo potest statui de medicina qua sententiae succurramus, quae mutila videtur esse. Excidit fortasse* κεκρατήκαμεν, *vel simile quid. Nisi participio* ἐπιβεβηκότες, *id quod non semel fecit Epiphanius, usus est pro finito, ut sententia sit* Nos autem magnam viam

itinere per periculosa loca confecto, aegre amphisbaenam illam ac cenchritidem, letalem inprimis bestiam evasimus, quae multarum rerum similitudinibus variegata contuentes decipit. Ex quibus omnibus velut conflatum et occultum mortiferi inaculeo veneni fontem continet. Manichaeus enim cum gentilibus gentilis est, ac solem, lunam, sidera, daemonesque veneratur, gentilis, inquam, est, o carissimi, eiusque secta Graecorum superstitiones tradit; magorum quoque praestigias complectitur, in iisque volutatur, astronomos laudat, quorum curiosas artes persequitur, ac verbo tenus Christi nomine gloriatur. In quo cenchritidis simillima est, quae occultato veneno varietate sua fallit, atque inter varia fruteta versans, rerum omnium quibus circumdata est similitudinem exprimit. Enimvero posteaquam dei ope ac veritatis fuste, nec non et Christi sanguine ac corpore, quod ex Maria revera natum est, ac mortuorum resurrectionis, et unius eiusdemque dei confessione, *draconis illius in* Ps. 73, 14.
aquis caput confregimus, hoc est, multicipitem illam haeresin effugavimus, caputque comminuimus, perpetuae primum habendae deo gratiae sunt, tum ad ceteras deinceps properandum, ita ut a deo supplices postulemus, nostrae ut imbecillitati succurrat, ut iis quae suscepimus absolutis cumulatiores eidem referre possimus.

ADVERSUS HIERACITAS,
quae est haeresis XLVII., vel LXVII.

Post improbam illam, ac prae omni alia haeresi virulentam, Cap. I.
serpentinam et barbaricam Manichaei doctrinam Hieracas quidam nomine prodiit, a quo Hieracitae nominati sunt. Hic in oppido Aegypti Leontone vixit, humanioribus literis inprimis eruditus, ac Graecorum disciplinis, praesertimque medicina et aliis artibus imbutus, ad quas Aegyptiorum quoque doctrinam adiunxerat. Ac nescio an et astronomiae ac magicarum artium scientiam attigerit. Fuit certe variis artibus instructus, atque explicandi peritus, ut ex illius commentariis apparet; sed Aegyptiorum linguam potissimum calluit, utpote genere Aegyptius. Nec vero Graecae linguae scientia mediocriter est perpolitus, vir acutissimo in omnibus ingenio. Atque hic quidem Christianus fuit, sed non in eo vitae genere quod esset Christo dignum perseveravit. Siquidem prolapsus, et impactus a veritate excidit. Cum enim veteris novique testamenti scientissimus

et periculosos huius amphisbaenae demum locos emensi sumus cett.
4. *Vox* Ἕλλην *abest a codd. mss. Recte eam restituit Cornarius.*
5. τὴν *om. in ed. Petav. Colon. repet.*

καινὴν διαθήκην σαφῶς εἰπεῖν ἀποστηθίζων, καὶ εἰς [1] αὐτὰ ἐξηγησάμενος, ἐδογμάτισε παρ' ἑαυτῷ ἀπὸ κενοφωνίας ἑαυτοῦ ὅπερ αὐτῷ ἔδοξε καὶ ὃ ὑπεισῆλθεν αὐτῷ.

Βούλεται γὰρ καὶ οὗτος τὴν σάρκα μὴ ἀνίστασθαι τὸ παράπαν,
pag. 710. *ἀλλὰ τὴν ψυχὴν μονωτάτην. Πνευματικὴν δὲ τὴν ἀνάστασιν φάσκει, καὶ ὅσα ἔστιν ἀπὸ τῶν θειῶν γραφῶν εἰς ἑαυτοῦ νοῦν ἀναλεξάμενος, οὕτως ἑαυτῷ ἐπεσώρευσεν ἀτόπων πλάσματα, [2] ἅττα φαῦλα ἑαυτῷ μηχανησάμενος πρὸς σύστασιν τῆς αὐτοῦ αἱρέσεως. Ἦν δὲ ὁ ἀνὴρ ἔκπληκτος τῇ αὐτοῦ ἀσκήσει, καὶ δυνάμενος πεῖσαι ψυχάς· αὐτίκα πολλοὶ τῶν ἀσκητῶν τῶν Αἰγυπτίων αὐτῷ συναπήχθησαν. Οἶμαι γὰρ ὅτι περὶ ἀναστάσεως νεκρῶν, ὡς ἠρνήσατο τὴν τῆς σαρκὸς ἀνάστασιν, ἀπὸ Ὠριγένους τὰς προφάσεις εἰληφὼς, ἢ ἀφ' ἑαυτοῦ τῆς διανοίας τοῦτο ἐξεμέσας. Οὐ παραδέχεται οὗτος γάμον· [3] φάσκει εἶναι τοῦτο παλαιᾶς διαθήκης. Τοὺς μὲν γὰρ περὶ τὸν Ἀβραὰμ καὶ Ἰσαὰκ καὶ Ἰακὼβ καὶ Μωϋσέα καὶ Ἀαρὼν, καὶ πάντας τοὺς ἁγίους, Ἡσαΐαν καὶ Ἱερεμίαν ὁμοίως δέχεται, καὶ προφήτας ἡγεῖται, καὶ συγκεχωρῆσθαί φησι ἐν τῇ παλαιᾷ διαθήκῃ τῷ γάμῳ συνάπτεσθαι, ἀπὸ δὲ τῆς ἐνδημίας τοῦ Χριστοῦ μηκέτι τὸν γάμον παραδέχεσθαι, μήτε δύνασθαι αὐτὸν κληρονομεῖν βασιλείαν οὐρανῶν. Τί γὰρ, φησὶ, ἦλθε ποιεῖν καινὸν ὁ λόγος; ἢ τί καινὸν ἦλθε κηρύξαι ὁ μονογενὴς, καὶ κατορθῶσαι; εἰ μὲν γὰρ περὶ φόβου θεοῦ, τοῦτο εἶχεν ὁ νόμος· εἰ δὲ περὶ τοῦ γάμου, κεκηρύχασιν αἱ γραφαί· εἰ δὲ περὶ φθόνου [4] καὶ πλεονεξίας καὶ ἀδικίας, ταῦτα πάντα περιεῖχεν ἡ παλαιὰ διαθήκη. Ἓν δὲ μόνον τοῦτο κατορθῶσαι ἦλθε, τὸ τὴν ἐγκράτειαν κηρύξαι ἐν τῷ κόσμῳ, καὶ ἑαυτῷ ἀναλέξασθαι ἁγνείαν καὶ ἐγκράτειαν. Ἄνευ δὲ τούτου μὴ δύνασθαι ζῆν.*

Κεφ. β'. *Τὰς δὲ προφάσεις ταύτας πανταχόθεν ἀναλέγεται, ὅταν εἴπῃ ὅτι, Καὶ τὸν ἁγιασμὸν [1] ὑμῶν, οὗ χωρὶς τὸν θεὸν οὐδεὶς ὄψεται. Ἐὰν δὲ εἴπωσιν αὐτῷ, Πῶς ὁ ἀπόστολος ἔφη, Τίμιος ὁ γάμος καὶ ἡ κοίτη ἀμίαντος, πόρνους δὲ καὶ μοιχοὺς κρινεῖ ὁ θεὸς, [2] καὶ εὐθὺς ἐπιφέρει αὖθις λέγων, Ὑπερβὰς δὲ ὀλίγον λέγει ὅτι, Ἡ ἄγαμος μεριμνᾷ τὰ τοῦ κυρίου, πῶς ἀρέσει τῷ κυρίῳ, καὶ ἡ παρθένος· ἡ δὲ γαμήσασα μεριμνᾷ πῶς ἀρέσει τῷ ἀνδρὶ, καὶ μεμέρισται. Εἰ τοίνυν ἐστὶ μερισμὸς, πῶς δύναται ὅπου μερισμὸς ἐπὶ τὸ αὐτὸ κοινωνῆσαι; καὶ εἰ θεῷ οὐκ ἀρέσκει, ἀλλὰ τῷ ἀνδρὶ, πῶς δύναται παρὰ θεῷ κεκτῆσθαι τὴν κληρονομίαν; Διὰ γὰρ τὰς πορνείας ἕκαστος τὴν ἑαυτοῦ γυναῖκα ἐχέτω,*
pag. 711. *οὐκ ἐπαινῶν φησι γάμον μετὰ τὴν παρουσίαν, ἀλλὰ συμβαστάζων, ἵνα μὴ εἰς περιττὸν ὄλεθρον ἐμπέσωσιν. Εἰσὶ γὰρ εὐνοῦχοι οἱ ἑαυτοὺς*

Cap. I. — 1. *An αὐτὰς?* 2. *Libri habent* ἅττα. 3. φάσκει *cod. Rhedig.* φάσκειν *cod. Ien. et editi. Petavius voluit* φάσκων, *quod et mihi placet.* 4. καὶ *om. in ed. Petav. Colon. repet.*

esset, ut ea de pectore suo velut expromeret, ac commentaria scripsisset, multa de suo dogmata vanissime aspersit, ac quicquid visum est pro libidine sua proposuit.

Negat is omnino resurgere carnem, idque animae soli tribuit, proindeque spiritalem esse resurrectionem asserit. Sacrarum vero literarum testimonia colligens, et ad institutum suum ac mentem accommodans, absurdissima quaedam dogmatum commenta cumulavit, et ad haeresin suam stabiliendam prava quaedam excogitavit. Ceterum vitae ille instituto ac genere plane admirabilis fuit, et ad alliciendos animos inprimis efficax. Quare plerique ex Aegyptiis monachis in illius errores adducti sunt. Nam quod ad mortuorum resurrectionem attinet, quod carnis resurrectionem inficiatur, id ab Origene mutuatus videtur, nisi id ex sese evomuisse dicendus est. Idem nuptias repudiat; quas veteris testamenti proprias fuisse docet. Quippe Abraamum, Isaacum et Iacobum, Moysem, Aaronem, ac sanctos omnes, velut Isaiam et Ieremiam pariter asciscendos existimat, et prophetas arbitratur, nuptiasque in veteri testamento licitas fuisse, sed post adventum Christi easdem reiiciendas; utpote quibuscum coeleste regnum obtineri nequeat. Quid enim, inquit, verbum novi ut faceret advenit? quid inquam novi praedicare, aut quod egregium facinus moliri voluit? Si dei timorem dixeris, hoc iam lex ipsa continebat: si nuptias, etiam in sacris literis praedicantur: si invidiam avaritiam iniustitiam damnasse dicas, haec omnia vetere testamento comprehensa sunt. Superest ergo id ut unum efficere voluerit ut continentiam praedicaret in mundo, ac sibi ipsi castimoniam deligeret; sine qua obtineri vita non possit.

Ad id vero dogma comprobandum undecumque argumenta cor- Cap. II.
rogat, velut illum locum: *Sanctificationem vestram, sine qua nemo* Hebr. 12, 14.
videbit deum. Quod si apostoli dictum illud obiicias, *Honorandae* Hebr. 13, 4.
sunt nuptiae, et torus immaculatus: fornicatores autem et adulteros iudicabit deus, sic ille respondet: Atqui paulo post idem apostolus
dicit, *Innupta sollicita est de his quae dei sunt, quomodo placeat do-* 1. Cor. 7, 34.
mino, et virgo: nupta vero sollicita est quomodo placeat viro, et divisa est. Unde si divisio inest, quomodo intercedere communio potest? Ac si deo non placeat, sed viro, potestne hereditatem a deo con-
sequi? Cum autem sic hortatur: *Propter fornicationes autem, unus-* 1. Cor. 7, 2.
quisque suam uxorem habeat, non laudandas post adventum domini, sed tolerandas nuptias putat, ne maius in exitium praecipites ruant.
Sunt enim eunuchi, qui seipsos castraverunt propter regnum coelorum. Matth. 19, 12.

Cap. II. — 1. ἡμῶν *ed. Pelav.*
2. *Fortasse* κατευϑὺς.

[3] εὐνουχίσαντες διὰ τὴν βασιλείαν τῶν οὐρανῶν· καὶ, Θέλω, φησὶ, πάντας εἶναι ὡς ἐμαυτόν· καὶ, Ὡμοιώθη ἡ βασιλεία τῶν οὐρανῶν δέκα παρθένοις, πέντε μωραῖς, καὶ πέντε φρονίμοις. Φρόνιμοι παρθένοι, μωραὶ παρθένοι, πλὴν παρθένοι, βασιλείᾳ οὐρανῶν ἀπεικάζονται, καὶ οὐκ εἶπεν ἔγγαμοι. Πολλὰ δὲ τοιαῦτα [4] ἑαυτῷ ἐπισωρεύει, ἵνα δῆθεν παρεκβάλῃ γάμον.

Οὐ δέχεται δὲ τοὺς παῖδας τοὺς τελευτῶντας πρὸ γνώσεως, ἀλλ' ἀποβάλλει αὐτοὺς τῆς νομιζομένης ἐλπίδος. Φάσκει γὰρ τούτους μὴ κληρονομεῖν βασιλείαν οὐρανῶν, ἐπειδὴ, φησὶ, οὐκ ἠγωνίσαντο. Ἐὰν γὰρ ἀθλῇ τις, οὐ στεφανοῦται, ἐὰν μὴ νομίμως ἀθλήσῃ. Εἰ γὰρ καὶ ὁ ἀθλῶν οὐ στεφανοῦται, ἐὰν μὴ νομίμως, πόσῳ γε μᾶλλον οἱ μηδέπω εἰς ἀγῶνα κεκλημένοι; οὐ πιστεύει δὲ πάλιν οὗτος παράδεισον εἶναι αἰσθητὸν, ὥςπερ ἀμέλει καὶ Ὠριγένης· οὐδὲ, ὡς ἔφην, νεκρῶν ἀνάστασιν τὴν διὰ σαρκός. Ἀλλ' ἀνάστασιν μὲν νεκρῶν λέγει, ἀνάστασιν δὲ τὴν τῶν ψυχῶν, καὶ πνευματικήν τινα φάσκων μυθολογίαν. Οὐδεὶς δὲ μετ' αὐτῶν συνάγεται, ἀλλὰ εἰ εἴη παρθένος, ἢ μονάζων, ἢ ἐγκρατὴς, ἢ χήρα. Περὶ δὲ τὸν πατέρα καὶ υἱὸν καὶ ἅγιον πνεῦμα οὐ φάσκει κατὰ τὸν Ὠριγένην, ἀλλὰ πιστεύει ὄντως τὸν υἱὸν ἐκ πατρὸς γεγεννημένον.

Κεφ. γ'. Καὶ περὶ τοῦ πνεύματος τοῦ ἁγίου, ἐκ πατρὸς [1] εἶναι. Φάσκει δὲ οὗτος, ὡς [2] ἄνω μοι ἐν τῇ τῶν Μελχισεδεκιανῶν αἱρέσει δεδήλωται, περὶ τοῦ ἁγίου πνεύματος, ὅτι αὐτός ἐστιν ὁ Μελχισεδὲκ, διὰ τὸ, φησὶ, εἰρηκέναι ὅτι, Ὑπερεντυγχάνει στεναγμοῖς ἀλαλήτοις ὑπὲρ ἡμῶν. Καὶ τίς ἐστιν οὗτος; Ἀλλὰ μένει ἱερεὺς εἰς τὸ διηνεκές. Τὸ δὲ ἱερεὺς εἰς τὸ διηνεκὲς διὰ τὸ ὑπερεντυγχάνειν. Τοῦτο δὲ τὸ πνεῦμα συνηντηκέναι τῷ Ἀβραὰμ κατ' ἐκεῖνο καιροῦ, ἐπειδὴ γὰρ ὅμοιόν ἐστι τῷ υἱῷ. Καὶ διὰ τοῦτό φησι ὁ ἀπόστολος, Ἀπάτωρ, ἀμήτωρ, ἀγενεαλόγητος. Ἀμήτωρ φησὶ, ὅτι οὐκ ἔχει μητέρα· ἀπάτωρ φησὶ, ὅτι ἐπὶ γῆς οὐκ ἔσχε πατέρα· ἀφωμοιώμενος δὲ τῷ υἱῷ τοῦ θεοῦ μένει ἱερεὺς εἰς τὸ διηνεκές. Καὶ πολλὰ φλυαρῶν περὶ τοῦ ἁγίου πνεύματος διεξ-
pag. 712. ῆλθε περὶ τούτου πολλὴν πραγματείαν. Βούλεται δὲ τὴν τελείαν αὐτοῦ σύστασιν ποιεῖσθαι ἀπὸ τοῦ Ἀναβατικοῦ Ἡσαΐου, δῆθεν ὡς ἐν τῷ Ἀναβατικῷ λεγομένῳ ἔλεγεν ἐκεῖσε ὅτι, Ἔδειξέ μοι ὁ ἄγγελος [3] περιπατῶν ἔμπροσθέν μου, καὶ ἔδειξέ μοι, καὶ εἶπε, Τίς ἐστιν ὁ ἐν δεξιᾷ τοῦ θεοῦ· καὶ [4] εἶπα, Σὺ οἶδας, κύριε; Λέγει, Οὗτός ἐστιν ὁ ἀγαπητός. Καὶ τίς ἐστιν ὁ ἄλλος ὁ ὅμοιος αὐτῷ ἐξ ἀριστερῶν ἐλθών; Καὶ [5] εἶπα, Σὺ γινώσκεις, τουτέστι τὸ ἅγιον πνεῦμα τὸ λαλοῦν ἐν

3. εὐνουχήσαντες *scripti libri et ed. princ.*
4. ἐπισωρεύει ἑαυτῷ *cod. Rhedig.*

CAP. III. — 1. *Repete* πιστεύει.
2. *V. haer.* 55, 5.
3. *Libri scripti habent* περιπατῶν, *cui*

Iterum: *Volo omnes esse sicut meipsum.* Tum: *Simile factum est* 1. Cor. 7, 7.
regnum coelorum quinque virginibus, quarum quinque erant fatuae, et Matth. 25, 1.
quinque prudentes. Ubi tam prudentes virgines quam fatuae, sed nihilominus virgines, cum coelesti regno comparantur, nec de nuptiis mentionem fecit. Multa id genus alia adversus nuptias accumulat.

Neque vero puerulos ante cognitionis usum mortuos admittit, sed a proposita spe reiicit. Negat enim istos coeleste regnum capessere, quandoquidem certamen nullum obierint. Nam qui in certamen descendit, *non coronatur, nisi legitime certaverit.* Quare 1. Timoth. 2, 5.
cum ne ii quidem qui certant nisi id legitime praestiterint, coronentur, quanto minus qui ne ad certamen quidem adhuc vocati sunt? Paradisum porro sensibilem esse non putat, quo in errore versatus est et Origenes. Neque, ut antea dixi, mortuorum resurrectionem ad carnem pertinere, sed ita resurgere mortuos fatetur, solas ut animas id assequi velit, ac spiritalem nescio quam fabulam contexat. Ceterum nemo in illorum gregem admittitur nisi virgo sit, aut monachus, aut continens, aut vidua. De patre, filio et spiritu sancto non eadem cum Origene sentit, quin potius et a patre filium revera genitum, et spiritum sanctum credit a patre procedere.

Quem quidem spiritum, quemadmodum supra in Melchisedecia- Cap. III.
norum haeresi docuimus, Melchisedecum esse sibi persuadet, pro
eo quod scriptum est, *Pro nobis orat gemitibus inenarrabilibus.* Et Rom. 8, 26. Hebr. 7, 3.
quis ille tandem est? *Manet*, inquit, *sacerdos in aeternum.* Porro sacerdos in aeternum ideo manet ut orare possit. Hunc ipsum spiritum Abrahamo per illud tempus occurrisse putat. Est enim, inquit, filio similis; quare ab apostolo dicitur *esse sine patre, sine matre, sine genealogia. Sine matre*, quod omnino nullam habuerit; *sine patre,* quod eum in terra non habuerit; *similis vero filio dei factus manet sacerdos in aeternum.* Praeter haec multa alia de spiritu sancto garriens fusissimam de eo disputationem instituit. Sed praecipuum opinionis suae firmamentum ex libro quodam qui Anabaticus Isaiae inscriptus est, arcessit, quo in libro sic loquitur: *Ostendit mihi angelus de omnibus coram me, et ostendit mihi, et dixit, Quis est ad dexteram dei? Et dixi, Tu scis, domine. Tum ille, Hic est dilectus. Et quis est alter ei similis qui a sinistra venit, et dixi, Tu nosti; hic est spiritus sanctus, qui in te loquitur et in prophetis. Et*

scripturae testimonium dedit Nicetas Thes. Orthod. Fidei IV, 34. Cornarius et Petavius ediderunt περὶ πάντων. *Et tamen verterat Cornarius* obambulans angelus coram me.

4. εἶπα *Nicetas l. l., et ed. Petav.* εἶπε *codd. Rhedig. et Ien.*

5. εἶπα *Nicetas l. l., et ed. Petav.* εἶπε *liber scriptus uterque.*

σοὶ, καὶ ἐν τοῖς προφήταις· καὶ ἦν, φησὶ, ὅμοιον τῷ ἀγαπητῷ. Ἐκ τούτου βούλεται συνιστᾶν τὸ εἰρημένον, [6] Ἀφωμοιωμένος τῷ υἱῷ τοῦ Θεοῦ μένει ἱερεὺς εἰς τὸ διηνεκές.

Πόσα τοίνυν δυνήσεται ὁ ἡμέτερος νοῦς καὶ περὶ τούτου διαλαμβάνειν πρὸς ἀντίθεσιν τῆς αὐτοῦ πολλῆς παραπεποιημένης διανοίας; Οὗτος δὲ γηραλέος ἐτελεύτα. Συνεγράψατο δὲ Ἑλληνικῶς τε καὶ Αἰγυπτιακῶς, ἐξηγησάμενος καὶ συντάξας τῆς ἑξαημέρου μύθους τινὰς πλασάμενος, καὶ κομπώδεις ἀλληγορίας· εἰς ἄλλα δὲ [7] ποσὰ ἀπὸ τῆς γραφῆς συνέταξε, ψαλμούς τε πολλοὺς νεωτερικοὺς ἐπλάσατο. Ἐμψύχων τε πολλοὶ ἐξ αὐτῶν οὐ μετέχουσι τῶν [8] ἀληθινῶν αὐτῶν τοῦ δόγματος. Ὁ δὲ Ἱέρακας αὐτὸς τῷ μὲν ὄντι πολλὴν εἶχε τὴν ἄσκησιν, οἱ δὲ μετ' αὐτὸν αὐτοῦ μαθηταὶ καθ' ὑπόκρισιν. Ἐκεῖνος μὲν ἀπείχετο πάντων βρωμάτων, καὶ ἠσκεῖτο, καὶ ἀπὸ οἴνου. Φασὶ δέ τινες περὶ αὐτοῦ ὅτι ὑπὲρ ἐνενήκοντα ἔτη βιώσας ἕως τῆς ἡμέρας ἧς ἐτελεύτα ἐκαλλιγράφει. Καλλιγράφος γὰρ ἦν. Ἔμενε γὰρ αὐτοῦ [9] συνεστὼς ὁ ὀφθαλμός.

Κεφ. δ'. Φέρε δὲ διασκοπήσωμεν καὶ τὰ τούτου ζιζάνια, ποίᾳ διανοίᾳ λόγου θεϊκοῦ συνάψωμεν καὶ ἐξαφανίσωμεν τόδε ἰοβόλον τοῦτο ἑρπετὸν, σκορπίου δίκην [1] τῶν ἔμπροσθεν καὶ κατόπιν παῖον, ἀπὸ δύο διαθηκῶν ἑαυτῷ ἐπισωρεῦον τὰ πρὸς βλάβην, οὐχ ὡς ἔχουσιν οἱ θεῖοι λόγοι, ἀλλ' ὡς ἡ παραπεποιημένη [2] αὐτοῦ ἔννοια τὰ φωτεινὰ σκοτεινῶς διενοεῖτο. Οὐ μεμπτὸν γὰρ τὸ μέλι, οὔτε [3] πικρὸν αὐτὸ, οὐδὲ αἱ ἐδωδαὶ ἐκ Θεοῦ ἐκτισμέναι αἱ καλλίους, διδόμεναι δέ τινι πυρέττοντι πικραὶ ἐν τῷ στόματι [4] αὐτοῦ φαίνονται, οὐ τῶν ἡδέων πεπικραμμέpag. 713. νων, ἀλλὰ τοῦ γεύματος τοῦ πυρέττοντος πικραίνοντος τὰ αὐτῷ διδόμενα. Οὕτω καὶ πᾶς τις ἀπὸ τῆς ἀληθείας πεσὼν οὐκ ἀπὸ τῆς ἀληθείας ἠπάτηται, ἀλλὰ τὴν ἀλήθειαν πικροῖς διανοήμασιν ἐγεύσατο, καὶ εἰς [5] πικρίαν αὐτῷ μετεβλήθη. Ἴδωμεν δὲ περὶ τῶν [6] παίδων τί εἴπωμεν περὶ τῶν ἀποκτανθέντων εὐθὺς ἐν Βηθλεὲμ τῆς Ἰουδαίας διὰ Χριστόν; ἆρα βασιλείας οὐρανῶν εἰσιν ἀμέτοχοι [7] οἱ τοιοῦτοι, ἢ με-

6. *Libri scripti et ed. princ. habent* ἀφομοιούμενος.

7. *Sic emendavit Petav. Libri habent* πόσα. *Mea suspicio est* ὁπόσα.

8. *Haec verba corrupta sunt. Rescribo* τῶν μαθητῶν αὐτοῦ τοῦ δόγματος.

9. συνετὸς *cod. Rhedig.*

Cap. IV. — 1. τῶν *uncinis notavit Petavius. Retineo, aptum faciens hunc genetivum a voc.* δίκην, *ut genetivum* σκορπίου *a* τῶν ἔμπρ. καὶ κατόπιν. *Quamquam facile esset corrigere* δίκην ἐκ τῶν *cett. Pro* ἐπισωρεῦον *vulgo exstat* ἐπισωρεύων.

2. *Ita libri scripti, non* αὐτῶν, *ut est in editis. Quamquam Cornarium video translulisse* ipsius.

erat, inquit, similis dilecto. Ex hoc loco illam scripturae sententiam confirmare nititur, *Assimilatus filio dei manet sacerdos in perpetuum.* Hebr. 7, 3.

Verum quam multa de hoc argumento excogitare mens nostra potest, ac disputando complecti, quibus depravata illius intelligentia ac sententia refellatur! Ceterum iste extrema senectute mortuus est, ac Graeca Aegyptiacaque lingua quamplurima scripsit. Inter cetera commentarios et lucubrationes de opere sex dierum, quibus fabulas nonnullas et vanissimas allegorias commentus est. Necnon et alia quaedam ex sacris deprompta literis, quibus et psalmos quosdam novitios a se conditos adiecit. Qui illius sectam vere et ex animo profitentur, plerique ab animatis abstinent. Nam quod ad Hieracam ipsum pertinet, severam admodum vitae disciplinam adhibuit. Sed qui post illum extitere discipuli nihil praeter simulationem habuerunt. Constat illum ab eduliis omnibus sibi temperasse, adeoque severe vixisse ut et vino careret. Auctores nonnulli sunt ultra annos nonaginta vixisse, et ad extremum vitae tempus libros antiquarii more scripsisse. Librarius enim et quidem peritus fuit, nec oculus ei caligavit.

Cap. IV. Nunc ab eo disseminata zizania consideremus, quanam videlicet divini verbi sententia venenatum hunc serpentem constringere atque extinguere possimus, qui scorpii instar anteriori posteriorique parte ferit, hoc est ex utroque testamento quae sunt nocitura colligit; quae non eo sensu accipit quo in divinis literis produntur, sed pro eo ac perversa mens illius quae clarissima ac perspicua sunt obscure ac tenebricose capiebat. Neque enim vituperandum mel aut amarum est, nec exquisitissimi quique cibi, quorum auctor deus est, iidem tamen, si febri laborantibus dederis, amari in illorum ore videbuntur; non quod illorum suavitas amaritudine ulla suffusa sit, sed quod aegrotorum gustus iniucundo illo sapore oblatos cibos infecerit. Ita quisquis a veritate aberrat, nequaquam ab ea in fraudem inductus est. Sed ad veritatem degustandam velut amaros animi sensus attulit, ideoque et in amaritudinem veritas est illi conversa. Sed ut de puerulis potissimum agamus, quid de illis dicemus qui in Matth. 2, 16.
Bethleem Iudaeae subinde propter Christum occisi sunt? Quaero utrum necne coeleste regnum consecuti sint? Enimvero consecuti

3. *Reposui* πικρὸν αὐτὸ *pro* πικρότατον, *cum Gatakero Advers. Miscell. cap.* 36. *pag.* 810., *quem vide, si lubet.* *Quamquam hoc quoque loco Cornarius vertit* in ore ipsius.

4. αὐτοῦ *codd. mss.* αὐτῶν *editi.*

5. *Editi habent* πικρίας.

6. *Editi habent* παιδίων.

7. οὗτοι *cod. Rhedig.*

τέχουσι; Μετέχουσι μὲν οὖν ὄντες ἄμεμπτοι. Εἰ γὰρ οὔκ εἰσι μέτοχοι, ἄρα παραίτιος αὐτῶν ὁ κύριος γεγένηται· δι' αὐτὸν γὰρ ἀπεκτάνθησαν. Εἰ δὲ ἀπεκτάνθησαν δι' αὐτὸν, μὴ φθάσαντες ἀγωνίσασθαι, μήτε λαβεῖν τὸ βραβεῖον, ἄρα ἡ αὐτοῦ παρουσία γενομένη μᾶλλον εἰς βλάβην τῷ κόσμῳ γέγονεν· ἐπειδὴ γὰρ αἰτία γέγονε τοῦ ἄωρα τὸν βίον τὰ βρέφη μεταλλάττειν τιμωρηθέντα, καὶ βασιλικῇ ἀπειλῇ ὑποπεσόντα, τοῦ μὴ φθᾶσαι εἰς ἀγῶνα, ὅπως κομίσωνται τὰ βραβεῖα.

Ἴδωμεν δὲ καὶ ἄλλας θεωρίας. Κάλει μοι Σαλομῶντα τὸν μακάριον καὶ σοφώτατον πρὸς ἔλεγχον τοῦ Ἱέρακα τούτου. Δεῦρο προφητῶν μακαριέστατε, ὁ λαβὼν παρὰ κυρίου χύμα καρδίας καὶ σοφίας, ὡς τὴν ἄμμον τὴν παρὰ τὸ χεῖλος τῆς θαλάσσης, τί ἂν περὶ τῶν παίδων φρονοίης; Καί φησι Γῆρας γὰρ τίμιον οὐ τὸ πολύχρονον, οὔτε ἀριθμῷ ἐτῶν μεμέτρηται. Πολιὰ δέ ἐστι φρόνησις ἀνθρώποις, καὶ ἡλικία γήρως βίος ἀκηλίδωτος, γενόμενος ἄμεμπτος, θεῷ ἠγαπήθη, καὶ ζῶν μεταξὺ ἁμαρτωλῶν μετετέθη, ἡρπάγη, μὴ ἡ κακία αὐτοῦ ἀλλάξῃ σύνεσιν, ἢ δόλος ἀπατήσῃ ψυχὴν αὐτοῦ· βασκανία γὰρ φαυλότητος ἀμαυροῖ τὰ καλὰ, καὶ ῥεμβασμὸς ἐπιθυμίας [8] μεταλλεύει νοῦν ἄκακον. Καὶ ὅτι μὲν οὖν περὶ παίδων λέγει, ἑξῆς ἐπιφέρει λέγων, Τελειωθεὶς ἐν ὀλίγῳ ἐπλήρωσεν, ἵνα εἴπῃ, Τελευτήσας νέος ἐπλήρωσε χρόνους μακρούς. Ἀρεστὴ γὰρ ἦν κυρίῳ ἡ ψυχὴ αὐτοῦ, διὰ τοῦτο ἔσπευσεν ἐκ μέσου πονηρίας. Καὶ τῷ Ἱερεμίᾳ φησὶ ὁ κύριος, Πρὸ τοῦ με πλάσαι σε ἐν κοιλίᾳ, ἐπίσταμαί σε, καὶ πρὸ τοῦ ἐξελθεῖν σε ἐκ μήτρας, ἡγίακά σε.

Κεφ. ε'. Ἴδωμεν δὲ αὐτὸν τὸν σωτῆρα, τὸ ἀψευδὲς στόμα, τὸ γινώσκον τὰ πάντα· δεῦρο, κύριε, βοήθει τῇ διανοίᾳ ἡμῶν, ἔλεγξον δὲ τὸν Ἱέρακα, καὶ τὴν [1] αὐτοῦ προπέτειαν. Προςῆλθον αὐτῷ, φησὶ, τὰ παι-
pag. 714. δία, ἵνα θῇ χεῖρας ἐπ' αὐτὰ, καὶ εὐλογήσῃ· οἱ δὲ μαθηταὶ ἀπωθοῦντο αὐτὰ, καὶ ἐκώλυον· ὁ δὲ πρὸς αὐτοὺς ἔφη, Ἄφετε τὰ παιδία, καὶ μὴ κωλύετε αὐτὰ ἐλθεῖν πρός με, τῶν γὰρ τοιούτων ἐστὶν ἡ βασιλεία τῶν οὐρανῶν. Καὶ ἵνα μὴ μόνον παιδαρίων νοηθῇ ἡ βασιλεία τῶν οὐρανῶν, καὶ οὐχὶ ἐπὶ πᾶσαν ἡλικίαν, ἀπ' αὐτῶν μὲν τὴν ἀρχὴν ἄρχεται, τοῖς δὲ ὁμοίοις αὐτῶν δεδώρηται μετ' αὐτῶν ἔχειν τὴν κληρονομίαν. Εἰ γὰρ οἱ κατ' αὐτοὺς βασιλεύειν ἔχουσι, πόσῳ γε μᾶλλον οἱ ἀρχέτυποι τῶν κατ' αὐτοὺς ὑπαρχόντων; Καὶ πέπτωκεν αὐτοῦ ὁ μυθώδης λόγος. Πάντας γὰρ ἐλεεῖ ὁ κύριος. Φυλάσσων γὰρ τὰ νήπια ὁ κύριος. Καὶ, Αἰνεῖτε, παῖδες, κύριον. Καὶ τὰ παιδία ἐκήρυξαν, Ὡσαννὰ ἐν τοῖς ὑψίστοις, εὐλογημένος ὁ ἐρχόμενος ἐν ὀνόματι κυρίου·

8. *Corrige* μεταλλοιοῖ.

Cap. V. — 1. αὐτοῦ *dedi pro vul-*

illi sunt, utpote labis omnis expertes. Nisi enim illud obtinuerint, tantum illis malum dominus consciverit, cuius caussa necati sunt. Quod si ob eundem prius interfecti sunt quam in certamen descenderent ac praemium assequerentur, consequens est illius adventum mundo potius detrimentum attulisse, quoniam quidem caussam illis praebuerit cur et immatura morte vitam per supplicia profunderent, et regio nihilominus interdicto a certamine perinde ac praemio prohibiti fuerint.

Sed et alia praeterea videamus. Prodeat ad Hieracam illum refutandum beatus ac sapientissimus ille Salomon. Ades igitur, prophetarum beatissime, qui a domino *tantam cordis ac sapientiae lati-* 3. Reg. 4, 29.
tudinem nactus es quanta est arenarum in maris litore, dic nobis quae tua sit de pueris opinio, Hic igitur, *Senectus*, inquit, *venerabilis,* Sap. 4, 8.
non longaeva, nec annorum numero computata; canities vero prudentia est hominibus, et aetas senectutis vita immaculata. Cum sine reprehensione esset, a deo dilectus est, et vivens inter peccatores translatus est, raptus est, ne malitia mutaret intellectum, aut dolus deciperet animam ipsius. Fascinatio quippe nugacitatis obscurat bona, et inconstantia concupiscentiae transvertit mentem sine malitia. Ut autem de pueris loqui illum appareat, statim adiicit, *Consummatus in brevi explevit;* quasi dicat, mortuus iuvenis implevit tempora multa. *Placita enim erat domino anima illius; propterea festinavit eum educere de medio malitiae.* Quin et apud Hieremiam dominus, *Antequam,* Hier. 1, 5.
inquit, *in utero formarem te, novi te, et antequam exires de vulva, sanctificavi te.*

Sed ad salvatorem ipsum, et os illud expers mendacii omnium- Cap. V.
que rerum cognitione praeditum veniamus. Adsis igitur, o domine! et intelligentiae nostrae opem ferens Hieracam illum eiusque temeritatem argue. *Accesserunt*, inquit, *ad illum pueruli, ut manus il-* Matth. 19, 13.
lis imponeret ac benediceret: discipuli vero repellebant illos, et prohibebant; ipse vero dixit illis, Sinite parvulos, et ne prohibete illos venire ad me: talium enim est regnum coelorum. Sed ne puerulorum tantummodo, ac non reliquae aetatis, coeleste regnum esse crederemus, sic ab illis exorsus est ut communem cum iis hereditatem illorum similibus tribueret. Iam vero si his ipsis qui proxime ad illos accesserint coeleste regnum promittitur, quanto id ipsi magis assequentur quorum ad exemplar ac archetypum expressi sunt alii? Adeo nullus istius fabulae locus est relictus. Omnium quippe miseretur dominus: *Custodiens enim parvulos dominus.* Item: *Laudate* Ps. 114, 6. Ps. 112, 1.
pueri dominum. Deinde praedicatum illud a pueris est, *Ozanna in* Matth. 21, 9.

gata αὐτῶν. *Scripturam annotavit Fr. Schottus ex scripto libro nescio quo.*

καὶ, Ἐκ στόματος νηπίων καὶ θηλαζόντων κατηρτίσω αἶνον. Καὶ πόσα ἐστὶ [2] τὰ τοιαῦτα;

Κεφ. ς'. Περὶ δὲ σαρκὸς ἀναστάσεως, πῶς οὐχὶ σαρκὸς ἔσται ἀνάστασις, ὦ ἐθελόσοφε Ἱέρακα. Αὐτὴ γὰρ ἡ ὀνομασία τῆς φράσεως δείκνυσι τὴν δύναμιν. Ἀνάστασις γὰρ οὐ καλεῖται τοῦ μὴ πεπτωκότος. Ποῖον δέ ἐστι τὸ πεσόν; ποῖον τὸ ταφέν; ποῖον τὸ λυθὲν, ἀλλ' ἢ τὸ σῶμα; καὶ οὐχ ἡ ψυχή. Ψυχὴ τοίνυν οὐ πίπτει, οὔτε θάπτεται. Καὶ πόσα ἐστὶ περὶ τούτου λέγειν; ψυχῆς γὰρ οὐ καλεῖται ἀνάστασις, ἀλλὰ σῶμά ἐστι τὸ ἐγειρόμενον. Περὶ δὲ τῆς ἀναλογῆς [1] ἧς ἦλθεν ὁ σωτὴρ ἀναλέξασθαι παρθενίαν καὶ ἐγκράτειαν καὶ ἁγνείαν, τίνι οὐκ ἔστι δῆλον ὅτι ἔστιν ἐκλογὴ καὶ τῆς ἁγίας καθολικῆς καὶ ἀποστολικῆς ἐκκλησίας καύχημα [2] καὶ κατὰ τοὺς ἐν σεμνῷ γάμῳ; ἕκαστον γὰρ κατὰ τὸ ἴδιον τάγμα σώζειν εἴωθε. Πῶς γὰρ οὐκ ἔσται τίμιος ὁ γάμος, καὶ ἐν Θεῷ ἔχων τὴν τῶν οὐρανῶν βασιλείαν, ὁπότε κέκληται ὁ σωτὴρ εἰς γάμους, ἵνα εὐλογήσῃ γάμον; εἰ μὲν γὰρ παρῃτήσατο εἰς γάμον εἰςιέναι, ἄρα γάμου ἦν καταλύτης, καὶ οὐκ ἀποδεχόμενος ἕκαστον κατὰ συγγνώμην τῆς αὐτοῦ ἀσθενείας. Τίμιος τοίνυν ὁ γάμος, ὅτι αὐτὸς αὐτὸν ὥρισε. Διὸ παραγίνεται εἰς γάμον, ἵνα φράξῃ τὰ στόματα τῶν λεγόντων κατὰ τῆς ἀληθείας. Ἐκεῖ γὰρ πρῶτον σημεῖον ἐποίησεν ὁ Ἰησοῦς ἐν Κανᾷ τῆς Γαλιλαίας τὸ ὕδωρ οἶνον ποιήσας. Ὡς γὰρ ἀνέτειλεν ἀπὸ παρ-
pag. 715. θένου, ἵνα δείξῃ τὸ φῶς ἀπὸ παρθένου ἀνατεῖλαν τῇ οἰκουμένῃ, οὕτω καὶ τὸ πρῶτον σημεῖον εἰς γάμους πεποίηκεν ἐν Κανᾷ τῆς Γαλιλαίας, ἵνα τὴν μὲν παρθενίαν τιμήσῃ διὰ [3] τῆς ἀποκυήσεως, καὶ φωτὸς βολῆς τῆς δι' αὐτῆς ἀνατειλάσης, τὸν δὲ σεμνὸν γάμον τιμήσῃ διὰ τῶν θεοσημείων, ἐν τοῖς γάμοις πρῶτον ἐπιτελέσας, τὸ ὕδωρ εἰς ἄκρατον μεταβαλών. Ὡσαύτως δὲ εἰ ἀλλότριος ἦν ὁ γάμος, πῶς παραγγέλλει ὁ τῶν ἐθνῶν διδάσκαλος; ὡς λέγει, Νεωτέρας χήρας παραιτοῦ· μετὰ γὰρ τὸ καταστρηνιάσαι τοῦ Χριστοῦ γαμεῖν ἐθέλουσιν, ἔχουσαι κρίμα, ὅτι τὴν πρώτην πίστιν ἠθέτησαν; Τί οὖν φησι; Ἀλλὰ γαμείτωσαν, τεκνογονείτωσαν, οἰκοδεσποτείτωσαν. Εἰ τοίνυν ταῦτα παραδέχεται, πῶς παρὰ σοὶ, Ἱέρακα, ὁ γάμος ἐστὶν ἐκβαλλόμενος μετὰ τὴν ἔνσαρκον Χριστοῦ παρουσίαν;

2. τὰ *non extat in edit. Petavii Colon.* Cap. VI. — 1. *Vide ne sit rescribendum* ᾗ.

excelsis: benedictus qui venit in nomine domini. Item: *Ex ore infantium et lactentium perfecisti laudem.* Mitto alia eius generis infinita. Ps. 8, 3.

Ad carnis vero resurrectionem quod attinet, nonne convenire illa carni debet, o vanissime Hieraca, tum et ipsa loquendi ratio satis vim illius arguat? Etenim resurrectio de eo non dicitur, quod minime ceciderit. Quidnam igitur illud est quod cecidit, quod sepultum est atque dissolutum, praeterquam corpus? Neque enim de anima dici istud potest, quae neque cadere neque separari potest. Plura alia de ea re disputari possunt, sed haec summa esto, resurrectionem nequaquam animae tribui, sed corpus esse quod resurgit. Quod vero de electione plura dicit, qua salvator virginitatem, continentiam et castimoniam elegit, quis hoc non intelligit, de eodem delectu gloriari quoque sanctam catholicam et apostolicam ecclesiam? Sed eadem nihilominus et eos quoque qui honestis nuptiis illigati sunt pro sui conditione status, ad salutem pervenire posse non dubitat. Nam *venerabiles esse nuptias*, ac dei aspirante gratia coeleste regnum obtinere, quis vel ex eo non agnoscat quod ad nuptias invitatus salvator ipse fuerit, ut iis benediceret? Quod si tum nuptiis interesse noluisset, earumdem eversor fuisset, nec unumquemque pro sua imbecillitate benigne atque indulgenter admittere putaretur. Quamobrem *venerabiles nuptiae sunt*, cum eas ipse constituerit. Ideoque et adesse iisdem voluit, ut eorum ora praecluderet qui contra veritatem disputant. Quin et illic apud Canam Galilaeae *primum signum fecit et in vinum aquam convertit.* Nam ut ortus ex virgine fuerat, ut orbi terrarum excitatam ex virgine lucem ostenderet, ita et primum miraculum nuptiarum in gratiam apud Canam Galilaeae facere voluit. Quo nimirum et virginitati suum illo partu, lucisque quae ex illa prodierat emissione honorem tribueret, et honestas nuptias prodigiis ac miraculis illustraret, quibus primum mutanda in vinum aqua miraculum est molitus. Ad haec si abalienandae forent ab eo nuptiae, quorsum ita gentium magister praeciperet: *Iuniores viduas reiice; postquam enim luxuriatae fuerint in Christum, nubere volunt, habentes iudicium, quoniam primam fidem irritam fecerunt.* Quid igitur iubet? *Nubant,* inquit, *filios procreent, matres familias sint.* Quae cum apostoli auctoritate comprobentur, cur a te, o Hieraca, post Christi domini adventum in carne nuptiae condemnantur?

Cap. VI. — Hebr. 13, 4. — Ioann. 2. — 1. Timoth. 5, 11.

2. καὶ κατὰ τοὺς *reposui pro eo quod libri praebent omnes* καὶ τοὺς. *Petavius volebat* καὶ τοῖς.

3. τῆς *desideratur in edit. Petav. Colon. repet.*

Κεφ. ζ'. Περὶ δὲ τοῦ Μελχισεδὲκ, [1] ὅτι φάσκεις ὅτι αὐτός ἐστι τὸ πνεῦμα, τοίνυν ἦλθε τὸ πνεῦμα καὶ ἔλαβε σάρκα; οὐκέτι οὖν ὁ μονογενὴς μόνος γεγένηται κατὰ σάρκα, ἀλλὰ καὶ τὸ πνεῦμα. Εἰ δὲ γεγένηται κατὰ σάρκα τὸ πνεῦμα, ἰδοὺ ἡ Μαρία ἡ γεννήσασα τὸν σωτῆρα, λεγέτω Ἱεράκας ποῦ ἐστιν ἡ γεννήσασα τὸ πνεῦμα. Καὶ τὸ εἰπεῖν, Ἀφωμοιωμένος τῷ υἱῷ τοῦ θεοῦ μένει ἱερεὺς εἰς τὸ διηνεκὲς, [2] οὐκ ἔστι περὶ πνεύματος ἁγίου ὁ λόγος· οὐ γὰρ εἶπεν Ὅμοιον τῷ υἱῷ τοῦ θεοῦ, ἀλλὰ Ἀφωμοιωμένον. Τὸ δὲ Ἀφωμοιωμένον μετέπειτα ἔχει τὴν ἀγωγήν. Εἰ δὲ μετὰ τὸν χρόνον τοῦ Ἀβραὰμ τὸ πνεῦμα ἀφομοιοῦται τῷ Χριστῷ, ἄρα οὐκ ἦν ποτε, καὶ διὰ τοῦτο ἀφομοιοῦται τῷ υἱῷ τοῦ θεοῦ. Καὶ ἀπάτωρ πῶς δύναται εἶναι; εἰ μὲν γὰρ αὐτὸ [3] ὑπάρχον ἐστὶ τὸ πνεῦμα, καὶ οὐκ ἔστιν ἐκ τῆς οἰκείας οὐσίας τῆς θεότητος, εἰκότως ἀπάτωρ δειχθείη· καὶ γὰρ τῷ μὲν ὄντι μονογενὴς ὁ υἱὸς καὶ ἀδελφὸν οὐκ ἔχει, υἱὸς δὲ θεοῦ. Ἀλλὰ κἄν τε οὐ λέγομεν τὸ πνεῦμα γεννητὸν, ἐπειδὴ μονογενὴς ὁ υἱὸς, ἀλλὰ πνεῦμα τοῦ πατρὸς ἐκπορευόμενον, καὶ τοῦ ἐμοῦ [4] λαμβάνον, φησὶ ὁ Χριστὸς, τὸ γοῦν ἐκ τοῦ πατρὸς ἐκπορευόμενον καὶ τοῦ ἐμοῦ [5] λαμβάνον ἀπάτωρ οὐ δύναται εἶναι. Κἂν δὲ εἴπῃ Ἀμήτωρ ἐν οὐρανῷ, καὶ ἀπάτωρ ἐπὶ τῆς γῆς (δύναται γὰρ τοῦτο καὶ ἐπὶ τοῦ σωτῆρος λέγεσθαι), πῶς οὖν ἐπὶ τέλει ὁ ἀπόστολος φράζει λέγων, Ὁ δὲ μὴ γενεαλογούμενος ἐξ αὐτῶν δεδεκάτωκε τὸν Ἀβραὰμ τὸν πατριάρχην. Τὸ γὰρ Ἐξ αὐτῶν ἀκρι-
pag. 718. βείας ἐστὶ δηλωτικόν· ὁπότε γὰρ ἐκ τῶν υἱῶν Ἰσραὴλ μὴ γενεαλογούμενος ἐξ ἄλλων πάντως ἐθνῶν εἶχε τὴν γενεαλογίαν. Διὰ δὲ τὸ μὴ γεγράφθαι τὴν [6] αὐτοῦ μητέρα ἢ πατέρα ἄλλα ἀντὶ ἄλλων φαντάζονται οἱ συκοφάνται τῆς ἀληθείας. Ἡμεῖς δὲ καὶ τὴν μητέρα αὐτοῦ ἐν παραδόσεσιν εὕρομεν, καὶ τὸν πατέρα. Ἦν γὰρ οὗτος τῶν γενῶν [7] Σιδῶνος καὶ τῶν Χαναναίων. Διέπεσε τοίνυν ὁ μυθώδης αὐτοῦ λόγος, καὶ μάτην αὐτοῦ καὶ ἡ πολιτεία. Οὐ γὰρ τὸ ἀψύχοις ἀσκεῖσθαι μετὰ κακοπιστίας τοῦτο ζωῆς ἐστι καὶ ἐλπίδος διδασκαλεῖον [8] σωτηρίας. Πάντα γὰρ, φησὶ, εἰς δόξαν θεοῦ γινέσθω.

Κεφ. η'. Ἀλλὰ περὶ τούτων καὶ αὐτῷ ἀρκεῖσθαι ἡγοῦμαι. Συνετρίψαμεν γὰρ τοῦ σκορπίου τὰς πτέρυγας, καὶ κατεσπάσαμεν αὐτοῦ τὰς δυνάμεις. Ὄφις γὰρ πτερωτὸς οὗτος καὶ σκόρπιος, πτέρυγας ἔχων κατὰ πολλοὺς τρόπους, καὶ πετόμενος, καὶ μιμούμενος μὲν τῆς ἐκκλησίας τὴν παρθενίαν, οὐκ ἔχων δὲ καθαρὰν τὴν συνείδησιν. Ἐπὶ γὰρ τού-

CAP. VII. — 1. *Particula* ὅτι *excidit ab edit. Petav. Colon. repet.*
2. οὐκέτι περὶ *ed. Petav.*
3. *Libri habent* ὑπάρχων.
4. *Libri habent* λαμβάνων.
5. *Libri habent* λαμβάνων.

De Melchisedeco quod asseris, spiritum illum esse sanctum, Cap. VII.
id si verum est, venisse spiritum et carnem induisse, non solus uti-
que secundum carnem natus est filius, sed et cum eo quoque spiri-
tus. Quod si secundum carnem natus est et spiritus, cum Maria
salvatorem ediderit, dicat nobis Hieracas ubinam gentium ea sit
quae spiritum pepererit? Nam quod apostolus dicit, *Assimilatus* Hebr. 7, 3.
filio dei manet sacerdos in aeternum, nulla est illic de spiritu sancto
mentio. Non enim similem illum filio dei, sed assimilatum esse di-
xit. Quae vox *Assimilatus* posterius quiddam ut intelligamus indu-
cit. Ac si post Abraami tempora Christo spiritus assimilatur, ali-
quando non extiterit oportet, ut propterea dei filio similis sit factus.
Iam sine patre esse qui potest? Nam si per sese esse spiritus, nec
10. *Libri habent solum* ἰδίων. ὡς ἐξ ἰδίων *emendatio est Petavii. Magis probabile mihi videtur* ὡς δι' ἰδίων. *Praeterea non est silentio praetereundum in cod. Rhedig. inde a verbis* τε καὶ πάσης *usque ad* βασιλέων *primae manus scripturam erasam, quaeque postea ab eadem sunt superposita multo maioris esse spatii.*

pag. 726. *Ἀθανασίῳ), καὶ καθέζεται πάλιν εἰς τὸν θρόνον, μετὰ τὸν διαδεξάμενον αὐτὸν ὑπὸ τῶν Ἀρειανῶν πεμφθέντα Γρηγόριον, ὅτε ἦν ἐν τῇ ἐξορίᾳ Ἀθανάσιος.*

Κεφ. κ'. *Πάλιν δὲ συνεσκευάσθη πρὸς Κωνστάντιον ἀπὸ τῶν περὶ Στέφανον, καὶ ἐξεώθη. Καὶ μετέπειτα πάλιν συνεσκευάσθη ἀπὸ τῶν περὶ Λεόντιον τὸν ἀπόκοπον καὶ [1] τῶν ἅμα αὐτοῖς. Ἔνθεν ἐγίνετο αὐτὸν ἐκβάλλεσθαι καὶ πάλιν εἰςφέρεσθαι. Γεώργιος γὰρ ὑπὸ Κωνσταντίου ἀποστέλλεται, καὶ ὑποχωρεῖ Ἀθανάσιος, κρυβεὶς χρόνον τινὰ, ἕως ὅτε ὁ Γεώργιος ἀνῃρέθη, ἐν ᾧ χρόνῳ ἐβασίλευσεν Ἰουλιανὸς, καὶ εἰς Ἑλληνισμὸν ἐτράπη μετὰ τὴν [2] τελευτὴν Κωνσταντίου. Ἀλεξανδρέων γὰρ μῆνιν τηρησάντων τῷ Γεωργίῳ, τοῦτον ἀπέκτειναν, καὶ καύσαντες καὶ τέφραν ποιήσαντες, εἰς ἀνέμους ἐσκόρπισαν. Ἀποθανόντος δὲ τοῦ Ἰουλιανοῦ ἐν τῇ Περσίδι, καὶ διαδεξαμένου τὸ βασίλειον Ἰοβιανοῦ τοῦ μακαρίτου, μετὰ πολλῆς τιμῆς καὶ ἀξιοπίστων γραμμάτων γράψαντος τῷ ἐπισκόπῳ Ἀθανασίῳ, καὶ μεταστειλαμένου, περιπτυξαμένου τε αὐτὸν, καὶ ἀποστείλαντος εἰς τὸν ἴδιον θρόνον, πάλιν ἀπολαβούσης τῆς ἁγίας ἐκκλησίας τὸν ἐπίσκοπον, καὶ πρὸς ὀλίγον παρακληθείσης, τελευτήσαντος τοῦ Ἰοβιανοῦ ἐν τοῖς αὐτοῖς πάλιν ὁ μακάριος Ἀθανάσιος διωγμοῖς καὶ φήμαις καὶ ταραχαῖς ἐφέρετο. Οὐ μὴν ἀπὸ τῆς ἐκκλησίας καὶ τοῦ θρόνου μετεκινήθη, Ἀλεξανδρέων [3] δὴ πρεσβευσαμένων ὑπὲρ αὐτοῦ, καὶ πάσης τῆς πόλεως ἀξιωσάσης [4] μετὰ τὸ τὸν Λούκιον, καὶ [5] τὸ νῦν Ἀρειανὸν, κατασταθῆναι ἐπὶ ξένης, τάχα δὲ [6] ἐν Ἀντιοχείᾳ, καὶ πολλάκις παρακαλέσαντα τὸν βασιλέα Οὐάλεντα ἀποσταλῆναι εἰς τὸν τῆς Ἀλεξανδρείας θρόνον, καὶ αὐτοῦ διὰ τὴν τῶν λαῶν ταραχὴν μὴ βουληθέντος αὐτὸν ἐξεῶσαι. Πέρας γ' οὖν, ὅτε ἐτελεύτα ὁ πάπας Ἀθανάσιος, ἀπεστάλη Λούκιος, πολλὰ κακὰ ἐνδειξάμενος τῇ τε ἐκκλησίᾳ, τῇ τε πόλει, τοῖς λαοῖς, τοῖς ἐπισκόποις, τοῖς κληρικοῖς τοῖς ὑπὸ Ἀθανασίου οὖσι, καὶ αὐτὸν ἐν ἑκάστῃ ἐκκλησίᾳ [7] δεξαμένοις, καὶ Πέτρῳ τῷ μετὰ Ἀθανάσιον κατασταθέντι διαδόχῳ αὐτοῦ ἐν Ἀλεξανδρείᾳ.*

Ταῦτα ἕως τῆς δεῦρο πέπρακται, τῶν μὲν ἐξορισθέντων ἐπισκόπων τε καὶ πρεσβυτέρων καὶ διακόνων, ἄλλων δὲ [8] κεφαλικὴν τιμω-
pag. 727. *ρίαν ὑποστάντων ἐπὶ τῆς Ἀλεξανδρείας, ἑτέρων δὲ θηριομαχησάντων, παρθενευουσῶν δὲ ἀποκτανθεισῶν, καὶ πολλῶν ἄλλων ἀπολομένων. Ἐν τούτοις ἔτι δεῦρο φέρεται ἡ ἐκκλησία τοῦ θεοῦ, ἀπὸ τῆς προειρημένης ὑποθέσεως τῶν Μελητιανῶν καὶ τῶν Ἀρειανῶν, τῶν διὰ τοιού-*

Cap. XI. — 1. *Librorum vitium* τοὺς *correxi in* τῶν. *Etiam Cornarius vertit* a sodalibus ipsius.

2. τελευτὴν *om. cod. Rhedig.*, *qui a m. pr. habet* Κωνσταντίνου.

3. *Libri omnes habent* δὲ; *Petavio placuit* τε.

4. *Libri habent* μετὰ τὸν Λούκιον. *Petavio placuit* μετὰ τὸ Λούκιον.

5. *Libri habent* τὸν νῦν.

xandrinos et Athanasium ipsum literis didicimus. Ita ille sedi suae restitutus est, post Gregorium, quem exulanti Athanasio Ariani suffecerant.

Sed rursum novae illi turbae ac calumniae ab Stephano eiusque asseclis apud Constantium conflatae, quibus denuo de sede sua pulsus est. Iterumque Leontius eunuchus illum cum suis alia machinatione perculit, per quam eiectus, ac deinde restitutus est. Nam cum Georgius a Constantino missus esset, Athanasius fuga se subducens aliquamdiu delituit, donec Georgius interfectus est; quo tempore Iulianus imperabat, qui post Constantii obitum ad gentilium superstitionem desciverat. Etenim Alexandrini Georgium, vetere in illum odio concepto, occisum concremarunt, eiusque cineres in ventos sparserunt. Postea Iuliano in Perside mortuo Iovianus felicis memoriae successit. Qui honorificentissimis, fideique plenissimis, literis ad Athanasium scriptis ad sese illum evocans post humanissimos complexus ad sedem suam dimisit. Ita sancta ecclesia episcopo suo recepto nonnihil solatii habuit. Verum mortuo Ioviano iisdem rursum Athanasius periculis ac rumoribus et turbis conflictari coepit. Quamquam de ecclesia ac sede sua minime deiectus est. Nam Alexandrinorum civitas universa publicam pro illo legationem ac supplicationem decrevit, cum interim Lucius ex Ariana factione, qui hodieque sedet, peregrina in regione, ac nisi fallor Antiochiae, creatus episcopus multum apud imperatorem Valentem instaret, ut Alexandrinam ad sedem mitteretur, imperator vero popularem seditionem veritus expellere noluisset. Tandem vero post Athanasii mortem submissus est Lucius, qui ecclesiam, civitatem, plebem, episcopos ac clericos Athanasii fautores, et qui in singulis ecclesiis communionem cum illo retinebant, nec non et Petrum ipsum Athanasii successorem innumeris malis affecit. Cap. XI.

Haec sunt quae ad hodiernum usque tempus Alexandriae sunt gesta. Ubi episcopi, presbyteri et diaconi, partim relegati, partim capitali supplicio multati, partim ad bestias damnati, virgines porro sacrae cum plerisque aliis interfectae. Quae quidem calamitates etiamnum ecclesiam dei exercent, ex ea quam exposui Meletianorum et Arianorum coitione concitatae. Qui quidem Ariani

6. ἐν Ἀντιοχείᾳ *cod. ms. uterque et ed. princ., ut mirum sit quod Petavius, a cuius editione praepositio* ἐν *abest, in marg. libri sui eam supplendam esse censuerit.*

7. δεξαμένοις *emendatio est Petavii. Libri vulgo habent* διαδεξαμένοις. *Praepositio* διὰ *videlicet accrevit per errorem repetita ex terminatione* σια *vocabuli* ἐκκλησίας.

8. καὶ κεφαλικὴν *cod. Rhedig. in quo desideratur voc.* ὑποστάντων.

των τρόπων ἐσχηκότων τὴν στάσιν, καὶ τοῦ ἐνισχῦσαι [9] τὸ αὐτὸ σύστημα τῆς κακοδοξίας, φημὶ δὲ Ἀρειανῶν. Ἐν δὲ τῷ κατὰ Ἀρείου ἐλέγχῳ κατὰ λεπτὸν περὶ πάντων διηγησόμεθα. Ὑπερβήσομαι δὲ καὶ ταύτην τὴν ὑπόθεσιν, ἐπὶ δὲ αὐτὴν τὴν τῶν Ἀρειανῶν αἵρεσιν παρελεύσομαι, θεὸν ἐπικαλούμενος βοηθὸν τῷ φοβερῷ τούτῳ, καὶ πολυκεφάλῳ ἑρπετῷ πρὸς μάχην πελάζειν παρερχόμενος*.

ΚΑΤΑ ΤΩΝ ΑΡΕΙΟΜΑΝΙΤΩΝ,

τεσσαρακοστὴ ἐνάτη, ἡ καὶ ἑξηκοστὴ ἐνάτη.

Κεφ. α'. Τούτους τοὺς περὶ τὸν Μελήτιον καὶ τοῦ ἁγίου Πέτρου [1] Ἀλεξανδρείας ἐπισκόπου χρόνους καθεξῆς διαδέχεται Ἄρειος, καὶ οἱ ἀπ' αὐτοῦ Ἀρειανοὶ, ἐν χρόνοις ἀκμάσας Ἀλεξάνδρου τοῦ ἁγίου ἐπισκόπου, [2] τοῦ διαδόχου Πέτρου, τοῦ καθελόντος τὸν αὐτὸν Ἄρειον διὰ πολλῆς κινήσεως, καὶ [3] μεγάλων συνόδων. Ἀπεκίνησε γὰρ αὐτὸν καὶ ἐξέβαλε τῆς ἐκκλησίας τε καὶ τῆς πόλεως, ὡς μέγα κακὸν φοιτῆσαν τῷ βίῳ. Φασὶν δὲ αὐτὸν Λίβυν τῷ γένει, ἐν Ἀλεξανδρείᾳ δὲ πρεσβύτερον γεγονότα, ὃς προΐστατο τῆς ἐκκλησίας τῆς Βαυκάλεως οὕτω καλουμένης. Ὅσαι γὰρ ἐκκλησίαι τῆς καθολικῆς ἐκκλησίας ἐν Ἀλεξανδρείᾳ, ὑπὸ ἕνα ἀρχιεπίσκοπον οὖσαι, καὶ κατ' ἰδίαν ταύταις ἐπιτεταγμένοι εἰσὶ πρεσβύτεροι, διὰ τὰς ἐκκλησιαστικὰς χρείας τῶν οἰκητόρων, [4] πλησίων ἑκάστης ἐκκλησίας [5] αὐτῶν, καὶ ἀμφόδων, ἤτοι [6] λαυρῶν ἐπιχωρίως καλουμένων ὑπὸ τῶν τὴν Ἀλεξανδρέων κατοικούντων πόλιν. Ἐγένετο δὲ οὗτος ὁ Ἄρειος ἐν χρόνοις Κωνσταντίνου τοῦ μεγάλου καὶ μακαρίτου βασιλέως, υἱοῦ Κωνσταντίου γέροντος, γενομένου υἱοῦ Οὐαλεριανοῦ βασιλέως, καὶ αὐτῶν συμβασιλευσάντων Διοκλητιανῷ, καὶ Μαξιμιανῷ, καὶ τοῖς ἄλλοις. Πάντες δὲ τὸν [7] Κωνσταντῖνον, τὸν πατέρα τῶν περὶ Κωνστάντιον καὶ Κώνσταν καὶ Κρίσπον, ἴσασιν ἐκθειαζόμενον ἐν χριστιανισμῷ καὶ πίστει τῇ τῶν πατέρων,
pag. 728. ἀποστολικῇ τε καὶ προφητικῇ ἐν ταῖς ἐκκλησίαις, ἕως αὐτοῦ τοῦ Ἀρείου μὴ νοθευθείσῃ. Συμβέβηκε δὲ τοῦτον ἀποσχίσαι πλῆθος.

Κεφ. β'. Τὸν δὲ Ἄρειον τοῦτον πρεσβύτερον ὄντα Ἀλεξάνδρου τοῦ προειρημένου ὑπεισῆλθε πνεῦμα Σατᾶν, καὶ ἐπέσεισεν αὐτὸν, κατὰ τὸ γεγραμμένον, κατὰ τῆς ἐκκλησίας κονιορτὸν ἐγεῖραι, καὶ ἐξαφθῆναι ἐξ αὐτοῦ πῦρ οὐ τὸ τυχὸν, ὃ κατείληφε πᾶσαν τὴν Ῥωμανίαν σχεδὸν, μάλιστα τῆς ἀνατολῆς τὰ μέρη, ὡς ἔτι καὶ δεῦρο πολεμοῦσα ἡ αὐτοῦ

9. *Suspicor* τοῦτο τὸ. *Cornarius videtur coniectasse* τὸ αὐτῶν: *vertit enim* et quod ipsorum falsae opinionis congregatio praevaleret.

* *Subscriptum est in utroque cod. ms.* Τέλος τοῦ περὶ τοῦ (τοῦ *om. cod. Ien.*) μελιτίου σχίσματος τοῦ αἰγυπτίου.

Cap. I. — 1. ἀλεξάνδρου *cod. Rhedig.* ἀλεξανδρ *cod. Ien. Idem error observabatur supra haer.* 68, 4. *sq.*

2. τοῦ *om. cod. Rhedig.*

hac ratione stabiliti impii dogmatis factionem corroborarunt. Sed haec omnia in proxima adversus Arium disputatione accuratius erunt explicanda, ad quam praesenti narratione praeterita sermonem conferam, implorata prius ope dei quam cum horribili illo ac multicipiti serpente in certamen descendam.

CONTRA ARIOMANITAS,
quae est haeresis XLIX. sive LXIX.

Post superiora illa Meletii ac Petri Alexandrini episcopi tempora Arius Arianique proxime consequuntur. Ille sub Alexandro Petri successore floruit; a quo non sine magna commotione ingentique coacta synodo profligatus est. Alexander enim illum eiecit atque ex ecclesia et urbe, velut ingens quoddam malum, quod ad humani generis perniciem grassabatur, exterminavit. Ferunt illum ex Libya oriundum Alexandriae presbyterum esse factum, qui tum Baucalensis cuiusdam ecclesiae praefecturam gerebat. Etenim quotquot Alexandriae catholicae communionis ecclesiae sunt, uni archiepiscopo subiectae, suus cuique praepositus est presbyter, qui ecclesiastica munera iis administret, qui circa ecclesias illas habitant, eorumque conventicula vici, sive Laurae, ab Alexandrinis vulgo nominantur. Vixit autem Arius sub imperatore Constantino Constantii senioris filio, qui Valeriani imperatoris filius fuit, qui et ipsi cum Diocletiano et Maximiano, ac ceteris imperarunt. Nemo est vero qui nesciat Constantinum illum Constantii, Constantis et Crispi patrem in Christiana religione ac maiorum fide, hoc est apostolica et prophetica, plane admirabilem et divinum fuisse, quae fides ante Arium integra hactenus et incorrupta permanserat. Primus ille Christianum populum a se mutuo disiunxit. Cap. I.

Hunc igitur Arium Alexandri presbyterum Satanae spiritus invadens impulit ut (quemadmodum scriptum est) pulverem adversus ecclesiam excitaret, ex eoque haud mediocre incendium erumperet, quod universum propemodum Romanorum imperium, ac praesertim orientales illius partes corriperet; adeo ut etiam hoc tempore since- Cap. II.

3. μεγάλων συνόδων *codd. mss.* μεγάλης συνόδου *editi libri.*
4. *Suspicor* πλησίοι.
5. *Suspicor reponendum esse* τῶν κατ' ἀμφόδων.
6. λαβρῶν *codd. mss. et ed. princ. In ed. Petav. plane vitiose extat* λαβῶν.
7. χωνσταν (*vacuo spatio ad explendum nomen relicto*) *codex ms. uterque, et ed. princ.*

αἵρεσις τὴν ἀληθινὴν πίστιν καὶ τὴν ἐκκλησίαν οὐ διέλιπε. Κατὰ δὲ τὸν καιρὸν ἐκεῖνον ἐδόκει πρεσβύτερος εἶναι ὁ Ἄρειος, καὶ γεγόνασι πολλοὶ αὐτοῦ συμπρεσβύτεροι καθ' ἑκάστην ἐκκλησίαν. Εἰσὶ τοίνυν πλείους τὸν ἀριθμὸν ἐν τῇ Ἀλεξανδρείᾳ, σὺν τῇ νῦν κτισθείσῃ τῇ Καισαρείᾳ καλουμένῃ, ὃ πρότερον [1] Ἀδριανὸν ἐτύγχανεν, ὕστερον [2] Λικιννιανὸν γέγονε γυμνάσιον, εἶτουν βασίλειον. Μετέπειτα δὲ ἐν χρόνοις Κωνσταντίου ἔδοξεν αὐτὴν οἰκοδομηθῆναι ἐκκλησίαν, Γρηγορίου τοῦ Μελητιανοῦ καὶ Ἀρειανοῦ ἀρξαμένου, τελειώσαντος δὲ Ἀθανασίου τοῦ μακαρίου καὶ πατρὸς τῆς ὀρθοδοξίας, καυθείσης δὲ ἐπὶ Ἰουλιανοῦ, καὶ αὖθις ἀνακτισθείσης ὑπ' αὐτοῦ τοῦ μακαρίτου Ἀθανασίου τοῦ ἐπισκόπου. Ἄλλαι δέ εἰσι πλείους, ὡς ἔφην, Διονυσίου καλουμένη ἐκκλησία, καὶ ἡ τοῦ Θεωνᾶ, καὶ ἡ [3] Πιερίου καὶ Σεραπίωνος, καὶ ἡ τῆς Περσαίας, καὶ ἡ τοῦ [4] Διζύας, καὶ ἡ τοῦ Μενδιδίου, καὶ ἡ Ἀννιανοῦ, καὶ ἡ τῆς Βαυκάλεως, καὶ ἄλλαι. Ἐν μιᾷ δὲ τούτων Κόλλουθός τις ὑπῆρχεν, ἐν ἑτέρᾳ δὲ Καρπώνης, ἐν ἄλλῃ δὲ Σαρματᾶς, καὶ Ἄρειος οὗτος ὁ προειρημένος μίαν τῶν προειρημένων κατέχων ἐκκλησίαν. Ἕκαστος δὲ τούτων δῆλον κατὰ τὴν εἰθισμένην [5] σύναξιν τὸν αὐτῷ πεπιστευμένον λαὸν διδάσκων ἐν ταῖς ἐξηγήσεσιν ἔριν τινὰ ἐνέβαλον ἐν τῷ λαῷ. Καὶ οἱ μὲν προσεκλίθησαν Ἀρείῳ, ἕτεροι δὲ Κολλούθῳ, ἄλλοι δὲ Καρπώνῃ, ἕτεροι δὲ Σαρματᾷ. Ὡς οὖν ἐξηγεῖτο ἕκαστος ἐν τῇ ἰδίᾳ ἐκκλησίᾳ, ἄλλος [6] ἄλλοθι, καὶ ἄλλος ἄλλο, ἐκ τῆς [7] προσκλίσεως καὶ ἐπαίνου δὲ τοῦ παρ' αὐτῶν, οἱ μὲν Κολλουθιανοὺς ἑαυτοὺς ὠνόμασαν, ἄλλοι δὲ Ἀρειανούς. Καὶ γὰρ ὁ Κόλλουθός τινα παρατετραμμένα ἐδίδαξεν, ἀλλ' οὐκ ἐνέμεινεν ἡ τούτου αἵρεσις, ἀλλ' εὐθὺς διεσκορπίσθη· ὡς εἴθε καὶ ἡ τοῦ Ἀρείου ἐμβεβροντημένη πίστις, μᾶλλον δὲ ἀπιστία, [8] ἔτι δὲ μᾶλλον κακοπιστία.

Κεφ. γ΄. pag. 729. Ἐπάρματι γὰρ ἀρθεὶς ὁ γέρων τοῦ προκειμένου ἐξέστη. Ἦν δὲ [1] τὴν ἡλικίαν ὑπερμήκης, κατηφὴς τὸ εἶδος, ἐσχηματισμένος ὡς δόλιος ὄφις, ὑποκλέψαι δυνάμενος πᾶσαν ἄκακον καρδίαν, διὰ τοῦ αὐτοῦ πανούργου προσχήματος. Ἡμιφόριον γὰρ ὁ τοιοῦτος ἀεὶ καὶ κολοβίωνα ἐνδιδυσκόμενος, γλυκὺς ἦν τῇ προσηγορίᾳ, πείθων ἀεὶ ψυχὰς καὶ θωπεύων. Διόπερ αὐτίκα μάλα, τί γὰρ ἀλλ' ἢ ἑπτακοσίας παρθενευούσας τὸν ἀριθμὸν τῆς ἐκκλησίας ὑπὸ ἓν παρείλκυσε; καὶ ἀποσπᾶσαι τὸν αὐτὸν ἔχει λόγος πρεσβυτέρους τε ἑπτὰ καὶ διακόνους δώδεκα. Ἄχρι δὲ καὶ ἐπισκόπων εὐθὺς ἔφθασε τὸ αὐτοῦ δηλητήριον.

Cap. II. — 1. Ἀνδριανὸν cod. Ien. et editi libri. Ἀνδρειανὸν cod. Rhedig. et Paris. Cf. Casaub. in Spartian. p. 26.

2. λικινιανὸν (altero ν̄ eraso a m. sec.) cod. Rhedig.

3. Male convertit Petavius Pierii, Serapionis, cum ei dicendum esset Pierii et Serapionis. Ecclesia his sanctis dicata sita erat in regione quarta Alexandriae urbis. Baucalis, Persaeae et Dizyae templa, trans canalem sita, propius a Necropoli aberant, Theonae et Aniani erant in tertia, Dionysii in secunda, Mendidii in prima regione.

ram fidem et ecclesiam oppugnare haeresis illa non desinat. Per illud vero tempus presbyter Arius habebatur, ac multi in unaquaque ecclesia collegae illius erant presbyteri. Sane complures Alexandriae ecclesiae sunt, praeter eam quae nuper extructa Caesaria dicitur. Quae olim Adrianum, postea Licinianum gymnasium, sive Basilica fuit; deinde imperante Constantio aedificari in ea ecclesiam placuit. Idque opus a Gregorio Meletiano et Ariano inchoatum a beato Athanasio orthodoxae religionis parente ad exitum perductum est, et ab eodem postea, cum sub Iuliano deflagrasset, instauratum. Praeter hanc vero aliae sunt plures, ut diximus, velut Dionysii ecclesia, Theonae, Pierii, Serapionis, Persaeae, Dizyae, Mendidii, Anniani, Baucalis et ceterae. Harum unam Colluthus administrabat, aliam Carpones, aliam Sarmatas; sed et Arius iste unam ex commemoratis illis ecclesiam regebat. Cum autem singuli, commissum sibi populum per statos et solennes conventus publice docerent, dissensiones in vulgus sparserunt. Itaque alii ad Arium adhaeserant, alii ad Colluthum, alii Carponae, alii Sarmatae partes tuebantur; et cum in sua quisque ecclesia alius aliquid interpretando proponeret, prout in unumquemque favore ac laudatione propensiores erant, alii Colluthianos, Arianos alii sese nominabant. Quippe et Colluthus falsa quaedam ac depravata docuit; sed eius secta diuturna non fuit; statimque dissipata est. Quod utinam et Arii furiosae illi sectae, vel infidelitati potius, aut si mavis, pravae fidei contigisset!

Porro inflatus opinione sui senex ille a scopo veritatis excidit. Cap. III. Fuit hic proceriore statura, tristi oris specie, totaque corporis configuratione subdoli serpentes instar ad fraudem et fallaciam composita, ita ut callido illo externoque habitu facile simplicioribus animis obreperet. Nam hemiphorium et colobium indutus in colloquiis ac salutationibus blandus erat inprimis, atque omnium animos adulationum illecebris devinctos tenebat. Quare brevi septingentas fere deo consecratas virgines ab ecclesia abstractas in unum coëgit. Addunt et presbyteros ab eo septem ac duodecim diaconos abductos. Quinetiam subinde pestiferum illius virus ad episcopos usque perva-

4. διζὺ *cod. scriptus uterque.*
5. σύνταξιν *cod. Rhedig.*
6. *Sic emendandum erat. In libris enim vulgo extat* ἄλλος ἄλλο τι, καὶ ἄλλος ἄλλο.
7. προςκλίσεως *emendatio est Petavii. Libri habent* προςκλήσεως, *quod ferri vix potest.*
8. *Libri omnes habent* ἔστι, *quod correxi.*

Cap. III. — 1. τῇ ἡλικίᾳ *cod. Rhedig.*

Σεκοῦνδον γὰρ τὸν Πενταπόλεως, καὶ ἄλλους, ἔπεισεν ἅμα αὐτῷ συναπαχθῆναι. Ἐγίνετο δὲ ταῦτα ἐν τῇ ἐκκλησίᾳ, ἀγνοοῦντος τοῦ μακαρίου Ἀλεξάνδρου τοῦ ἐπισκόπου, ἕως ὅτε Μελήτιος ὁ τῆς Αἰγύπτου ἀπὸ Θηβαΐδος δοκῶν εἶναι, καὶ αὐτὸς ἀρχιεπίσκοπος, ὁ ἤδη μοι προειρημένος (οὔπω γὰρ τὰ κατὰ τὸν Μελήτιον εἰς ἔχθραν ἀτοπίας ἐλήλακε), ζήλῳ τοίνυν ἐνεχθεὶς ὁ Μελήτιος — οὐδὲν γὰρ ἦν διηλλαγμένος τῇ πίστει ἢ μόνον προσχήματι ἐθελοδικαιοσύνης, [2] ᾧπερ καὶ αὐτὸς δεινόν τι ἐπειργάσατο τῷ βίῳ, ὡς ἤδη καὶ περὶ αὐτοῦ εἴπομεν —, ἀνήνεγκε τοίνυν εἰς τὰ ὦτα τοῦ ἀρχιεπισκόπου Ἀλεξάνδρου ὁ ἀρχιεπίσκοπος Μελήτιος, ὁ κατὰ τὴν Αἴγυπτον· ὑπὸ δὲ χεῖρα Ἀλεξάνδρου ἐδόκει εἶναι. Σύγχρονος δὲ οὗτος ὁ Μελήτιος γέγονε Πέτρου τοῦ μακαρίτου ἐπισκόπου καὶ μάρτυρος, ὡς ἔφην. Ὡς οὖν ἐσήμανε τὰ κατὰ τὸν Ἄρειον πάντα, ὡς ἐκτὸς βέβηκε τῆς ἀληθείας, καὶ ὡς πολλοὺς ἔχρανε καὶ ἠφάνισεν, ὑποφθείρας ἀπὸ τῆς ὀρθῆς πίστεως τοὺς αὐτῷ πεισθέντας, τότε μεταστειλάμενος ὁ ἐπίσκοπος αὐτὸν τὸν Ἄρειον, ἠρώτα περὶ τῶν ἐνηχηθέντων, εἰ ταῦτα οὕτως ἔχει. Ὁ δὲ οὔτε ἐδίστασεν, οὔτε ἐδειλίασεν, ἀλλ᾽ ἐξ ὑπαρχῆς παρατρίψας τὸ μέτωπον τὴν πᾶσαν αὐτοῦ ἐξήμεσε κακοδοξίαν, ὡς αἱ αὐτοῦ ἐπιστολαὶ δεικνύουσι, καὶ ἡ κατ᾽ αὐτὸν γενομένη τότε ἐξέτασις. Συγκαλεῖται τοίνυν τὸ πρεσβυτέριον ὁ Ἀλέξανδρος, καὶ ἄλλους τινὰς ἐπισκόπους παρόντας, καὶ ἀνέτασιν τούτου ποιεῖται καὶ ἀνάκρισιν. Ὡς δὲ οὐκ ἐπείσθη τῇ ἀληθείᾳ, ἐξεοῖ αὐτὸν τῆς ἐκκλησίας, καὶ ἐκκήρυκτον ποιεῖ ἐν τῇ πόλει. Σὺν αὐτῷ δὲ ἀπεσπάσθησαν αἱ προειρημέναι παρθενεύουσαι, καὶ κληρικοὶ οἱ προειρημένοι, καὶ ὄχλος ἄλλος πολύς.

Κεφ. δ'. *Διατρίβοντος δὲ Ἀρείου πολὺν χρόνον ἐν τῇ πόλει, εὐθὺς τελευ-*
pag. 730. *τᾷ ὁ ὁμολογητὴς Μελήτιος καὶ μάρτυς. Σχίσματα οὖν ποιῶν ὁ αὐτὸς Ἄρειος, καὶ ἕκαστον ὑποκλέπτων, πολλοὺς ἠφάνισεν. [1] Ἐς ὕστερον δὲ ἐπειδὴ ἐφωράθη, καὶ εἰς ἔλεγχον ἦλθεν ἐν τῇ πόλει, καὶ ἐκκήρυκτος γεγένηται, ἀποδιδράσκει ἀπὸ τῆς [2] Ἀλεξανδρείας καὶ ἐπὶ τὴν Παλαιστίνην στέλλεται πορείαν. Ὃς ἐλθὼν προσεπέλαζεν ἑκάστῳ τῶν ἐπισκόπων μετὰ θωπείας τε καὶ κολακείας, ἵνα [3] αὐτῷ πολλοὺς ποιήσῃ συνεργούς. Καὶ δέχονται μὲν αὐτόν τινες, ἄλλοι δὲ αὐτὸν ἀπώσαντο. Μετέπειτα δὲ εἰς ὦτα ἔρχεται τοῦ ἐπισκόπου Ἀλεξάνδρου, καὶ γράφει ἐπιστολὰς ἐγκυκλίους, αἵτινες παρὰ φιλοκάλοις ἔτι σώζονται, ὡς τὸν ἀριθμὸν ἑβδομήκοντα, τῶν ἐπισκόπων ἑκάστῳ, [4] Εὐσεβίῳ εὐθὺς τῷ ἐν Καισαρείᾳ, περιῆν γάρ, καὶ Μακαρίῳ Ἱεροσολύμων, Ἀσκληπιῷ ἐν Γάζῃ, Λογγίνῳ ἐν Ἀσκάλωνι, Μακρίνῳ τῷ ἐν Ἰαμνίᾳ, καὶ ἄλλοις, ἔν τε τῇ Φοινίκῃ Ζήνωνί τινι ἀρχαίῳ ἐν Τύρῳ, καὶ ἄλλοις, ἅμα καὶ ἐν τῇ Κοίλῃ Συρίᾳ. Ὡς οὖν ἀπεστάλησαν αἱ ἐπιστολαί, μεμφόμεναι*

2. ᾧπερ *emendavit Gatakerus Opp.* — αὐτὸ *suspicatus est Petavius. Libri Critt. p.* 812. ὅσπερ — αὐτός, *vel* ὅπερ *habent* ὅπερ.

sit. Nam Secundum Pentapolitanum episcopum cum aliis nonnullis in partes suas pertraxit. Quae omnia clam beato Alexandro episcopo in ecclesia gerebantur: donec Meletius Thebaidis in Aegypto archiepiscopus, ut supra dixi, (necdum enim Meletiana factio in hostiles et implacabiles inimicitias eruperat), hic igitur ardore pietatis inflammatus, cum nihil a recta fide alienum et abhorrens teneret, sed sola affectatae cuiusdam iustitiae specie differret, per quam nihilominus, ut antea cum adversus eum disputaremus ostendimus, magnum orbi terrarum exitium attulit. Tum vero is ipse Meletius archiepiscopus in Aegypto, et Alexandro subiectus, rem omnem ad Alexandri archiepiscopi aures detulit. Iam autem diximus Meletium istum b. Petri episcopi et martyris aequalem fuisse. Qui cum Arii facinora omnia significasset, nimirum et a veritate illum aberrare, ac plerosque ab recta fide sua persuasione depravatos et inquinatos in exitium trahere, Alexander Arium ad sese vocans ecquid ita sese res haberet interrogat. Tum ille nihil tergiversatus aut cunctatus, statim frontem perfricans, pravam omnem suam opinionem evomuit, ut ex ipsius epistolis et actis illius inquisitionis constat. Quamobrem Alexander habito presbyterorum ac quorumdam episcoporum qui aderant conventu de eo quaestionem habet ac diligenter examinat. Tum veritati cedere detrectantem eiicit ex ecclesia, ac tota civitate proscribit; cum quo et virgines illae ac clerici, quos antea commemoravi, cum reliqua multitudine haud exigua ab ecclesia distracti sunt.

Hinc Ario longiorem in urbe moram trahente moritur confessor Meletius et martyr. Interim Arius divortium ac dissidium ubique faciens, et in uniuscuiusque animos callide sese insinuans, multos perdidit. Sed ubi deprehensus, et in urbe convictus, atque omnium praeconio traductus est, Alexandria fugiens in Palaestinam abiit. Ibi singulos episcopos adire, ac prensare, adularique coepit, quo plures sibi suffragatores adiungeret. Ex his quidam illum receperunt, alii vero repulerunt. Quae mox ut ad aures Alexandri episcopi perlata sunt, encyclicas ad singulos episcopos literas dedit, quae hodieque studiosorum in manibus versantur, numero fere septuaginta. Scripsit inter alios ad Eusebium Caesareae episcopum, qui adhuc supererat, et ad Macarium Hierosolymorum, Asclepium Gazae, Longinum Ascalonis, Macrinum Iamniae episcopum, et alios, item in Phoeniciam ad Zenonem quendam antiquum Tyri episcopum, et alios; scripsit et in Coelen Syriam. Missis his epistolis, Cap. IV.

Cap. IV. — 1. ἐς ὕστερον *cod. Rhedig.* ἐσύστερον *cod. Ien.* εἰσύστερον *editi.*
2. ἀλεξανδρέας *codd. mss.*
3. *Suspicor* αὐτῷ.
4. Εὐσεβείῳ *libri scripti, ut solent.*

τοὺς αὐτὸν ὑποδεξαμένους, ἕκαστος ἀντέγραψε τῷ μακαρίῳ Ἀλεξάνδρῳ ἀπολογούμενος. Καὶ οἱ μὲν εἰρωνείᾳ γεγράφασιν, ἄλλοι δὲ ἐν ἀληθείᾳ, οἱ μὲν [5] λέγοντες μὴ ὑποδέχεσθαι τοῦτον, ἄλλοι δὲ κατὰ ἄγνοιαν ὑποδέχεσθαι, ἕτεροι δὲ φάσκοντες ὡς διὰ τῆς ὑποδοχῆς κερδῆσαι αὐτὸν ἀπολογούμενοι. [6] Καὶ πολλή τίς ἐστιν ἡ περὶ τούτων ὑπόθεσις.

Κεφ. ε΄. Μετέπειτα δὲ ὡς ἔγνω ὁ Ἄρειος ὅτι ἐπιστολαὶ ἠνέχθησαν τοῖς ἐπισκόποις πάντη, καὶ λοιπὸν πανταχόθεν ἀπηλαύνετο, καὶ οὐκέτι τις αὐτὸν προσελαμβάνετο ἢ οἱ αὐτοῦ συνεργοὶ — Εὐσέβιος γὰρ ὁ παλαιὸς γέρων Νικομηδεὺς [1] ὅλος αὐτῷ ὑπῆρχεν, ἅμα Λουκιανῷ ἐν Νικομηδείᾳ συμβεβιωκώς, ἀλλὰ καὶ Λεόντιος ὁ ἀπόκοπος ἐν Ἀντιοχείᾳ, οὔπω τὴν ἐπισκοπὴν πεπιστευμένος, καὶ ἄλλοι τινές, — ἐκεῖ οὖν ἐκ τῆς αὐτῆς τοῦ δηλητηρίου φατρίας οὗτοι πάντες ἦσαν, ὑποδέχεται μὲν αὐτὸν Εὐσέβιος [2] χρόνῳ ἱκανῷ, ὅθεν δὴ ἐπιστολὰς πάσης φλυαρίας ἐμπεπλησμένας, περιεχούσας πᾶσαν αὐτοῦ τὴν κακόδοξον πίστιν, γράψας ὁ αὐτὸς Ἄρειος Εὐσεβίῳ τῷ ἐν Νικομηδείᾳ, μηδέπω φθάσας πρὸς αὐτὸν ἐν Νικομηδείᾳ, οὐδὲν πλέον ἀλλ' ἢ τὰ αὐτὰ ὁποῖα
pag. 731. καὶ ἐφρόνει ἐν αὐταῖς ἐντάξας, κατ' ἐκεῖνον τὸν καιρὸν ἐπραγματεύσατο, ἐξ ὧν μίαν ἐλθοῦσαν εἰς τὰς ἡμετέρας χεῖρας ἐνταῦθα ἀναγκαῖον ἡγησάμην παραθέσθαι, ὅπως ἴδοιεν οἱ ἐντυγχάνοντες ὅτι οὔ τι κατά τινος σεσυκοφαντημένως εἰρήκαμεν ἢ λέγομεν. Καὶ ἔστιν ἥδε.

ΕΠΙΣΤΟΛΗ ΑΡΕΙΟΥ *.

Κεφ. ς΄. Κυρίῳ ποθεινοτάτῳ ἀνθρώπῳ θεοῦ πιστῷ, ὀρθοδόξῳ Εὐσεβίῳ, Ἄρειος ὁ διωκόμενος ὑπὸ Ἀλεξάνδρου πάπα ἀδίκως διὰ τὴν πάντα νικῶσαν ἀλήθειαν, ἧς καὶ σὺ ὑπερασπίζεις, ἐν κυρίῳ χαίρειν.

Τοῦ πατρός μου Ἀμμωνίου εἰς τὴν Νικομήδειαν ἀφικομένου εὔλογον καὶ ὀφειλόμενον ἐφάνη μοι προσαγορεῦσαί σε δι' αὐτοῦ, ὁμοῦ τε καὶ ὑπομνῆσαι τὴν ἔμφυτόν σου ἀγάπην καὶ διάθεσιν, ἣν ἔχεις πρὸς τοὺς ἀδελφούς, διὰ τὸν θεὸν καὶ τὸν Χριστὸν αὐτοῦ, ὅτι μεγάλως ἡμᾶς ἐκπορθεῖ καὶ διώκει καὶ πᾶν [1] κακὸν κινεῖ καθ' ἡμῶν ὁ ἐπίσκοπος, ὥστε ἐκδιῶξαι ἡμᾶς ἐκ τῆς πόλεως ὡς ἀνθρώπους ἀθέους, ἐπειδὴ οὐ συμφωνοῦμεν αὐτῷ δημοσίᾳ λέγοντι, Ἀεὶ θεός, ἀεὶ υἱός, ἅμα πατήρ, ἅμα υἱός, συνυπάρχει ὁ υἱὸς ἀγεννήτως τῷ θεῷ, ἀειγενής, ἀγενητογενής, οὔτ' ἐπινοίᾳ, οὔτ' ἀτόμῳ τινὶ προάγει ὁ θεὸς τοῦ υἱοῦ, ἀεὶ θεός, ἀεὶ υἱός, ἐξ αὐτοῦ τοῦ θεοῦ ὁ υἱός. Καὶ ἐπειδὴ

5. *Verba* λέγοντες μὴ *desiderantur in ed. Petavii Colon. repet.*
6. Καὶ *om. ed. Petavii Colon. repet.*
Cap. V. — 1. ὅλος *correxerunt Cornarius et Petavius. Libri scripti et editi habent* ὁ λόγος.
2. *Rescribendum esse* χώρῳ *vel* χωρίῳ *persuadent ea quae sequuntur.*
* πρὸς πάπαν ἀλέξανδρον *additum est in cod. Rhedig.*
Cap. VI. — 1. κάλων *reposuit Petavius ex Theodoreto. Prov. e cod. Coisl.*

quibus eos incusabat qui Arium receperant, rescripsere ad Alexandrum singuli, quidam dissimulanter et callide, alii ex animo et sincere. Ac nonnulli exceptum a se hominem negabant, alii per ignorantiam admissum. Erant et qui eo se consilio recepisse faterentur, ut eum lucri facerent. In summa varia literarum argumenta fuerunt.

At Arius ubi scriptas ad omnes episcopos literas comperit, cum ab omnibus passim exclusus a nemine, praeterquam a fautoribus suis, susciperetur, quorum princeps erat Eusebius grandi admodum natu Nicomediensis episcopus, qui cum Luciano Nicomediae simul vixerat. Nec non et Leontius eviratus Antiochiae, nondum episcopalem ad sedem promotus, aliique nonnulli. Cum ergo ex pernicioso illius sodalitio omnes illi essent, eumque diu apud se Eusebius habuisset, epistolas ad hunc ipsum Eusebium scripsit nugarum plenissimas, quibus impium omne dogma complexus est. Quamquam nondum Nicomediam ad illum venerat. Atque hae quidem epistolae nihil aliud continent praeter doctrinae suae declarationem, quam per illud tempus elaboravit. Harum unam, quae ad nostras manus pervenit, hoc loco subscribere necessarium putavi, ut qui eam legerint intelligant nihil a nobis contra quempiam calumniose iactatum alias, aut impraesentia iactari. Est autem eiusmodi. Cap. V.

ARII EPISTOLA.

Domino dilectissimo, viro dei, fideli, orthodoxo Eusebio, Arius, quem Alexander papa iniuste ob victricem omnium veritatem insequitur, cuius et tu propugnator es, in domino salutem. Cap. VI.

Cum Ammonius pater meus Nicomediam proficisceretur, non modo rationi consentaneum ex officio quodam a me debitum putavi, tibi ut per illum salutem dicerem, unaque caritati tuae ac benevolentiae qua propter deum eiusque Christum fratres prosequeris subiicerem quam nos vehementer episcopus infestet atque hostiliter insequatur, nec ullum mali genus non adversum nos commoveat, usque eo ut nos etiam velut impios ac deum negantes ex urbe expulerit, idque ob illam caussam quod ei publice ista pronuntianti nequaquam assentiamur: Semper deus, semper filius: simul pater, simul filius: cum deo ingenito perpetuo filius existit, semper genitus, ab ingenito genitus: neque cogitatione, neque momento ullo deus filium antecedit, semper deus, semper filius, ex ipso deo filius. Quon-

edita a Gaisfordio ed. p. 145. *n.* 287. Πάντα κάλων κινεῖν, ἀντὶ τοῦ πάντα τρόπον ποιεῖν, ἐπὶ τῶν ἀπορούντων. *Cf. Schott. ad Zenob. V,* 62.

Εὐσέβιος ὁ ἀδελφός σου ἐν Καισαρείᾳ, καὶ [2] Θεοδόσιος, καὶ Παυλῖνος, καὶ Ἀθανάσιος, καὶ Γρηγόριος, καὶ Ἀέτιος, καὶ πάντες οἱ κατὰ τὴν ἀνατολὴν λέγουσιν ὅτι προϋπάρχει ὁ θεὸς τοῦ υἱοῦ ἀνάρχως, ἀνάθεμα ἐγένοντο, δίχα Φιλογονίου καὶ Ἑλλανικοῦ καὶ Μακαρίου, ἀνθρώπων αἱρετικῶν ἀκατηχήτων, τὸν υἱὸν λεγόντων οἱ μὲν ἐρυγὴν, οἱ δὲ προβολὴν ἀγέννητον. Καὶ τούτων τῶν ἀσεβῶν οὐδὲ ἀκοῦσαι δυνάμεθα, ἐὰν μυρίους θανάτους ἡμῖν ἐπαπειλῶσιν οἱ αἱρετικοί. Ἡμεῖς δὲ τί λέγομεν, καὶ φρονοῦμεν, καὶ ἐδιδάξαμεν, καὶ διδάσκομεν; ὅτι ὁ υἱὸς οὐκ ἔστιν ἀγέννητος, οὐδὲ μέρος ἀγεννήτου, κατ' οὐδένα τρόπον, ἀλλ' οὔτε ἐξ ὑποκειμένου τινὸς, ἀλλ' ὅτι [3] θελήματι καὶ βουλῇ ὑπέστη πρὸ χρόνων καὶ πρὸ αἰώνων, πλήρης θεὸς μονογενὴς, ἀναλ-
pag. 732. *λοίωτος, καὶ πρὶν γεννηθῇ, ἤτοι κτισθῇ, ἤτοι ὁρισθῇ, ἢ θεμελιωθῇ, [4] οὐκ ἦν· ἀγένητος γὰρ οὐκ ἦν. Διωκόμεθα δὲ ὅτι εἴπομεν, Ἀρχὴν ἔχει ὁ υἱὸς, ὁ δὲ θεὸς ἄναρχός ἐστι. Διὰ τοῦτο διωκόμεθα, καὶ ὅτι εἴπομεν, Ἐξ οὐκ ὄντων ἐστίν. Οὕτως δὲ εἴπομεν, καθότι οὐδὲ μέρος θεοῦ ἐστιν, οὐδὲ ἐξ ὑποκειμένου τινός. Διὰ τοῦτο διωκόμεθα, λοιπὸν σὺ οἶδας. Ἐρρῶσθαί σε ἐν κυρίῳ εὔχομαι, μεμνημένον τῶν θλίψεων ἡμῶν, [5] Συλλουκιανιστὰ, ἀληθῶς Εὐσέβιε.*

Κεφ. ζ'. *Ἀλλὰ καὶ ἄλλην ἀπὸ Νικομηδείας τῷ ἁγιωτάτῳ πάπᾳ Ἀλεξάνδρῳ ἀπολογίας χάριν [1] δῆθεν γραφεῖσαν, καὶ χείρω πάλιν τῆς αὐτοῦ ἰοβολίας ἀπαραλείπτως βλασφήμων ῥημάτων [2] ἐμπεπλησμένην, καὶ ὑπ' αὐτοῦ ἐν Ἀλεξανδρείᾳ [3] ἀπεσταλμένην ὑπετάξαμεν. Καὶ ἔστιν ἥδε.*

Μακαρίῳ πάπᾳ καὶ ἐπισκόπῳ ἡμῶν Ἀλεξάνδρῳ οἱ πρεσβύτεροι καὶ οἱ διάκονοι ἐν κυρίῳ χαίρειν.

Ἡ πίστις ἡμῶν ἡ ἐκ προγόνων, ἣν καὶ ἀπὸ σοῦ μεμαθήκαμεν, μακάριε πάπα, ἔστιν αὕτη. Οἴδαμεν ἕνα θεὸν μόνον ἀγέννητον, μόνον ἀΐδιον, μόνον ἄναρχον, μόνον ἀληθινὸν, [4] μόνον ἀθανασίαν ἔχοντα, μόνον σοφὸν, μόνον ἀγαθὸν, μόνον δυναστὴν, μόνον [5] κριτὴν, πάντων διοικητὴν, οἰκονόμον, ἄτρεπτον καὶ ἀναλλοίωτον, δίκαιον καὶ ἀγαθὸν, νόμου καὶ προφητῶν καὶ καινῆς διαθήκης τοῦτον θεὸν, γεννήσαντα υἱὸν μονογενῆ πρὸ χρόνων αἰωνίων, δι' οὗ καὶ τοὺς αἰῶνας καὶ τὰ λοιπὰ πεποίηκε, γεννήσαντα δὲ οὐ δοκήσει, ἀλλ' ἀληθείᾳ, ὑπο-

2. Θεόδοτος *emendat Petavius ex Theodoreto et Nicephoro.*
3. βουλῇ καὶ θελήματι *cod. Rhedig.*
4. *Vitiose in edit. Petav. Colon. rep. extat* καὶ ἦν *pro* οὐκ ἦν *exaratum.*
5. Συλλουκιανιστὰ *emendatio est Petavii, quem vide.* συνλουκιανιστᾶ *cod. Rhedig.* σὺν λουκιανιστῇ *reliqui libri.*
Cap. VII. — 1. δῆθεν *non habet cod. Rhedig.*

iam vero Eusebius frater tuus Caesareae et Theodosius, et Paulinus, et Athanasius, et Gregorius, et Aëtius, et orientales omnes deum asserunt sine ullo principio ante filium existere, anathemate damnantur, excepto Philogonio, Hellanico, Macario haereticis ac rudimentorum fidei ignaris hominibus, qui filium partim eructationem, partim ingenitam productionem appellant. Quorum quidem impiorum voces ne auribus quidem admittere possumus, etiamsi mille nobis mortes ab haereticis intententur. Nos e contrario quid tandem dicimus, sentimus, docuimus, et docemus? Nimirum filium nec ingenitum esse, nec ingeniti ulla ratione partum, sed neque ex subiecta aliqua materia factum, verum dei voluntate, consilio ante tempora seculaque substitisse, plene deum unigenitum, immutabilem, qui antequam gigneretur, sive crearetur, sive decerneretur, aut fundaretur, non fuit. Neque enim non factus est. Nos igitur ob id insectantur quod diximus: Principium habet filius, deus autem principio caret. Haec vexandi nostri caussa est. Tum quod asserimus eadem e nihilo esse. Quod idcirco a nobis usurpatur quia neque dei pars est, nec ex subiecta ulla materia. Propterea nos illi hostilem in modum persequuntur. Reliqua tu nosti. Bene valere te aerumnarum nostrarum memorem cupimus, idque a deo petimus, Collucianista, vere Eusebi, hoc est pie ac religiose.

Aliam praeterea Nicomedia ad sanctissimum papam Alexandrum Cap. VII. quasi excusandi sui gratia scripsit longe superiore illa peiorem, quae totam illius est veneno ac contumeliosis in divinum numen vocibus referta, quam Alexandriam misit. Eam nos subiiciendam putavimus.

EPISTOLA ARII AD ALEXANDRUM.

Beato papae et episcopo nostro Alexandro, presbyteri et diaconi salutem in domino.

Fides illa quam et a maioribus accepimus, et a te didicimus, beatissime papa, eiusmodi est. Credimus unum deum, solum ingenitum, solum aeternum, solum principio carentem, solum verum, solum immortalem, solum sapientem, solum bonum, solum praepotentem, solum iudicem, omnium moderatorem, et administratorem, immotum, et immutabilem, iustum, bonum legis, et prophetarum, ac novi testamenti pariter deum: qui unigenitum filium ante sempiterna tempora genuit: per quem et secula, et reliqua procreavit omnia. Genuisse porro dicimus reipsa, non specie tenus, ac sub-

2. ἀπεμπεπλησμένην *cod. Rhedig.*
3. ἀπεσταλμένου *cod. Rhedig.; et Ien., ni fallor.*
4. μόνον *non legitur in ed. Petav. Colon. repet.*
5. μόνον κρίτην πάντων, διοικητὴν *distinxerunt Cornarius et Petavius.*

στήσαντα δὲ ἰδίῳ θελήματι ἄτρεπτον καὶ ἀναλλοίωτον, κτίσμα τοῦ θεοῦ τέλειον, ἀλλ' οὐχ ὡς ἓν τῶν κτισμάτων, γέννημα, ἀλλ' οὐχ ὡς ἓν τῶν γεννημάτων, οὐδ', ὡς Οὐαλεντῖνος, προβολὴν τὸ γέννημα τοῦ πατρὸς ἐδογμάτισεν, οὐδ', ὡς Μανιχαῖος, μέρος ὁμοούσιον τοῦ πατρὸς τὸ γέννημα εἰσηγήσατο, οὐδ', ὡς Σαβέλλιος ὁ τὴν μονάδα διαι-
pag. 733. ρῶν, υἱοπάτορα εἶπεν, οὐδ', ὡς Ἱέρακας λύχνον [6] ἀπὸ λύχνου, ἢ ὡς λαμπάδα εἰς δύο, οὐδὲ τὸν ὄντα πρότερον, ὕστερον γεννηθέντα ἢ ἐπικτισθέντα εἰς υἱόν, ὡς καὶ σὺ αὐτός, μακάριε πάπα ἐν μέσῃ τε ἐκκλησίᾳ καὶ συνεδρίῳ πλειστάκις τοὺς ταῦτα εἰσηγησαμένους ἀπηγόρευσας, ἀλλ', ὥς φαμεν, θελήματι τοῦ θεοῦ πρὸ χρόνων καὶ πρὸ αἰώνων κτισθέντα, καὶ τὸ ζῆν καὶ τὸ εἶναι παρὰ τοῦ πατρὸς εἰληφότα, καὶ τὰς δόξας συνυποστήσαντος αὐτῷ τοῦ πατρός· οὐ γὰρ ὁ πατὴρ δοὺς αὐτῷ πάντων τὴν κληρονομίαν ἐστέρησεν ἑαυτὸν [7] τὸ ἀγεννήτως ἔχειν ἐν ἑαυτῷ. Πηγὴ γάρ ἐστιν πάντων.

Κεφ. η. Ὥςτε τρεῖς εἰσιν ὑποστάσεις, πατήρ, υἱὸς καὶ ἅγιον πνεῦμα. Καὶ ὁ μὲν θεὸς αἴτιος τῶν πάντων τυγχάνων ἐστὶν ἄναρχος, μονώτατος· ὁ δὲ υἱὸς ἀχρόνως γεννηθεὶς ὑπὸ τοῦ πατρός, καὶ πρὸ αἰώνων κτισθεὶς καὶ θεμελιωθείς, οὐκ ἦν πρὸ τοῦ γεννηθῆναι, ἀλλὰ ἀχρόνως πρὸ πάντων γεννηθεὶς μόνος ὑπὸ μόνου τοῦ πατρὸς ὑπέστη. Οὐδὲ γάρ ἐστιν ἀΐδιος ἢ συναΐδιος ἢ συναγέννητος τῷ πατρί, οὐδὲ ἅμα τῷ πατρὶ τὸ εἶναι ἔχει, ὥς τινες λέγουσι τὰ πρός τι, δύο ἀγεννήτους ἀρχὰς εἰσηγούμενοι, ἀλλὰ ὡς μονὰς καὶ ἀρχὴ τῶν πάντων, [1] οὕτως ὁ θεὸς πρὸ πάντων ἐστί. Διὸ καὶ πρὸ τοῦ Χριστοῦ ἐστιν, ὡς παρὰ σοῦ μεμαθήκαμεν, [2] ἐν μέσῃ τῇ ἐκκλησίᾳ κηρύξαντος. Καθ' ὃ οὖν παρὰ τοῦ θεοῦ τὸ εἶναι ἔχει, καὶ τὸ ζῆν, καὶ τὰς δόξας, καὶ πάντα αὐτῷ παρασχόντα, κατὰ τοῦτο ἀρχὴ αὐτοῦ ἐστιν ὁ θεός. Ἄρχει γὰρ αὐτοῦ, ὡς θεὸς αὐτοῦ, καὶ πρὸ αὐτοῦ [3] ὤν, καὶ διὰ τὸ ἐξ αὐτοῦ. Καὶ εἰ τό, Ἐκ γαστρός, καὶ τό, Ἐκ πατρὸς ἐξῆλθον, καὶ ἥκω, ὡς μέρος τοῦ ὁμοουσίου, καὶ ὡς προβολή, ὑπό τινων νοεῖται, σύνθετος ἔσται ὁ πατήρ, καὶ διαιρετός, καὶ τρεπτός, καὶ σῶμα κατ' αὐτοῦ, καί, τὸ ὅσον ἐπ' αὐτοῖς, τὰ ἀκόλουθα σώματι πάσχων ὁ ἀσώματος θεός. Ἐρρῶσθαί σε ἐν κυρίῳ εὔχομαι, μακάριε πάπα. Ἄρειος, [4] Ἐθάλης, Ἀχιλλεύς, Καρπώνης, Σαρματᾶς, Ἄρειος, πρεσβύτεροι· διάκονοι, Εὐζώϊος, Λούκιος, Ἰούλιος, Μηνᾶς, Ἑλλάδιος, Γάϊος·

6. ἀπὸ λύχνου *non extat in cod. Rhed.*
7. τοῦ *suspicatus est Petavius.*
Cap. VIII. — 1. οὗτος *habet cod. Rhedig.*
2. ἐν, *quod non extat in libris, restitui ex vocabulo eo quod praecedit.*
3. ὢν, καὶ *scripsi pro* εἶναι, *quod vul-*

sistentem illum suapte voluntate condidisse; eiusmodi, ut neque converti, neque mutari possit: perfectam dei creaturam, sed non tanquam rerum creatarum aliquam: foetum itidem, sed non tanquam unum e ceteris. Nec quemadmodum Valentinus asseverabat, emissionem quandam illum esse patris foetum: aut ut Manichaeus eundem illum foetum partem esse dixit patri consubstantialem. Neque ut Sabellius qui unitatem divisit, et filium patrem appellavit. Non item ut Hieracas lucernam e lucerna, aut lampadem in duas partes divisam. Neque vero eiusmodi, ut cum prius fuisset, postea sit genitus, ac denuo creatus in filium. Quemadmodum tu ipse, beatissime papa, media in ecclesia et consessu saepenumero qui haec assererent refutasti. Sed, ut diximus, dei voluntate ante tempora et secula omnia creatum, ut viveret atque esset, a patre accepisse confitemur, adeo ut eadem illa creatione gloriam ei pater splendoremque contulerit. Neque enim existimandum est patrem, cum omnium rerum ei possessionem traderet, sibi ipsi quod ingenita quadam in se ratione continebat ademisse. Fons enim ille omnium est.

Quamobrem tres sunt hypostases, pater, filius, spiritus sanctus. Et quidem deus, cum rerum omnium caussa sit, solus ex omnibus principii est expers. Filius vero sine tempore genitus a patre, et ante secula creatus ac fundatus priusquam gigneretur non fuit. Sed sine tempore et ante omnia genitus solus a solo patre productus est. Non enim aeternus aut coaeternus est, nec cum patre ingenitus. Neque cum patre extitit, ut nonnulli de his quae ad aliud referuntur affirmant, qui ingenita duo principia constituunt, verum sic tanquam unitas et principium omnium ante omnia deus est. Quare etiam ipso Christo prior est, ut a te didicimus, cum id media in ecclesia praedicares. Igitur quatenus a deo ut esset consecutus est, nec non et vitam, splendorem, ceteraque quae in ipsum collata sunt, hac ratione principium illius deus est. Est enim illo prior ac princeps, utpote deus ipsius, qui ante ipsum fuerit, a quo etiam ille prodierit. Quod si istiusmodi loquendi rationes: *Ex utero*, et, *A patre exivi, et venio,* quasi consubstantialis partem aut emissionem cum nonnullis accipiamus, compositus erit ac divisibilis pater, et mutabilis, imo illorum opinione corpus et, quoad in ipsis est, quae corpori consentanea sunt patietur expers corporis deus. Bene valere te optamus in domino, beatissime papa, Arius, Ethales, Achilles, Carpones, Sarmatas, Arius, presbyteri: diaconi, Euzoius, Lucius, Iulius, Menas, Helladius, Caius: episcopi, Se-

Cap. VIII.

Ps. 109, 3. Ioann. 16, 28.

go extat. Petavius censuit ἔχων τὸ εἶ-*ναι.*

4. Ἀειθαλὴς *et* Ἀχιλλᾶς *restituit Petav. ex Theodoreto, quem vide,*

ἐπίσκοποι, Σεκοῦνδος Πενταπόλεως, Θεωνᾶς Λίβυς, Πιστὸς, ὃν κατέστησαν εἰς Ἀλεξάνδρειαν οἱ Ἀρειανοί.

Κεφ. θ'. pag. 734. Ὡς οὖν οὕτω παρεκινεῖτο τὰ πράγματα, Ἀλέξανδρος Κωνσταντίνῳ τῷ βασιλεῖ γράφει. [1] Ὁ δὲ μακαρίτης βασιλεὺς συγκαλεσάμενος τὸν Ἄρειον καί τινας ἐπισκόπους ἀνέκρινεν. Ὁ δὲ τοὺς [2] συμμύστας ἔχων τὸ μὲν πρῶτον ἠρνεῖτο εἰς πρόςωπον τοῦ βασιλέως, [3] ἔσωθεν δὲ εἰργάζετο τὴν συσκευὴν τῆς ἐκκλησίας. Ὡς οὖν συνεκαλέσατο αὐτὸν ὁ μακάριος Κωνσταντῖνος, ὡς καὶ ἐκ μέρους πνεύματος ἁγίου ἐνεπνεύσθη, λόγον αὐτῷ προσεφθέγξατο λέγων ὅτι, Πεπίστευκα τῷ Θεῷ, εἰ δολίως ἔχεις τι κεκρυμμένον, καὶ ἀρνῆσαι, τάχιον ὁ πάντων δεσπότης ἐλέγξαι σε ἔχει, μάλιστα καθ' οὗ ὤμοσας. Ὅθεν καὶ ἐφωράθη τὰ αὐτὰ φρονῶν, καὶ εἰς πρόςωπον τοῦ βασιλέως ἠλέγχθη. Πάλιν δὲ ὡςαύτως ἠρνεῖτο, καὶ πολλοὶ αὐτοῦ ὑπερασπισταὶ ὑπερεδέοντο διὰ Εὐσεβίου τοῦ Νικομηδείας. Ὁμοῦ δὲ ζήλῳ ἐπαρθεὶς ὁ βασιλεὺς καὶ ἐπιστολὴν μεγάλην ἐγκύκλιον ὅλῃ τῇ Ῥωμανίᾳ γέγραφε κατὰ Ἀρείου καὶ τῆς αὐτοῦ πίστεως, πάσης σοφίας ἔμπλεων, καὶ ἀληθινῶν ῥημάτων· ὡς καὶ αὕτη εἰς ἔτι δεῦρο παρὰ φιλοκάλοις σώζεται, περιέχουσα τὴν ἀρχὴν, Κωνσταντῖνος Σεβαστὸς, Μέγιστος, [4] Ἀρείῳ καὶ Ἀρειανοῖς. Κακὸς ἑρμηνεὺς αὐτόχρημα εἰκών τε καὶ [5] ἀνδριὰς ἐστὶ τοῦ διαβόλου. Εἶτα μεθ' ἕτερα, καὶ μετὰ τὸ πολλὴν πρὸς αὐτὸν ἐκθέσθαι ἐκ θείων λογίων ἀντιλογίαν καὶ ἔπος ἀπὸ τοῦ Ὁμήρου πρὸς αὐτὸν σχετλιασμοῦ ἕνεκα ἀποτεινόμενος παρέθετο, ὅπερ καὶ αὐτὸ ἀναγκαῖον ἐνταῦθα παραθέσθαι ἡγησάμην, καὶ ἔστιν, Ἄγε δὴ, [6] Ἄρες Ἄρειε, [7] ἀσπίδων χρεία· μή γε σὺ τοῦτο ποιήσῃς ἱκετεύομεν, ἐπισχέτω δέ σε ἡ γοῦν Ἀφροδίτης ὁμιλία.

Κεφ. ι'. Βουλομένου τοίνυν τοῦ Ἀρείου ἐν τῇ Κωνσταντινουπόλει ὁμοῦ συναχθῆναι, Εὐσεβίου ἀναγκάζοντος, καὶ τὰ μεγάλα παρὰ βασιλέως ἰσχύοντος καὶ παρενοχλοῦντος τῷ ἐν Κωνσταντινουπόλει ἐπισκόπῳ κατ' ἐκεῖνο καιροῦ, κἀκείνου μὴ βουλομένου μετ' αὐτοῦ συναχθῆναι, μήτε εἰς κοινωνίαν αὐτοῦ ἐλθεῖν, καὶ βιοφορουμένου καὶ στένοντος, τοῦ δὲ Εὐσεβίου λέγοντος, Εἰ μὴ βούλει ἰδίᾳ τῇ προαιρέσει, τῇ αὔριον ἡμέρᾳ, κυριακῆς ἐπιφωσκούσης, σὺν ἐμοὶ εἰςελεύσεται, καὶ τί δύνασαι ποιῆσαι; Ὁ δὲ εὐλαβέστατος ἐπίσκοπος καὶ θεὸν φοβούμενος Ἀλέξανδρος, ὁ τῆς αὐτῆς ἀρίστης πόλεως ἐπίσκοπος (ὁμώνυμος γὰρ ἦν καὶ οὗτος τῷ ἐν Ἀλεξανδρείᾳ) δι' ὅλης τῆς ἡμέρας, ἐξότου ἤκουσε, καὶ
pag. 735. τῆς νυκτὸς, στενάζων καὶ στυγνάζων διετέλεσεν εὐχόμενος, καὶ παρακαλῶν τὸν θεὸν ἢ αὐτοῦ τὴν ψυχὴν παραλαβεῖν, ἵνα μὴ συμμιανθῇ τῇ τοῦ Ἀρείου κοινωνίᾳ, ἢ ποιῆσαί τι παράδοξον· ὅπερ καὶ ἐγένετο

Cap. IX. — 1. ὁ δὲ μακαρίτης cod. Ien. et editi; δὲ particula in ed. Petavii Colon. repetita non comparet. ὁ δὲ μακάριος cod. Rhedig. 2. ἀμμύστας cod. Rhedig. 3. ἔωθεν cod. Rhedig.

cundus Pentapolis, Theonas Africanus, Pistus, qui Alexandriae ab Arianis collocatus est.

Cum itaque rerum status his motibus perturbaretur, Alexander ad Constantinum imperatorem scripsit, qui Arium cum nonnullis episcopis evocans interrogavit. At ille sodalium suorum grege stipatus primum coram imperatore inficiatus est, cum interim remotis arbitris occulta contra ecclesiam consilia moliretur. Imperator beatae memoriae Constantinus eum arçessens velut afflatu quodam sancti spiritus impulsu his illum verbis affatus est: Confido deo, si quid callide dissimules ac neges, quam celerrime te ab omnium domino convictum iri, maxime per quem iusiurandum conceperis. Quo ex tempore iisdem in erroribus haerere deprehensus, ac coram principe convictus, iterum inficiatus est. Et plerique illius patroni pro eo per Eusebium Nicomediae episcopum apud principem egerunt. Sed nihilominus imperator divinae fidei ardore commotus epistolam bene longam et encyclicam ad omnes Romano imperio subditos adversus Arium eiusque dogma scripsit, omni sapientia ac veritate refertam, quae in hodiernum usque diem eruditorum manibus teritur. Huius initium est: Constantinus Augustus, maximus, etc. Arius cum Arianis malus interpres ipsissima est imago ac simulacrum diaboli. Tum post alia quaedam ac longam ex scripturis sacris illius refutationem; postremo versum quendam ex Homero cum indignatione ac stomacho contorquet, quem hic adscribendum putavi. Age, inquit, Mars Ari, clypeis opus est. Verum ne id facias obsecramus, ac te saltem Veneris consuetudo cohibeat. Cap. IX.

Post haec cum Arius Constantinopoli catholicae ecclesiae communionem affectaret, instante violenter Eusebio, qui apud imperatorem plurimum poterat, et Constantinopolitanum episcopum molestius urgente, qui communionem illi dare nolens, et per vim oppressus ingemiscebat, cumque Eusebius iactaret, nisi sponte velis admittere, crastina luce, quae dominica erit, mecum in ecclesiam intrabit. Quid autem contra nos efficies? — tum demum religiosissimus episcopus ac deum timens Alexander ecclesiae illi praefectus, qui Alexandrino episcopo cognominis erat, ubi haec audiit, tota die ac nocte cum gemitu ac moerore in oratione perseveravit, supplex a deo petens ut vel animam suam reciperet, nec se Arii communione pollueret, aut stupendum quiddam et inusitatum faceret. Quod qui- Cap. X.

4. *Emendavi haec ex Gelasii Concil. Nic. IV, 1. Epiphanii enim libri habent omnes* Ἄρειος καὶ Ἀρειανοὶ κακὸς *cett.*

5. ἀνδρείας *codd. mss. et ed. pr.*

6. *Pro* Ἄρες *Epiphanii libri habent* ἄδδες.

7. *Fortasse rectius* ἀσπίδων ἦ χρεία· μὴ σύ γε τοῦτο π. — *Ceterum quem versum Homeri significari putet Epiphanius equidem pro certo affirmare non ausim, sed puto verba Athenae Il. V, 31 sqq.*

τούτῳ. Τοῦ γὰρ Ἀρείου προελθεῖν κατὰ τὰς νύκτας ἐπειχθέντος ἐπὶ τὸ παρασκευασθῆναι, διέρχεται μέχρι τοῦ ἀφεδρῶνος, καὶ ἔνδον ἐν τοῖς ἀβάτοις καθεζόμενος εὑρέθη λακήσας, καὶ ἔκπνους γεγονώς. [1] Ὡς δὲ οὕτω κατείληπται ἐν τῷ δυσώδει τόπῳ ἀποδοὺς αὐτοῦ τὰ τέλη, καθάπερ καὶ ἐξήμεσεν ἀκάθαρτον κακοπιστίαν.

Κεφ. ια'. *Ὡς οὖν ταῦτα ἐτελέσθη, ὁ βασιλεὺς μέριμναν [1] συνειςενεγκάμενος τῇ ἐκκλησίᾳ, διὰ τὸ ἤδη πολλάκις πολλοὺς εἰς ἀλλήλους διαφέρεσθαί τε καὶ σχίσματα πολλὰ εἶναι, συνεκρότησεν οἰκουμενικὴν σύνοδον ὧν καὶ τὰ ὀνόματα εἰς ἔτι δεῦρο σώζεται τριακοσίων δέκα καὶ ὀκτὼ ἐπισκόπων, καὶ ἀναθεματίζουσι τὴν Ἀρείου πίστιν ἐν τῇ Νικαέων πόλει, καὶ ὁμολογοῦσι τὴν τῶν πατέρων ὀρθόδοξον πίστιν καὶ ἀκλινῆ, καὶ ἀπὸ τῶν ἀποστόλων καὶ προφητῶν παραδοθεῖσαν. Ὑπογραψάντων δὲ τῶν ἐπισκόπων εἰς ταύτην, καὶ ἀναθεματισάντων τὴν Ἀρειομανίτιδα αἵρεσιν, οὕτω γεγένηται. Ἅμα δὲ καὶ ἐν τῷ αὐτῷ κανόνας τινὰς ἔθηκαν ἐν τῇ συνόδῳ ἐκκλησιαστικούς· ὁμοῦ δὲ καὶ περὶ τοῦ πάσχα ὥρισαν [2] μίαν ἕνωσιν καὶ ὁμόνοιαν τὴν ἁγίαν θεοῦ πανάρετον ἡμέραν γίνεσθαι, ἐπειδὴ διαφόρως παρά τισιν ἐφυλάττετο. Οἱ μὲν γὰρ προελάμβανον, οἱ δὲ ἐμέσαζον, οἱ δὲ μετέπειτα ἐπετέλουν. Καὶ ἁπλῶς πολλὴ [3] φύρσις ἦν κατ' ἐκεῖνο καιροῦ. Τούτων δὲ ὁ θεὸς τὸ κατόρθωμα διὰ τοῦ μακαρίτου Κωνσταντίνου ἐβράβευσεν εἰρήνης χάριν. Ὡς οὖν ἀνεθεματίσθη ὁ Ἄρειος, καὶ ταῦτα οὕτως ἐπράχθη, ἐν τῷ αὐτῷ ἔτει παύεται Ἀλέξανδρος τοῦ βίου, καὶ διαδέχεται αὐτὸν Ἀχιλλᾶς. Ἦν δὲ καὶ Θεωνᾶς κατασταθεὶς ὑπὸ τῶν Μελητιανῶν. Τότε διαδέχεται Ἀχιλλᾶν τὸν ἐπίσκοπον ποιήσαντα μῆνας τρεῖς Ἀθανάσιος ὁ μακαρίτης, ὢν τότε διάκονος Ἀλεξάνδρου, καὶ ὑπ' αὐτοῦ ἀπεσταλμένος ἐπὶ τὸ [4] κομητάτον, ᾧ [5] ὁ Ἀλέξανδρος μέλλων τελευτᾶν παρήγγειλεν ἀποδοθῆναι τὴν [6] ἐπισκοπήν. Ἔθος δὲ ἐν Ἀλεξανδρείᾳ μὴ χρονίζειν μετὰ τελευτὴν ἐπισκόπου τοὺς καθισταμένους, ἀλλ' ἅμα γίνεσθαι εἰρήνης ἕνεκα, τοῦ μὴ παρατριβὰς γενέσθαι ἐν τοῖς λαοῖς, τῶν μὲν τόνδε θελόντων, τῶν δὲ τόνδε. Κατέστησαν δὲ δι' ἀνάγκην,*
pag. 736. *μὴ παρόντος Ἀθανασίου, Ἀχιλλᾶν. Ὁ δὲ θρόνος ἦν καὶ ἡ ἱερωσύνη ἑτοιμαζομένη τῷ ἐκ θεοῦ κεκλημένου καὶ ἀπὸ τοῦ μακαρίτου Ἀλεξάνδρου ὡρισμένῳ. Ἐπεὶ οὖν ἐλθόντος Ἀθανασίου καὶ κατασταθέντος, ὄντος περὶ τὴν πίστιν ζηλωτοῦ σφόδρα, καὶ τῆς ἐκκλησίας ὑπερπάσχοντος, ἤδη συνάξεων πάντη καὶ ἀποσπάσματος τῶν λαῶν γινομένων ὑπὸ τῶν Μελητιανῶν καλουμένων, δι' ἣν ἐν τῇ περὶ Μελητίου ὑποθέσει αἰτίαν προδεδήλωκα, καὶ βουλομένου τὴν συνένωσιν τῆς ἐκκλησίας ποιήσασθαι, ἐνεκάλει, καὶ ἠπείλει, ἐνουθέτει τε καὶ οὐδεὶς*

Cap. X. — 1. *Rescribendum aut* καὶ ἔκπνους γεγονὼς, ὥστε οὕτω, *aut* καὶ ἔκπνους γεγονὼς δὲ οὕτω.

Cap. XI. — 1. συνειενεγκάμενος *cod. ms. uterque et ed. pr., unde eodem iure quo Petavio* συνειςενεγκάμενος *nobis liceret efficere* συνενενεγκάμενος. 2. *Repono* μίαν καθ' ἕνωσιν καὶ ὁμέ-

dem posterius obtinuit. Nam Arius noctu ventris levandi gratia progredi coactus, et in secessum abiens, in ipsa cella desidens crepuit, ac mortuus est inventus. Ita foetidissimo in loco repertus est, cum intestina omnia perinde eiecisset atque impurissimum dogma vomuerat.

His ad eum modum gestis imperator ecclesiae consulens, cum iam plerisque a se invicem dissidentibus varia essent schismata, oecumenicam synodum colligit CCCXVIII episcoporum, quorum nomina ad hoc usque tempus extant. Hi Nicaeae congregati damnato Arii dogmatae orthodoxam patrum fidem immutabilem, et ab apostolis ac prophetis traditam confirmant. Postremo ubi subscripsere episcopi, et Arianam haeresin anathemate devovere, synodo finis est impositus. Eadem in synodo canones quidam ecclesiastici conditi sunt. Nec non et de paschatis celebritate constituerunt, uti sancta illa religiosissima dies eodem tempore summa cum consensione ac concordia celebraretur. Nam antea non eadem omnium erat observatio. Quidam enim antevertebant, alii medio tempore, alii postremo sacrum illum diem agebant, et ut uno verbo dicam, summa erat per illud tempus confusio. Quae omnia pacis constituendae gratia beati Constantini opera ac studio componi deus pacificarique voluit. Postquam Arius proscriptus est, celeraque hoc modo gesta sunt, eodem anno mortuo Alexandro Alexandrinam ecclesiam Achillas obtinuit: contra quem Meletiani Theonam opposuerant. Achilla vero post tres menses defuncto Athanasius successit Alexandrini diaconus, ab eoque ad comitatum missus; cui moriens Alexander episcopatum committi mandaverat. Verum cum haec sit Alexandriae consuetudo ut post episcopi mortem successor non diutius differatur, sed subinde pacis tuendae gratia subrogetur, ne aliis hunc, aliis illum amplectentibus iurgia in vulgens et contentiones existant absente Athanasio Achillam substituere coacti sunt. Enimvero sedes ei ac pontificatus debebatur, qui et a deo vocatus et a beato Alexandro constitutus fuerat. Qui mox ut Alexandriam venit et episcopus creatus est, vehementi religionis ardore aestuans, ac deplorando ecclesiae statu commotus, cum ubique conventicula ac populi divortia a Meletianis fierent, ob eam caussam quam supra exposuimus, cum de Meletiano schismate ageremus, ille ecclesias consociare et ad concordiam redigere cupiens increpandi, commi-

νοιαν τὴν ἁγίαν θεοῦ πανέορτον ἡμέραν.

3. φύρσις *emendatio est Petavii. Cf. infra adnott. ad cap.* 31. φύρασις *placuit Ios. Scaligero. Libri habent* φράσις.

4. χομητάτον *scriptum est ubique.*

5. ὁ ἀλεξανδρεὺς *uterque cod. ms., et ed. princ.*

6. ἐπισχοπὴν *restitui ex libris manu exaratis. In utroque edito est* ἐπισχοπίαν.

[7] ἠνείχετο. Ὅθεν πάντα τὰ κατ' αὐτοῦ κινηθέντα ἐκ τοῦ ὑπερβάλλοντος ἐν αὐτῷ θεόθεν ζήλου ἐπράχθη τε καὶ συνεσκευάσθη· ὥστε καὶ ἐξορίας αὐτὸν ὑπομεῖναι, [8] ἕνεκα τῆς τῶν Ἀρειανῶν μετὰ [9] δυναστείας ἀδικωτάτης ἀκοινωνησίας. Ἀλλὰ περὶ τοῦ μακαρίτου Ἀθανασίου ἕως ἐνταῦθα ἐχέτω. Ἐρρήθη γὰρ τὰ κατ' αὐτὸν κατὰ λεπτότατον ἄνω ἐν τῇ Μελητίου ὑποθέσει.

Κεφ. ιβ'. Ἄρειος τοίνυν οὗτος ἐνεπνεύσθη ὑπὸ διαβολικῆς ἐνεργείας, καὶ ἀθυρογλώττως ἀναισχυντὶ φερόμενος ἐπῆρεν αὐτοῦ τὴν γλῶτταν κατὰ τοῦ ἰδίου δεσπότου, ἐξ ἀρχῆς δῆθεν τὴν παρὰ τῷ Σολομῶντι ἐν ταῖς αὐτοῦ παροιμίαις [1] λέξιν ἑρμηνεῦσαι βουλόμενος, τὸ, Ὁ κύριος ἔκτισέ με ἀρχὴν ὁδῶν αὐτοῦ, πρὸ τοῦ αἰῶνος ἐθεμελίωσέ με, ἐν ἀρχῇ πρὸ τοῦ τὴν γῆν ποιῆσαι, καὶ πρὸ τοῦ τὰς ἀβύσσους ποιῆσαι, πρὸ τοῦ προελθεῖν τὰς πηγὰς τῶν ὑδάτων, πρὸ τοῦ ὄρη [2] ἑδρασθῆναι, πρὸ δὲ πάντων βουνῶν γεννᾷ με. Ἔνθεν αὐτῷ ἡ εἰςαγωγὴ τῆς πλάνης γεγένηται. Καὶ οὐκ ᾐδέσθη, καὶ οἱ αὐτοῦ μαθηταὶ, κτίσμα ἀποκαλεῖν τὸν τὰ πάντα κτίσαντα, τὸν ἐκ πατρὸς [3] ἀχρόνως καὶ ἀνάρχως γεγεννημένον λόγον. Λοιπὸν δὲ ἀπὸ τοῦ ἑνὸς τούτου λόγου εἰς πολλὰς καὶ κακὰς τρίβους ἐλάσας τὴν ἑαυτοῦ κακότροπον γνώμην, καὶ οἱ ἀπ' αὐτοῦ διάδοχοι μυρία καὶ ἐπέκεινα εἰς τὸν υἱὸν τοῦ θεοῦ, καὶ εἰς τὸ ἅγιον πνεῦμα βλασφημῆσαι ἐπεχείρησαν. Παρέλυσαν δὲ, ὡς εἰπεῖν, τὸ στῖφος καὶ τὴν ὁμόνοιαν τῆς ἁγίας καὶ ὀρθοδόξου πίστεως καὶ ἐκκλησίας, οὐ διὰ τῆς αὐτῶν δυνάμεως ἢ σοφίας· ὀλίγοι γὰρ οἱ [4] προςκληθέντες ἠπατημένοι, πολλοὶ δὲ οἱ ὑποκρίσει ὑπειςδύνοντες. Πολ-
pag. 737 λοὶ δὲ καὶ κατὰ βίαν μὴ ἔχοντες οὕτως κοινωνοὶ τοῖς αὐτοῖς τυγχάνουσιν. Οὐδεὶς δὲ τούτων πρόξενος, ἀλλὰ πρῶτον μὲν δοκιμασία πιστῶν, βασιλέων δὲ ὑπερασπισμὸς, ἀρχὴ μὲν Κωνστάντιος ὁ βασιλεὺς, τὰ μὲν ἄλλα πάντα πρᾶος καὶ ἀγαθὸς, ὡς υἱὸς τοῦ μεγάλου καὶ τελείου Κωνσταντίνου τοῦ θεοσεβοῦς καὶ πίστιν ὀρθὴν ἀληθινῶς πεφυλακότος, καὶ αὐτοῦ δὲ τοῦ Κωνσταντίου θεοσεβοῦς ὄντος, καὶ ἀγαθοῦ κατὰ πολλοὺς τρόπους· ἐν τούτῳ δὲ μόνον, ἐν τῷ μὴ κατὰ τὴν πίστιν τοῦ πατρὸς αὐτὸν ὡδευκέναι ἐσφάλη, οὐκ ἀφ' ἑαυτοῦ αἰτίας, ἀλλὰ ἀπὸ τῶν μελλόντων δοῦναι λόγον εἰς ἡμέραν κρίσεως, τῶν δοκήσει ἐπισκόπων λεγομένων, παραφθειράντων δὲ τὴν [5] τοῦ θεοῦ ἀληθινὴν πίστιν· οἵτινες ἔχουσι δοῦναι λόγον καὶ ὑπὲρ τῆς πίστεως, καὶ ὑπὲρ τῶν διωγμῶν τῆς ἐκκλησίας, καὶ τοσούτων κακῶν καὶ φόνων τῶν ἐν

7. *Cf. supra haer.* 68, 6.
8. ἕνεκα *palmaria est Ios. Scaligeri emendatio. Libri habent* καί.
9. *Vulgo* μεταδυναστείας.

CAP. XII. — 1. *Libri vulgo* λέξεσιν, *cod. Rhedig.* λέξαισιν.
2. *Vulgo* ἐδρασθῆναι.
3. ἀνάρχως καὶ ἀχρόνως *cod. Rhedig.*

nandi et hortandi finem nullum faciebat, auscultante nemine. Ex quo omnes illae contra ipsum turbae conflatae ac comparatae sunt, ob eximium illius ardorem ac studium divinitus in eum a deo collatum. Quae res eo usque processit ut frequenter exilia sustinuerit, et ab Arianis, qui tum viribus ac potentia pollebant, per summam indignitatem excommunicatus fuerit. Verum de b. Athanasio hactenus. Quae enim ad eum attinebant, supra in Meletiano schismate declarata sunt.

χρόνων Ἰωσὴφ τοῦ ταύτης [2] ὁρμαστοῦ, οὐκ ἔστιν ἀπὸ τῶν χρόνων [3] Σαλαθιὴλ, καὶ Ζοροβάβελ, καὶ Δαβὶδ, καὶ Ἀβραὰμ, καὶ Ἰακὼβ, καὶ Νῶε, καὶ Ἀδὰμ, ἀλλὰ, Ἐν ἀρχῇ ἦν ὁ λόγος, καὶ ὁ λόγος ἦν πρὸς τὸν θεὸν, καὶ θεὸς ἦν ὁ λόγος. Τὸ δὲ Ἦν, καὶ Ἦν, καὶ Ἦν, οὐχ ὑποδέχεται [4] τὸ μὴ εἶναί ποτε· καὶ ὁρᾷς πῶς εὐθὺς τὰ ἐγγυτάτω πρῶτον σημαίνει, ὡς Ματθαῖος μὲν τὴν ὁδὸν ἔδειξε διὰ τῆς γενεαλογίας, καὶ οὐδὲ αὐτὸς ἠκρίβωσεν, ἀλλ' ἐπειδὴ ἄνωθεν ἔφερε καίτοι γε τὴν γενεαλογίαν· πῶς τε ὁ Μάρκος περὶ τῶν ἐν τῷ κόσμῳ πεπραγματευμένων, καὶ φωνῆς βοώσης ἐν τῇ ἐρήμῳ, περὶ τοῦ κυρίου τοῦ διὰ προφητῶν πεπροφητευμένου καὶ νόμου, πῶς τε ὁ Λουκᾶς ἀπὸ τῶν κάτω ἐπὶ τὰ ἄνω ἀνῆγεν, ἐςύστερον ἐλθών; τέταρτος ὁ Ἰωάννης τὴν κορωνίδα καὶ τὸ ἀκραιφνὲς τῆς ἄνω τάξεως καὶ ἀεὶ οὔσης θεότητος τὰ ὕστερον ἐδήλωσεν; ὡς καὶ ὁ Σολομῶν παροιμιωδῶς λέγων τὴν ἀρχὴν τῶν ὁδῶν, εἴ γε κἂν εὐσεβῶς θελήσαιέν τινες λέγειν περὶ τῆς ἐνσάρκου οἰκονομίας, ὡς αὐτῆς φασκούσης περὶ τῆς τοῦ Χριστοῦ θεότητος ὅτι αὐτὴ ἡ θεότης ἔκτισε τὸν οἶκον, ὅτι αὐτὴ ἡ θεότης τὴν σάρκα καὶ τὴν ἐνανθρώπησιν εἰργάσατο, ἀρχὴν ὁδῶν [5] αὐτοῦ εἰς ἔργα αὐτοῦ τῆς τῶν ἀνθρώπων σωτηρίας καὶ ἀγαθότητος, εἶτα εὐθὺς μετέπειτα, ἔτι προκοπτόντων τῶν πραγμάτων, λέγει, Ἐθεμελίωσέ με ἐν ἀρχῇ. Ἆρα γοῦν ὁ υἱὸς τοῦ θεοῦ κατὰ τὴν θεότητα κτισθεὶς ὕστερον ἐθεμελιώθη; λεγέτωσαν ἡμῖν οἱ μηχανικοὶ, οἱ τῶν ἄνω κατοπτευ-
pag. 748. *ταὶ, ποίᾳ τέχνῃ ἐκτίσθη ἡ σοφία, ποίῳ ἐργαλείῳ ἐθεμελιώθη. Ἀλλὰ εἰ ὅλως διανοεῖσθαι χρὴ, [6] φεύγει μὲν ἀπὸ τοσούτου βυθοῦ τῆς βλασφημίας, καὶ μὴ [7] προςψαύει τῇ θεότητι τοῦ μονογενοῦς, τῇ ἀεὶ σὺν πατρὶ ὑπαρχούσῃ καὶ γεγεννημένῃ ἐξ αὐτοῦ. Ἀεὶ γὰρ ἦν ὁ λόγος σὺν πατρὶ, ἀεὶ ἡ σοφία, ἀεὶ θεὸς ἐκ θεοῦ κύριος, ἀεὶ φῶς ἀληθινὸν, καὶ οὐ νόθον, ἀεὶ τὸ ὂν ἐξ αὐτοῦ ἔχων, καὶ ἀλήθεια ὢν, καὶ ζωὴ ὑπάρχων.*

Κεφ. κδ'. *Καὶ τί μοι τὰ πολλὰ λέγειν περὶ τούτου; Εἶτά φησι, Ἐθεμελίωσέ με ἐν ἀρχῇ. Ἆρα ἔστιν ἰδεῖν εὐσεβὲς ὅτι τὴν ψυχὴν τὴν ἀνθρωπείαν ἐνταῦθα σημαίνει. Τὸ μὲν γὰρ, Κύριος ἔκτισέ με, ἡ ἐνανθρώπησις λέγει ἡ ἔνσαρκος, ἐάν γε καὶ οὕτω νοοῖτο. Τὸ δὲ Ἐθεμελίωσεν, ὡς ἐν τῇ ψυχῇ ἐθεμελιώθη. Τὸ δὲ, Πρὸ πάντων βουνῶν γεννᾷ με, ἵνα δείξῃ τὴν γέννησιν ἄνωθεν. Καὶ ταῦτα εἴπομεν, οὐχ οὕτως πάντως*

2. *Cf. adnott. Petavii de hoc voc., praeterea Fr. Franci (Cl. Salmasii) Confutat. Animadvers. Ant. Cercoetii p. 81., Du Cangii Gloss. ad Scriptt. Med. et Inf. Graec. s. v.* Ὁρμάζειν.

3. Σαλαθιὴλ *cod. Rhedig.*

4. *Ita coniecit Petavius. In libris est* τοῦ.

genuit, neque ab Iosephi virginis sponsi, aut Salathiel, Zorobabel, David, Abraam, Iacob, Noë et Adam temporibus duntaxat extitit, sed, *In principio erat verbum, et verbum erat apud deum, et* Ioann. 1, 1.
deus erat verbum. Atque haec particula *Erat* ter repetita non patitur ut illum quandoque non fuisse suspicemur. Animadvertis igitur quae proxima sunt priore loco fuisse significata. Sic Matthaeus contexenda Christi genealogia viam quodammodo monstravit; neque accurate tamen ista tractavit, cum genealogiam illam ab superioribus deduceret. Deinde Marcus ea quae in hoc mundo gesta sunt aperuit, ac de voce illa in deserto clamante, deque domino, qui a prophetis ac lege antea nuntiatus fuerat, scripsit. Secundum quem Lucas ab inferioribus ad superiora conscendit. Quartus denique Ioannes velut coronidem imponens sublimioris in Christo conditionis ac naturae et sempiternae divinitatis interpres extitit. Quo sensu videri potest Salomon in proverbiis *Viarum* appellasse *principium:* Prov. 8, 22.
si quidem nonnullis haec ipsa verba religiose libeat ad humanam Christi naturam transferre, quasi de eiusdem divinitate ista pronuntiet, nimirum divinitatem ipsam domum extruxisse. Quippe carnem et susceptam hominis naturam divinitas fabricavit, tanquam *viarum suarum initium, et ad opera sua,* hoc est quae ad hominum salutem bonitatemque pertinent. Deinde vero in progressu ipso rerum, *Fundavit me,* inquit, *initio.* Utrumnam igitur dei filius, quod ad divinitatem attinet, postea fundatus est? Dicant hoc nobis architecti isti ac coelestium rerum inspectores, quanam arte condita sit, quove instrumento fundata sapientia. Quamobrem si quid nobis de ea re cogitare licet, tam alta blasphemiae vorago fugienda, nec tentanda unigeniti filii divinitas, quae cum patre semper est, ab eoque processit. Verbum enim cum patre semper extitit, semper sapientia, semper deus ex deo dominus, semper vera, nec adulterina lux, semper is qui ab ipso naturam et essentiam habet quique veritas est et vita.

Quid autem pluribus ea de re disputare necesse est? Pergit Cap. XXIV.
Salomon, et, *Fundavit me,* inquit, *initio.* Ubi pie illud animadvertere possumus, humanam his verbis animam declarari. Nam haec ipsa, *Dominus creavit me,* si ad eum sensum referre placeat, ab humanitate usurpari putanda sunt. Quod autem fundasse dicit, animam potissimum spectat, cuius ratione fundatus dicitur. Iam quod additum est, *Ante omnes colles genuit me,* sic accipiendum est ut coelestem illam generationem demonstret. Atque haec ita dicimus,

5. αὐτοῦ *non habet cod. Rhedig.*
6. φεύγειν δεῖ *volebat Petavius.*
7. *Libri habent* προςψαύειν. *Cornarius convertit* fugerimus utique a tanta blasphemiae profunditate, et ne attigerimus *cett.*, ut φεύγωμεν ἀπὸ - - προςψαύωμεν τῇ θεότητι *putasse videatur.*

ὁριζόμενοι, εὐσεβῶς δὲ μᾶλλον εἰς τὴν ἔνσαρκον παρουσίαν διανοηθέν-
τες. Εἰ καὶ χρὴ οὕτω λέγειν, ὅμως οὐδεὶς ἡμᾶς ἀναγκάσειε πάντως
περὶ τοῦ Χριστοῦ λέγειν τὸ ῥῆμα τοῦτο. Εἰ δὲ περὶ τοῦ Χριστοῦ
ῥηθήσεται, ἔχει καὶ τὴν αὐτοῦ δύναμιν, οὐ κατὰ μαντείαν λεγομένην,
ἀλλὰ κατὰ τὸ εὐσεβὲς τοῦ λογισμοῦ, τοῦ μὴ λογίζεσθαι εἰς Θεόν τι
ἐλαττώματος ὑποβεβηκυῖαν νομίζειν αὐτὸν θεότητα παρὰ τὴν τοῦ πα-
τρὸς ἔχειν οὐσίαν. Καὶ γάρ τινες τῶν πατέρων ἡμῶν καὶ ὀρθοδόξων
ἀπέδωκαν τοῦτο εἰς τὴν ἔνσαρκον παρουσίαν διανοηθέντες. Εἰ καὶ
χρὴ οὕτω λέγειν τὸ περὶ τοῦ, Κύριος ἔκτισέ με, καὶ ἐθεμελίωσέ με,
καὶ οὗτός ἐστιν ὁ [1] εὐσεβὴς λογισμὸς, μεγάλοι πατέρες τοῦτο ὑφηγή-
σαντο. Καὶ εἰ μή τις βουληθείη τῶν ὀρθοδόξων καταδέξασθαι, οὐ
καταναγκασθήσεται. Πρὸς δὲ τοὺς ξένους τῆς πίστεως καὶ ἀλλοτρίους
εἰς οὐδέν ἐστιν ἡ βλάβη. Οὔτε γὰρ τοῦτο ἡμῖν ἐνσκήψει εἴς τι ἐλατ-
τώματος, τῆς θεότητος ἐλευθέρας οὔσης καὶ ἀεὶ οὔσης σὺν τῷ πατρί.
Καὶ ὅ τι μὲν πέπονθεν ὁ Χριστὸς, πέπονθεν, ἀλλ' οὐκ ἐτράπη τὴν
φύσιν, ἔμεινε δὲ ἐν τῇ αὐτοῦ ἀπαθείᾳ ἡ αὐτοῦ θεότης. Διὸ θελή-
σας παθεῖν, ἰδίᾳ εὐδοκίᾳ ὑπὲρ τοῦ γένους τῶν ἀνθρώπων, ἐπειδὴ
οὐκ ἐδύνατο ἡ θεότης παθεῖν, καθ' ἑαυτὴν ἀπαθὴς οὖσα, ἔλαβε τὸ
pag. 749. ἡμέτερον παθητὸν σῶμα, σοφία ὢν, ἵνα ἐν αὐτῷ [2] σὺν εὐδοκήσει τοῦ
παθεῖν καὶ ἀναδέξηται τὰ ἡμέτερα πάθη, ἐν σαρκὶ συνούσης τῆς θεό-
τητος. Καὶ γὰρ ἡ θεότης οὐ πάσχει. Πῶς γὰρ ὁ λέγων, Ἐγώ εἰμι
ἡ ζωὴ, ἀποθανεῖν δυνήσεται; ἀλλὰ ἀπαθὴς διαμένει ὁ θεός. Συμ-
πάσχει δὲ τῇ σαρκὶ, ἵνα τὸ πάθος εἰς τὴν θεότητα λογισθῇ, μὴ πα-
σχούσης τῆς θεότητος, εἰς τὸ εἶναι ἡμῖν ἐν θεῷ τὴν σωτηρίαν. Ἐν
σαρκὶ δὲ τὸ πάθος, ἵνα μὴ παθητὸν [3] θεὸν ἔχωμεν, ἀλλὰ ἀπαθῆ,
ἐλλογοῦντα εἰς ἑαυτὸν τὸ πάθος, κατὰ προαίρεσιν, καὶ οὐ κατὰ
ἀνάγκην.

Κεφ. κέ. Ὅμως δὲ καὶ οὗτοι τὰς λέξεις τὰς Ἑβραϊκὰς οὔτε ψηλαφήσαντες,
οὔτε γνόντες, οὔτε πῶς ἔχει ἡ τούτων δύναμις, [1] προάλλως καὶ προ-
πετῶς ἀνέκυψαν δεινοὶ ἐχθροὶ, ζητοῦντες πρόφασιν πόθεν τὴν πίστιν
λωβήσουσι, μᾶλλον δὲ ἑαυτοὺς (οὐ γὰρ τὴν ἀλήθειαν), καὶ ἐπειδὴ εὗ-
ρον ὅτι, Ὁ κύριος ἔκτισέ με, ῥιψοκινδύνως ὥςπερ φανταζόμενοι ὀνει-
ροπολοῦσι, τὰ μηδὲν χρήσιμα ἐπεισενέγκαντες τῷ βίῳ, καὶ ταράξαν-

Cap. XXIV. — 1. εὐσεβὴς *restitui ex scriptis libris. Editi habent* σεβής. *Pro* μεγάλοι *Petav. coni.* ὡς μεγάλοι. 2. σὺν εὐδοκήσει *mea est emendatio. Libri vulgo* συνευδοκήσῃ.

non ut eo modo se habere penitus definiamus, sed ut pie nihilominus de Christi domini nostri incarnatione sentiamus; siquidem eiusmodi esse debeat loci huius sententia. Quamquam nemo cogere nos potest ut de Christo dictum illud existimemus. Verumtamen ut ad Christum spectare demus, suum habere potest sensum, qui non vaticinando confictus, sed ex animi pietate profectus est, ne quem in deum cadere defectum arbitremur, aut filii divinitatem essentia patris inferiorem esse sibi quisquam persuadeat. Nam et nonnulli orthodoxorum patrum locum illum Salomonis de incarnatione Christi interpretati sunt, *Dominus possedit me, et fundavit me.* Estque hic demum sensus pietati consentaneus, cum ita, ut dixi, magni quidam patres intellexerint. Quibus si quis hac in parte assentiri minime velit, cogi nullo modo potest. Quod autem ad alienos a fide et haereticos attinet, nullum omnino damnum hinc metuere debemus. Neque enim ad ullam divinitatis imminutionem pertinere istud potest, quae libera est, et cum patre semper extitit. Porro passus est quidem Christus quodcumque demum passus est; sed non eius natura mutata est, atque eiusdem divinitas in sua illa passionis experte conditione perstitit. Quare cum de propria voluntate pro hominum salute pati constituisset, quod divinitas perpeti nihil posset, quae per seipsam expers passionis est, corpus nostrum, quod pati videlicet potest, induit divina illa sapientia, ut in ipso sponte sua pateretur, ac coniuncta cum carne divinitate affectiones nostras in sese susciperet. Etenim divinitas ipsa extra omnem est patiendi conditionem. Quomodo enim mortem is obire posset qui dicit, *Ego sum vita?* Itaque cum passionis expers perseveret deus, cum carne tamen patitur, adeo ut divinitati passio illa tribuatur, cum nihil tamen per sese illa patiatur. Ut nimirum salus nobis per deum comparetur, caro autem ipsa duntaxat afficiatur, ut ne passionibus obnoxium, sed ab iis potius immunem deum habeamus; qui sponte sua nec ulla necessitate coactus eandem illam affectionem imputari sibi velit.

Cap. XXV. At isti cum Hebraicas voces ne attigerint quidem, aut ulla earum cognitione perfusi sint, neque quid sibi velint intelligant, temere ac petulanter vehementes hostes insurgunt, occasionem undique captantes, qua fidem nostram, vel seipsos potius (nihil enim adversus veritatem possunt) quacumque ratione labefactent. Unde cum ita scriptum reperissent, *Dominus creavit me*, insipide ac sine ullo iudicio, velut per somnium, visa nescio quae sibi finxerunt, atque

3. θεὸν ἔχωμεν cod. *Ien.* ἓν ἔχωμεν cod. *Rhedig.* θεὸν ἔχομεν editi.

Cap. XXV. — 1. *Cf. Lobeck ad Phryn.* p. 245.

τες τὴν οἰκουμένην. Τὸ δὲ Ἑβραϊκὸν οὐχ οὕτως ἔχει· ὅθεν Ἀκύλας
λέγει, Κύριος ἐκτήσατό με. Ἀεὶ δὲ οἱ γεννῶντες παῖδας λέγουσι,
Ἐκτησάμην υἱόν. Ἀλλ' οὔτε Ἀκύλας τὴν δύναμιν ἡρμήνευσε. Καὶ
γὰρ τὸ, Ἐκτησάμην υἱὸν, ὡς πρόσφατόν ἐστιν, ἐν θεῷ δὲ οὐδὲν ἔτι
πρόσφατον· κἄν τε ὁμολογῇ τις [2] ὃ γεγέννηται ὁ υἱὸς ἐκ τοῦ πατρὸς,
καὶ οὐκ ἔκτισται, γεγέννηται δὲ ἀχρόνως καὶ ἀνάρχως. Οὔτε γὰρ ἔτι
χρόνος ἀναμέσον υἱοῦ καὶ πατρὸς, ἵνα μὴ χρόνος τις ὑπὲρ πλείω γί-
νηται τοῦ υἱοῦ. Εἰ γὰρ δι' αὐτοῦ τὰ πάντα, [3] ἄρα καὶ οἱ χρόνοι.
Χρόνου δὲ ὑπάρχοντος τοῦ πρὸ πάντων ὄντος, πῶς ἔσται τοῦτο; ἀλ-
λὰ, εἰ ἄρα, ζητηθήσεται ἄλλος υἱὸς, δι' οὗ πρὸ τοῦ υἱοῦ γέγονε χρό-
νος. Καὶ πολλά ἐστιν ἃ εἰς ἄπειρον ἀπορίαν ἄγει τὰ τῶν περιερ-
γαζομένων, καὶ μηδὲν ἀγαθὸν ἐργαζομένων ἀνθρώπων φρονήματα.
Ἐν δὲ τῷ Ἑβραϊκῷ λέγει, Ἀδωναΐ, ὃ λέγεται Κύριος, [4] Κανανί
δύναται λέγεσθαι καὶ [5] Ἐνόσσευσέ με καὶ Ἐκτήσατό με, τὸ δὲ ἀκρι-
pag. 750. βέστατον λέγεται, [6] Ἐνόσσευσέ με. Ποῖος δὲ νοσσὸς οὐκ ἀπὸ φύ-
σεως τοῦ γεγεννηκότος γεννᾶται; καὶ ὧδε μὲν ἐν τοῖς σωματικοῖς
πλαστίοις διὰ συνδυασμῶν ἄρρενός τε καὶ θηλείας τὰ νοσσευόμενα
γίνεται, ἀπὸ ἀνθρώπου ἕως κτήνους καὶ πετεινῶν, καὶ τῶν ἄλλων.
Διόπερ ὁ μονογενὴς τὰ πάντα σοφία ὢν τοῦ πατρὸς, καὶ βουλό-
μενος ἐπὶ διορθώσει τὰ πάντα ἐργάσασθαι, ἵνα μή τις εἰς αὐτὸν
λογίσηται ἃ μὴ ἔστι, καὶ ἐκπέσῃ τῆς ἀληθείας, ἐνδημήσας τῷ τῶν
ἀνθρώπων γένει, καὶ φύσει ἀπὸ γυναικὸς γεννηθεὶς, καὶ ἐν μήτρᾳ
παρθένου ἀνακλιθεὶς τὸν τῶν [7] κυοφοριῶν χρόνον, οὐκ ἀπὸ σπέρμα-
τος ἀνδρὸς συνελήφθη, ἵνα μὴ συνδυασμὸς καὶ παραπλοκὴ [8] ἐν τῇ
ἐνσάρκῳ γεννήσει γένηται, ἀλλ' ἐκ μητρὸς μονοειδῶς ἔλαβε τὴν σάρκα,
καὶ εἰς ἑαυτὸν ἐπλήρωσε τελείαν τὴν ἑαυτοῦ ἐνανθρώπησιν, οὐκ ἐλλιπῆ
οὖσαν, ἀλλὰ ἀληθινήν. Καὶ [9] οὐχ ὅτι ἀπὸ σπέρματος ἀνδρὸς οὐκ
ἦν, εἶχέ τι ἐλλιπές. Πάντα γὰρ τελείως ἔσχε τὰ πάντα ἔχων, σάρκα,
καὶ νεῦρα, καὶ φλέβας, καὶ τὰ ἄλλα πάντα ὅσα ἐστι, ψυχὴν δὲ ἀλη-
θινῶς, καὶ οὐ δοκήσει, νοῦν δὲ καὶ τὰ πάντα ὅσα ἐστιν ἐν τῇ ἀνθρω-
πήσει, χωρὶς ἁμαρτίας, ὡς γέγραπται, Πεπειραμένος κατὰ πάντα ὡς
ἄνθρωπος, χωρὶς ἁμαρτίας, ἵνα ἐν τῷ μονοειδῶς ἐνταῦθα ἀπὸ μητρὸς
κατὰ σάρκα γεγενῆσθαι τελείως, καὶ οὐκ ἐλλιπῶς, δείξῃ τοῖς βουλο-
μένοις ὁρᾶν τὴν ἀλήθειαν, καὶ μὴ τυφλώττειν τὸν ἴδιον νοῦν, ὅτι καὶ

2. „Vitium subest huic loco" *adnotavit in marg. Petavius. Reponendum videtur* ὅτι *pro* ὅ.
3. *Vulgo* ἄρα.
4. *Suspicor* Κανανί, ὃ δύναται.
5. ἐνόσευσε *codd. mss.*
6. ἐνόσευσε *codd. mss.*
7. κυοφορίων *editorum uterque.*
8. καὶ ἐν *habent libri. Particula* καὶ *accrevit ex terminatione* κῃ *vocabuli proximi.*
9. οὐχ ὅτι *scripsi cum Petavio et Cornario (is enim vertit* Et non quia ex semine viri non erat, ideo habebat quid defectuosum) *pro* ὅτι οὐχ, *quod libri vulgo praebent.*

inania quaedam introduxerunt, quibus terrarum orbem magnopere perturbarunt. Ceterum Hebraice longe aliter legitur, ideoque sic Aquila interpretatur: *Dominus possedit me.* Solent enim qui liberos suscipiunt vulgo dicere, Possedi filium. Quamquam ne Aquila quidem vim satis expressit. Nam illud, *Possedi filium*, recens aliquid ac novum significat, cuiusmodi in deo nihil est. Ac si quis nihilominus illud concesserit, genitus tamen a patre filius non creatus existimandus est, atque ita quidem genitus ut sine tempore aut initio sit genitus. Neque enim filium inter et patrem tempus ullum interceptum est, ne qua temporis pars filii originem antecessisse dicatur. Nam *si per ipsum facta sunt omnia*, etiam tempora ipsa Ioann. 1, 3.
facta sint oportet. Quod si tempus aliquod ante omnia extitisse dicatur, quonam modo illud existet? Quaerendus nimirum alter nobis filius, a quo tempus ante filium productum sit. Sexcenta sunt alia quibus curiosorum hominum, neque boni quiddam afferentium, ingenia inextricabilibus difficultatum laqueis implicantur. Iam vero Hebraice ita legitur: *Adonai*, hoc est *Dominus*, *Canani*, hoc est *Velut pullum edidit me*, vel *Possedit me;* multo autem commodius est ut priore modo reddatur, *Tanquam pullum edidit me.* Ecquis vero pullus ex eius natura non proficiscitur a quo genitus est? Est illa quidem formandorum corporum ratio ut ex utriusque coniunctione sexus foetus omnes existant, idque ipsum tam in homine quam in pecudibus, volucribus, ac ceteris animantibus videmus. Quamobrem unigenitus dei filius, idemque perfecta patris sapientia cum ita perficere omnia vellet ut ad homines moderandos ac corrigendos valerent, ne quis de ipso falsa quaedam suspicaretur, et a veritate excideret, naturam hominis suscipiens atque, ut natura fert, de muliere genitus, totoque parturitionis tempore in virginis utero residens, nequaquam est ex virili semine genitus, ne qua vel in hac corporea generatione sexuum copula esset ac coniunctio: verum sola ex matre carnem accepit, perfectamque in sese hominis naturam, neque mancam aut defectam, sed veram ac consummatam expressit. Nam tametsi minime ex viri satu prodierit, nihil ei tamen ad integritatem defuit, adeoque suis omnibus partibus absolutus extitit, carne, nervis, venis, ac reliquis eiusmodi, anima praeterea, quam non specie tenus, sed reipsa suscepit, similiter et mentem, aliaque omnia, quibus hominis natura constat, praeter peccatum, pro eo ac scriptum est, *Tentatus per omnia absque peccato.* Ut cum sola Hebr. 4, 15.
ex matre perfecte, et absque illo defectu secundum carnem hic genitus sit, hoc ipsum his ostendat qui veritatem intueri, nec excaecata mente esse voluerint, cum in coelo perfecte sine ullo tempore

ἄνω ἐκ πατρὸς τελείως γεγέννηται, ἀχρόνως καὶ ἀνάρχως, καὶ κάτω ἐκ μητρὸς μόνης γεγέννηται ἀχράντως καὶ ἀμολύντως.

Κεφ. κς'. Ἵνα δὲ καὶ ἑρμηνεύσωμεν τὴν τοῦ Ἀδωναΐ [1] καννανί λέξιν, ὅπερ ἐστὶ Κύριος ἐνόσσευσέ με. Πᾶν γὰρ τὸ γεννῶν ὅμοιόν [2] τι γεννήσει. Ἄνθρωπος ἄνθρωπον γεννᾷ, καὶ Θεὸς Θεὸν, καὶ ὁ μὲν ἄνθρωπος γεννᾷ κατὰ σάρκα, Θεὸς δὲ κατὰ πνεῦμα, καὶ οἷς ὁ γεννῶν ἄνθρωπος, τοιοῦτος καὶ ὁ ὑπ' αὐτοῦ γεννώμενος. Εἴσω παθῶν περιεχόμενος ὁ γεννήσας ἄνθρωπος τὸν ἴδιον υἱὸν, καὶ ὁ ἀπαθὴς Θεὸς τὸν ὑπ' αὐτοῦ γεγεννημένον υἱὸν ἀπαθῶς ἐγέννησεν ἀληθινῶς, καὶ οὐ δοκήσει, ἀπὸ ἑαυτοῦ, καὶ οὐκ ἔξωθεν ἑαυτοῦ, πνεῦμα ὢν ἀπαθὲς, καὶ γεννῶν πνεῦμα ἀπαθῶς, Θεὸς ὢν ἀπαθὴς, Θεὸν ἀληθινὸν γεννήσας
pag. 731. ἀπαθῶς. Εἰ γὰρ αὐτὸς ἔκτισε τὰ πάντα, καὶ ὁμολογεῖς, ὦ Ἄρειε, ὅτι κέκτικεν ὁ Θεὸς τὰ πάντα, αὐτὸς καὶ τὸν υἱὸν ἐγέννησεν. Εἰ δὲ λέγεις, ἐὰν ἐγέννησεν, ἔπαθε γεννήσας, καὶ ἡμεῖς πρὸς σὲ ἐροῦμεν ὅτι, εἰ γεννῶν ἔπαθε, κέκμηκε κτίσας. Ἀλλὰ ἅμα πάντα ἃ βούλεται, πάντα ἔχει ἐν ἑαυτῷ ἐν τελειότητι, καὶ οὔτε ἐν τῷ κτίζειν [3] εἰς τὸν υἱὸν πάθος ἐνσκήψει, οὔτε πάθει συνέχεσθαι τὸ θεῖον διὰ τὴν ἄχραντον τοῦ υἱοῦ γέννησιν νοηθήσεται. Ἄτρεπτος γὰρ ὁ πατὴρ, ἄτρεπτος ὁ υἱὸς, ἄτρεπτον τὸ πνεῦμα τὸ ἅγιον, μία οὐσία, μία θεότης. Ἀλλὰ πάντως ἐρεῖς μοι, Θέλων ἐγέννησεν, ἢ μὴ θέλων. Καὶ οὐκ εἰμι κατὰ σὲ, ὦ φιλόνεικε, ἵνα ἕν τι τοιοῦτον εἰς Θεὸν διανοηθῶ. Εἰ μὲν γὰρ μὴ βουλόμενος ἐγέννησεν, ἄκων ἐγέννησε, καὶ εἰ βουλόμενος ἐγέννησεν, ἄρα ἦν τὸ βούλημα πρὸ τοῦ υἱοῦ, καὶ ἔσται κἂν ῥοπὴ χρόνου μεταξὺ υἱοῦ διὰ τοῦ βουλήματος· ἐν Θεῷ δὲ οὐ χρόνος εἰς βουλὴν, οὐ βούλησις εἰς διανόησιν. Οὔτε οὖν θέλων ἐγέννησεν, οὔτε μὴ θέλων, ἀλλὰ ἐν τῇ ὑπὲρ βουλὴν φύσει. Φύσις γὰρ αὐτῷ ἐστι θεότητος, οὔτε βουλῆς ἐπιδεομένη, οὔτε ἄνευ βουλῆς τι πράττουσα, ἀλλ' ἅμα ἐξ αὐτῆς τὰ πάντα ἔχουσα, καὶ οὐδὲν λείπουσα τῶν ὄντων.

Κεφ. κζ'. Ἔτι δὲ πάλιν ὁ αὐτὸς Ἄρειος θηρᾶται λέξεις, περινοστῶν ἀεὶ τὰ πάντα, καὶ περιεργαζόμενος ἑαυτῷ τὰ μοχθηρὰ, οὐχ ὡς ἔχει τὸ θεῖον γράμμα, ἀλλ' ὡς αὐτὸς νοσῶν περὶ τὰς ζητήσεις καὶ λογομαχίας εἰς οὐδὲν χρήσιμον, ἀλλ' ἐπὶ καταστροφῇ ἑαυτοῦ καὶ τῶν ὑπ' αὐτοῦ πεπλανημένων, ἐπιλαμβάνεται τοῦ ῥητοῦ οὗ ὁ κύριος εὐλογῶν τοὺς μα-

Cap. XXVI. — 1. χανανί cod. Rhedig.
2. τῇ cod. Rhedig.
3. *Corrigendum puto* εἰς τὸν Θεόν. *Petavius suspicabatur* ὁτιοῦν. *Cornarius vertit* et neque in creando passio in fi-

aut initio ex patre, tum in terra sine labe ulla et macula sola se esse de matre genitum.

Atque ut voces illas interpretemur, *Adonai cannani*, hoc est, *Dominus foedificavit me*, quicquid alterum gignit, simile utique sibi gignit. Ergo et hominem homo generat, et deus deum. Ille carne, hic spiritu generat. Qualis porro est generans homo, talis est et genitus. Homo qui generat cum affectionibus sit obnoxius, perinde et filium gignit: deus autem omni affectione carens, sine eadem et genitum a se filium produxit, et quidem vere, non specie sola, ex semetipso, non extra se, genuit, spiritus utique, sine ulla, uti dixi, affectione, ac sine eadem spiritum generans, deus affectionis expers verum deum sine affectione producens. Etenim ille ipse qui creavit omnia, id quod ne tu quidem inficiari audes, o Ari, idem, inquam, filium genuit. Quare si istud obiicias, si genuit, passionem aliquam gignendo expertus est, tibi hoc vicissim opponemus, si generando aliquid passus est, etiam in creando laboravit. Res ipsa porro sic se habet ut quaecumque voluerit in seipso perfecte contineat, ac neque in rebus procreandis affectionem ullam suscipiat, neque propter integram ac purissimam filii generationem pati quicquam divinum numen afficique suspicemur. Si quidem immutabilis est pater, immutabilis filius, immutabilis spiritus sanctus, una essentia, una divinitas. Atenim dices, Vel voluntate, vel praeter voluntatem genuit. Ego vero nequaquam ero tui similis, homo contentiosissime, ut de deo quicquam eiusmodi cogitem. Nam sive praeter voluntatem genuit, invitus genuit, sive voluntate genuit, haec ipsa voluntas filium antecessit. Unde vel minimum saltem momentum propter illud voluntatis decretum ante filium intercipi poterit. At in deo neque tempus ad capiendum consilium, neque voluntas ad cogitationem requiritur. Quocirca neque volens neque vero nolens genuit, sed in natura, quae consilio omni superior est. Haec enim est natura divinitatis ut neque consilio egeat, nec absque consilio quicquam moliatur, sed ex seipsa simul habeat omnia, nec ulla re deficiatur. Cap. XXVI.

Iam vero idem ille Arius, qui in captandis vocibus ita totus est, omnia ut diligenter obeat ac perlustret, atque improba quaedam undequaque vestiget, non ut divinis literis consentanea sint, sed pro eo atque ipsum animi morbus impulerit, quo ad inanes quaestiones et verborum contentiones rapitur, quae nulli alteri usui sint, quam ut tam ipsum quam sectatores suos in perniciem coniiciant. Eodem igitur instituto illam domini sententiam arripit, qua cum Cap. XXVII.

lium cadet, neque deum affectioni obnoxium esse *cett.*

θητὰς ἔφη, Πάτερ, δὸς αὐτοῖς ζωὴν ἔχειν ἐν ἑαυτοῖς· αὕτη δέ ἐστιν ἡ αἰώνιος ζωὴ, ἵνα γινώσκωσί σε τὸν μόνον ἀληθινὸν θεὸν, καὶ ὃν ἀπέστειλας Ἰησοῦν Χριστόν. Ἀλλ' ἤδη μοι πεπραγμάτευται περὶ τούτων πάντων ἐν τῷ μεγάλῳ περὶ πίστεως λόγῳ, ᾧ πάλιν κατὰ τὴν ἡμῶν μετριότητα καὶ ἀσθένειαν ἀναγκασθέντες ὑπὸ τῆς τῶν ἀδελφῶν προτρεπτικῆς παρακλήσεως γεγράφαμεν περὶ Πίστεως, ᾧ λόγῳ ἐπεθέμεθα ὄνομα [1] Ἀγκυρωτόν. Καὶ γὰρ, καθάπερ ὁ ἡμέτερος ἐξίσχυσε πτωχὸς νοῦς διὰ τῆς τοῦ θεοῦ βοηθείας, ἐκ πάσης γραφῆς συνάγοντες
pag. 752. τὰ ἀληθινὰ τῆς τοῦ θεοῦ διδασκαλίας ἄγκυραν ὥςπερ τοῖς βουλομένοις τὴν ἁγίαν πατέρων πίστιν, ἀποστολικήν τε καὶ προφητικὴν, καὶ ἀπ' ἀρχῆς ἄχρι τοῦ δεῦρο ἐν τῇ ἁγίᾳ τοῦ θεοῦ ἐκκλησίᾳ κεκηρυγμένην, σαφῶς παρεθέμεθα, εἰς τὸ κατέχεσθαι τὴν διάνοιαν καὶ ἀσφαλίζεσθαι, μὴ ταῖς ἐπινοίαις τοῦ διαβόλου ῥιπίζεσθαι, μηδὲ κλυδωνισμῷ παραβλάπτεσθαι τῷ ἀπὸ τῶν αἱρέσεων ἐν κόσμῳ πολυβλύστως κεκινημένῳ. Οὕτω γὰρ καὶ ὁ κύριος ἐδίδαξε τοὺς ἑαυτοῦ μαθητὰς λέγων ὅτι, Ἐὰν ὅπερ ἀπαρχῆς ἠκούσατε, [2] μείνῃ ἐν ὑμῖν [καὶ ἐὰν ἐν ὑμῖν [3] μείνῃ ὃ ἠκούσατε ἀπαρχῆς], ὑμεῖς ἐν ἐμοὶ μενεῖτε, καὶ ἐγὼ ἐν ὑμῖν, κἀγὼ ἐν τῷ πατρὶ, καὶ ὑμεῖς ἐν ἐμοί. Ὥςτε οὖν τὰ ἀπαρχῆς ἀκουσθέντα [4] ἀπὸ τοῦ κυρίου ἀληθινὰ τῆς πίστεως μένει ἐν τῇ ἁγίᾳ τοῦ θεοῦ ἐκκλησίᾳ, καὶ διὰ τοῦτο μένει ἡ ἁγία τοῦ θεοῦ ἐκκλησία, καὶ ὀρθόδοξος πίστις ἐν κυρίῳ, καὶ ὁ κύριος ὁ μονογενὴς ἐν τῷ πατρὶ, καὶ ὁ πατὴρ ἐν υἱῷ, καὶ ἡμεῖς ἐν αὐτῷ διὰ τοῦ ἁγίου πνεύματος, ἐὰν γενώμεθα ναοὶ χωροῦντες τὸ ἅγιον αὐτοῦ πνεῦμα, καθὼς εἶπεν ὁ ἅγιος τοῦ θεοῦ ἀπόστολος ὅτι, Ὑμεῖς ναὸς θεοῦ ἐστε, καὶ τὸ πνεῦμα τοῦ θεοῦ οἰκεῖ ἐν ὑμῖν. Ἄρα γοῦν θεὸς ἐκ θεοῦ τὸ πνεῦμα, δι' οὗ πνεύματος ἁγίου ναοὶ καλούμεθα, ἐὰν κατοικήσωμεν τὸ αὐτοῦ πνεῦμα ἐν ἡμῖν. Πνεῦμα γὰρ Χριστοῦ [5] πνεῦμα πατρὸς ἐκπορευόμενον, καὶ τοῦ υἱοῦ λαμβάνον, ὡς αὐτὸς ὁ μονογενὴς ὁμολογεῖ.

Κεφ. κη'. Ταῦτα οὖν πάντα ἐν τῷ περὶ Πίστεως λόγῳ προειρημένῳ ὑφηγησάμεθα ἐν τῷ, ὡς εἶπον, γραφέντι εἰς τὰ μέρη τῆς Παμφυλίας καὶ Πισίδος. Ἐνταῦθα δὲ, ἐπειδὴ ἐφθάσαμεν εἰς τὰς ἑξῆς ζητουμένας λέξεις, ἀναγκαίως πάλιν ἐπιμνημονεῦσαι ἐσπουδάσαμεν τὰ αὐτὰ, ὡς εἰπεῖν, διὰ τὸν προκείμενον αἱρεσιάρχην Ἄρειον, καὶ τοὺς [1] ἀπ' αὐτοῦ Ἀρειανοὺς, ἵνα ἐκλύσωμεν τὰς αὐτῶν κακίας, τὰς τὸ γλυκὺ εἰς πικρὸν μεταβαλούσας, καὶ τὸ ἀγαθὸν εἰς φαῦλον, καὶ τὸ φῶς εἰς σκότος. Τοῖς γὰρ τοιούτοις τελείως ὑπὸ τοῦ κυρίου διὰ τοῦ ἁγίου Ἡσαΐου τὸ Οὐαὶ ὁρίζεται, τοῖς τὰ ἀγαθὰ εἰς κακὰ μεταβάλλουσι. Καὶ θεὸς οὐδαμοῦ αἴτιος τῶν τοιούτων, ἀλλ' ἕκαστος τούτων ἢ κατὰ κενοδο-

Cap. XXVII. — 1. *Cf. Ancorat. cap.* 2 *sqq.*

2. μείνῃ *codd. mss. uterque.* μένῃ *editi.*

3. μείνῃ *codd. mss. uterque.* μένῃ *editi. Verba quae praeeunte Petavio uncinis inclusi glossema videntur esse, et li-*

discipulis suis bene precaretur, usus esse legitur, *Pater, da illis vitam habere in semetipsis: haec est autem vita aeterna, ut cognoscant te solum verum deum, et quem misisti Iesum Christum.* Verum de his omnibus iam ante disputavimus in magno illo de Fide libro, quem pro ingenii nostri mediocritate atque imbecillitate fratrum nostrum precibus et hortationibus adducti perscripsimus, cui Ancorato nomen indidimus; propterea quod, quantum pro ingenii nostri inopia adiuvante deo consequi potuimus, ex universa scriptura vera ac germana divinae doctrinae dogmata colligentes velut ancoram quandam in eorum qui uti vellent gratiam, sanctissimam patrum nostrorum fidem, et apostolicam ac propheticam, ab initio ad hodiernum usque tempus in sancta dei ecclesia praedicatam manifeste proposuimus, ad fulciendos et stabiliendos animos, ne diaboli commentis ac fraudibus huc illucque iactarentur, aut ex iis tempestatum fluctibus quos variae in orbe haereses multiplici agitatione commovent detrimenti quicquam acciperent. Sic enim et discipulos suos dominus edocuit: *Si*, inquit, *quod initio audistis in vobis manserit, vos in me manebitis, et ego in vobis: ego in patre et vos in me.* Igitur verae fidei decreta, quae a Christo domino ab initio accepta sunt, penes sanctam dei ecclesiam resident. Ideoque eadem illa dei ecclesia, et orthodoxa fides in domino manet, et unigenitus dominus in patre, et pater in filio, et nos in ipso per spiritum sanctum, si modo templa efficiamur eiusmodi quae sanctum eius spiritum capiant; quemadmodum apostolus loquitur: *Vos templum dei estis, et spiritus dei habitat in vobis.* Proinde deus ex deo spiritus est, per quem templa sancti spiritus appellantur, si ipsius in nobis spiritum habitare patiamur. Quippe Christi spiritus spiritus est a patre procedens, et accipiens a filio, ut ipse testatur unigenitus.

Ioann. 17, 3. Ioann. 15, 4. 1. Cor. 3, 16.

Cap. XXVIII.

Quae nos omnia in eo quem diximus libro uberius explicavimus, quem etiam in Pamphyliam ac Pisidiam misimus. Hoc vero loco, quoniam ad eas sententias de quibus deinceps quaestio movetur pervenimus, necessario eadem repetere studuimus, propter haeresis huius conditorem Arium et Arianos eius asseclas, quo omnem illorum improbitatem discutiamus, quae et id quod dulce est in amarum, et bonum in malum, et lucem in tenebras convertit. Nam adversus eiusmodi homines *Vae* illud omnino per Isaiam prophetam dominus imprecatur, *qui bona in mala commutant.* Quorum quidem caussa nequaquam adscribenda deo est, sed cuilibet istorum, sive

Isai. 5, 20.

brarii alicuius errore de margine repetita. 4. ἀπὸ *emendavit Petav. Libri habent* ὑπὸ. 5. παρὰ τοῦ πατρὸς *coniecit Voemel. ad Nicolai Methon. Anecd. P. I., p.* 14. Cap. XXVIII. — 1. *Libri* ὑπ' αὐτοῦ.

ξίαν, ἢ κατὰ πρόληψιν, ἢ κατὰ ἐθελοσοφίαν, ἢ κατὰ οἴησιν δαιμονιώδη, ἐξέπεσε τῆς ἀληθείας, καὶ τῷ κόσμῳ παρεισήγαγε θλίψιν τὴν
pag. 753. [2] αὐτοῦ μοχθηρίαν. Φέρε γοῦν διὰ ταύτης τῆς λέξεως διαλάβωμεν, ἵνα γνῶμεν τὰ ὑπὸ κυρίου λελαλημένα, ὥς φησι ὁ ἅγιος ἀπόστολος, Καὶ ἡμεῖς πνεῦμα θεοῦ ἔχομεν, ἵνα γνῶμεν τὰ ὑπὸ θεοῦ χαρισθέντα ἡμῖν, ἃ καὶ λαλοῦμεν, καὶ τὰ ἑξῆς. Φησὶ γοῦν ὁ κύριος, Δὸς αὐτοῖς ζωὴν ἔχειν ἐν ἑαυτοῖς· αὕτη δέ ἐστιν ἡ αἰώνιος ζωὴ, ἵνα γινώσκωσί σε τὸν μόνον ἀληθινὸν θεὸν, καὶ ὃν ἀπέστειλας Ἰησοῦν Χριστόν.

Κεφ. κθ'. Ἀναπηδᾷ δὲ κυκῶν οὗτος ὁ Ἄρειος, καὶ οἱ [1] ἀπ' αὐτοῦ, καὶ λέγουσι, [2] Τὸ ὅλως εὔξασθαι τῷ θεῷ καὶ λέγειν, Πάτερ, δὸς αὐτοῖς ζωὴν ἔχειν ἐν ἑαυτοῖς, οὐκ ἔστιν ἴσος τῷ παρέχοντι τὴν ζωήν. Εἰ γὰρ ἦν ἐκ τῆς τοῦ πατρὸς οὐσίας, αὐτὸς ἂν ἐχαρίζετο τὴν ζωὴν, καὶ οὐκ ἂν ᾐτεῖτο τὸν πατέρα δοῦναι τοῖς λαμβάνουσι τὰ ὑπ' αὐτοῦ διδόμενα δι' [3] αἰτήσεων. Καὶ οὐκ ἴσασιν οἱ καθ' ἑαυτῶν τὴν διάνοιαν διαστρέψαντες ὅτι τὰ πάντα ὁ μονογενὴς ἦλθεν ἵνα γένηται ὑμῖν ὑπογραμμὸς καὶ σωτηρία, μέσος ἑστὼς τοῦ κόσμου, ὡς ἐπὶ θεάτρου, ἀθλητοῦ δίκην, διαλύοντος πάντα τὰ κατὰ τῆς ἀληθείας ἐπαναστάντα, ἔκ τε τῆς ἀπιστίας καὶ συκοφαντίας καὶ πλάνης διαβόλου, πὴ μὲν διὰ εἰδωλολατρείας, πὴ δὲ διὰ Ἰουδαϊκῆς οἰήσεως, πὴ δὲ δι' ἀπιστίας, πὴ δὲ διὰ τῆς ἐπάρσεως τῆς τῶν ἀνθρώπων ὑπολήψεως, ἵνα διδάξῃ τοὺς ἀνθρώπους ταπεινοφρονεῖν, τοῦ μή τινα ἑαυτὸν ἡγήσασθαί τι ἄνθρωπος ὢν, ἀλλ' εἰς τὸν πατέρα τῶν ὅλων [4] ἀναφέρειν τὸ πᾶν. Καὶ διὰ τοῦτο, καίπερ ὢν ζωὴ, ὡς λέγει, Ἐγώ εἰμι ἡ ζωὴ, δυνάμενος παρέχειν τὴν ζωὴν, οὐ βούλεται ταράξαι τὸ δίκαιον, ἀλλὰ ἦλθεν εἰς μίαν ἀρχὴν, εἰς μίαν θεότητα, εἰς μίαν ἀλήθειαν, εἰς μίαν ὁμόνοιαν, εἰς μίαν δοξολογίαν, συναγαγεῖν τῶν ἀνθρώπων σωτηρίαν τε καὶ διάνοιαν. Καὶ ἐνώπιον τῶν μαθητῶν τὸν πατέρα αἰτεῖται. Τίς γὰρ υἱὸς παρὰ πατρὸς οὐκ αἰτεῖται; τίς δὲ πατὴρ υἱῷ οὐ δίδωσι; ποῖος δὲ υἱὸς ἀλλοῖος τυγχάνει παρὰ τὴν τοῦ πατρὸς φύσιν; καὶ διὰ τοῦτο υἱὸς μονογενὴς παρὰ πατρὸς πλήρης χάριτος καὶ ἀληθείας οὐκ ἐπεδέετο τοῦ πληρώματος, οὐκ ἐλλιπὴς τῆς ἀληθείας, ἀλλὰ πλήρης χάριτος καὶ ἀληθείας. Ὁ δὲ πλήρης ὢν καὶ δίδωσι καὶ δύναται δοῦναι. Βούλεται δὲ πάντα ἀνάγειν ἐπὶ τὸν πατέρα. Δοξάζει γὰρ υἱὸς τὸν πατέρα, δο-
pag. 754. ξάζει ὁ πατὴρ τὸν μονογενῆ. Ἐγὼ γάρ σε ἐδόξασα ἐπὶ τῆς γῆς, ἔλεγεν ὁ υἱὸς τῷ πατρί. Καὶ ὁ πατὴρ ἔλεγε τῷ υἱῷ, Ἐδόξασά σε, καὶ πάλιν δοξάσω. Οὐκ ἔνι γὰρ διάστασις, οὐκ ἔνι φθόνος θεότητος.

2. αὐτοῦ codd. mss. uterque. αὐτῶν αὐτοῦ. editi.

Cap. XXIX. — 1. Libri habent ὑπ'

2. τῷ suspicatus est Petav.

3. αἰτήσεως cod. Rhedig.

vana quadam gloriola, sive anticipato animi iudicio, sive affectata nescio qua sapientia, sive afflatu daemonis opinione suscepta a veritatis itinere aberraverint, pravitatemque suam, sic tanquam ingentem calamitatem in orbem terrarum invexerint. Age igitur nos iterum de his sermonem instituamus hoc loco, ut quae dominus elocutus est pervidere possimus, quemadmodum apostolus ait: *Et nos* 1. Cor. 2, 10.
spiritum dei habemus, ut cognoscamus quae a deo donata sunt nobis, quae et loquimur. Haec igitur domini verba sunt: *Da illis vitam* Ioann. 17, 3.
habere in seipsis: haec est autem vita aeterna, ut cognoscant te solum verum deum, et quem misisti Iesum Christum.

Cap. XXIX.

Hic omnia turbat ac permiscet Arius et Arii fautores, qui hoc nobis obiiciunt: Cum omnino deum obsecrasse, atque haec verba usurpasse dicatur, *Pater, da illis vitam habere in seipsis*, non potest ei qui vitam praebeat aequalis videri. Nam si ex patris essentia foret, vitam ipse tribueret, non a patre peteret, ut iis illam daret qui ea quorum ipse largitor sit precibus impetrarent. At illud ignorare homines isti videntur qui mentem sibi magno suo malo depravarunt; ob id unum huc accessisse dei filium, vobis ut exemplar ac salus esset, medio in mundo consistens, velut in theatro quodam athleta, qui omnia disiiciat et evertat quae adversus veritatem insurgunt, quaeque infidelitas ac diaboli fraus et calumnia concitavit, sive per simulacrorum cultum, sive per Iudaeorum fastum, sive per infidelitatem, sive per humanae opinionis arrogantiam, quo homines moderationem animi et humilitatem doceret, ne quis cum homo sit, magnum se esse quiddam arbitretur, sed ad communem omnium parentem universa referat. Quocirca licet vita ipse sit, ut testatur, *Ego sum vita*, eamque conferre per sese possit, iuris tamen ac iu- Ioann. 14, 6.
stitiae legem perturbare noluit, sed idcirco venit, ut ad unum principium unamque divinitatem, veritatem, concordiam, uniusque gloriae praedicationem, hominum salutem mentemque traduceret. Ob id coram discipulis patri supplicare voluit. Nam quis demum filius a patre non postulat? aut quis pater non filio largitur? quis porro filius a patris natura diversus est? Propterea unicus dei filius a patre genitus, *plenus gratiae et veritatis*, nullum complementum requi- Ioann. 1, 14.
rebat, cum nihil ipsi de veritate deesset, sed *plenus gratiae ac veritatis* foret. Sed etsi plenus sit, atque et largiatur ipse, et largiri possit, nihilominus in patrem refundere omnia voluit. Nam *Filius* Ioann. 14, 13.
glorificat patrem, ac vicissim *Pater unicum filium glorificat: ego* Ioann. 12, 28.
enim clarificavi te super terra, ait patri filius: et pater filio, *Clarificavi te, et iterum clarificabo.* Neque enim ullum in divinitate dissi-

4. ἀναφέρει codd. mss. et ed. princ.

Δὸς οὖν αὐτοῖς ἔχειν ζωὴν ἐν ἑαυτοῖς. Ὁ ζωὴ ὢν ζωὴν θέλει παρὰ πατρὸς λαμβάνειν καὶ διδόναι τοῖς μαθηταῖς, αὐτὸς ὢν ζωὴ, ἵνα μὴ διέλῃ τὴν μονάδα, ἵνα μὴ σκῶλος γένηται τοῖς Ἰουδαίοις, ἵνα ἀκούσωσιν οἱ Ἰουδαῖοι παρὰ τοῦ πατρὸς αἰτοῦντα, καὶ διδόντα τοῖς [5] αὐτοῦ μαθηταῖς.

Κεφ. λ'. Πῶς οὖν αἰτεῖ τὸν πατέρα ὁ υἱός; Ὡς μὴ ἔχων καὶ αἰτῶν; Οὐχὶ, ἀλλὰ τὴν μονάδα τῆς τριάδος σημαίνων, τελείως παρέχουσαν τῷ λαμβάνοντι τὰ δῶρα [1] ἀξίως. Ἵνα δὲ σημάνῃ ὅτι μία ἐστὶν ἡ θεότης, πάλιν ἐν ἄλλῳ τόπῳ οὐκέτι αἰτούμενος δίδωσιν, ἀλλ' αὐθεντίᾳ τὰ ἴδια, ὡς πηγὴ ὢν ἀπὸ πηγῆς, καὶ θεὸς ὢν ἐκ θεοῦ, ἐνεφύσησεν εἰς τὸ πρόςωπον αὐτῶν καὶ εἶπε, *Λάβετε πνεῦμα ἅγιον.* Καὶ ἄλλοτε ἐπῆρε τὰς χεῖρας καὶ εἶπε, *Λάβετε πνεῦμα ἅγιον.* Καὶ ἔχει ἐν ἑαυτῷ ζωὴν, ἵνα ᾧ βούλεται δοῦναι δῷ. *Ὡς γὰρ ὁ πατὴρ ἔχει ζωὴν ἐν ἑαυτῷ, οὕτω καὶ ὁ υἱὸς ἔχει ζωὴν ἐν ἑαυτῷ.* Καὶ ὁρᾷς ὅτι ἕνεκεν τιμῆς πρὸς τὸν πατέρα, καὶ ἕνεκεν μιᾶς ἑνότητος, καὶ μιᾶς δοξολογίας, καὶ τοῦ μὴ τοὺς μαθητὰς νομίσαι μὴ ἀπὸ τοῦ θεοῦ τοῦ νόμου καὶ τῶν προφητῶν παρεκκλίνειν ὁ μονογενὴς ἦλθε τὰς διανοίας τῶν πιστευόντων, τούτου ἕνεκα θεὸς ὢν, καὶ προγινώσκων τὴν τῶν ἀνθρώπων κακοήθειαν, τὸν λόγον ὡς πρὸς τὸν πατέρα πέμπει, καὶ τὴν δόξαν ἀναφαίρετον τῷ πατρὶ δίδωσιν, ἵνα Μανιχαῖος [2] καταισχυνθῇ ἀρνούμενος τὸν πατέρα, ἵνα οἱ μαθηταὶ μάθωσιν ὅτι αὐτή ἐστιν ἡ θεότης ἐν παλαιᾷ καὶ καινῇ διαθήκῃ, ἵνα οἱ Ἰουδαῖοι ἐντραπῶσιν, ὅτι οὐκ ἦλθεν ὁ μονογενὴς διδάξαι ἄλλον θεὸν, ἀλλὰ ἀποκαλύψαι αὐτοῦ τὴν θεότητα, καὶ πατρὸς αὐτοῦ τοῦ ἐπουρανίου. *Δὸς οὖν αὐτοῖς ἔχειν ζωὴν ἐν ἑαυτοῖς*, καί τοι γε αὐτὸς ἐκήρυττε ταύτην τὴν ζωήν. Πῶς οὖν τὸν πατέρα ᾔτει, ἵνα δῷ αὐτοῖς ὃ αὐτὸς ἐδίδασκε καὶ ἐδίδου; τὴν γὰρ ζωὴν ὕστερον ἀπεφήνατο λέγων, *Αὕτη, φησὶ, ἐστὶν ἡ ζωὴ, ἵνα γινώσκωσί σε τὸν μόνον ἀληθινὸν θεόν.*

Κεφ. λα'. Εἶτα ὁ Ἄρειος καὶ οἱ ἀπ' αὐτοῦ ἀναπηδῶσι διὰ τῆς λέξεως, ὥς τι κατὰ τῆς ἀληθείας εὑράμενοι, ὅτι εἶπε μόνον, φησὶ, τὸν ἀληθινὸν
pag. 755. θεόν. Ὁρᾷς τοίνυν ὅτι μόνος ἐστὶν ὁ πατὴρ ὁ ἀληθινός. Ἐρωτῶμεν δὲ ὑμᾶς καὶ αὐτοὶ, Τί οὖν φατε; μόνος ἐστὶν ὁ πατὴρ ὁ ἀληθινός. Ὁ δὲ υἱὸς τί ἄρα ἔσται; οὐκ ἔστιν ἀληθινὸς ὁ υἱός; Εἰ οὐκ ἔστιν ἀληθινὸς ὁ υἱὸς, ματαία ἡ πίστις ἡμῶν, μάταιον τὸ ἐν ἡμῖν κήρυγμα· εὑρεθήσεσθε ἀπεικάζοντες τὸν [1] υἱὸν, βλασφημοῦντες καθ' ἑαυτῶν, τοῖς ἀνωνύμοις καὶ ἀθεμίτοις εἰδώλοις οἷς εἴρηκαν οἱ προφῆται

5. *Ita codd. mss.* αὐτῶν *ed. Petav.* αὐτῶν *ed. princ.*

Cap. XXX. — 1. ἀξίως *codd. mss.* (*etiam Cornarius vertit* digne). ἀξία *ed. princ.* ἄξια *ed. Petav.*

2. καταισχυνθῇ *editi vitiose.*

Cap. XXXI. — 1. υἱὸν τοῦ βλασφη-

dium aut invidia reperitur. *Da,* inquit, *illis habere vitam in seipsis.* Ioann. 17, 2.
Ergo vita ipsa vitam a patre postulat, quam cum discipulis communicet, ne aut unitatem divideret, aut Iudaeis offensionem praeberet, ut ipsum Iudaei a patre petentem ac discipulis erogantem audirent.

Quomodo igitur filius a patre postulat? Tanquam id quo carebat peteret? Minime vero; sed trinitatis unitatem expressit, quae consentanea dona iis qui accipiunt perfecte tribuit. Atque ut intelligeremus unicam esse divinitatem, idem alio loco non iam postulans, sed propria auctoritate velut sua largitur, utpote fons ex fonte, ac deus ex deo progressus, cum scilicet in discipulorum vultus inspirans, *Accipite,* dixit, *spiritum sanctum.* Alias quoque sublatis manibus, *Accipite,* inquit, *spiritum sanctum.* Item, *Vitam habet in seipso, ut cuicumque voluerit det.* Nam *ut pater vitam habet in seipso, sic et filius eandem habet in sese.* Vides igitur quemadmodum, ut honorem patri deferret, atque ut singularem esse divinitatem gloriamque significarent, tum ne discipuli ab legis illum et prophetarum deo fidelium animos revocare velle unicum dei filium crederent, cum idem ille deus esset, et hominum improbitatem cognosceret, orationem ad patrem converterit, eique gloriam quae auferri nullo modo potest tribuerit; ut et Manichaeus ille, qui patrem abnegat, erubesceret, et discipuli eandem in veteri novoque testamento divinitatem esse discerent, denique ut Iudaeis pudorem incuteret, dum animadverterent non alterius cuiusdam dei praedicandi gratia venisse filium, sed ut tam suam quam coelestis sui parentis divinitatem detegeret. *Da igitur,* inquit, *illis vitam habere in seipsis;* atqui hanc ipsam vitam ille praedicabat. Cur igitur a patre postulabat, ut hoc illis conferret quod ipse doceret ac tribueret? Nam, quod ad vitam attinet, hanc ipse postea declaravit. *Haec est,* ait, *vita, ut cognoscant te solum verum deum.*

Cap. XXX. Ioann. 20, 22. Ioann. 5, 26. Ioann. 17, 3.

Hic Arius eiusque fautores exultant, atque ex hac voce magnum se ad oppugnandam veritatem adiumentum nactos putant. Nam *solum,* inquiunt, *verum deum* appellavit. Ergo, ut vides, solus pater verus deus est. Sed nos vicissim illos interrogamus: Quidnam igitur dicitis? Solus, inquiunt, pater verus est. Quid ergo de filio dicemus? Non est verus filius? Si verus non est, inanis est fides nostra, vana est et apud nos facta praedicatio. Vos autem eo tandem redigemini ut non sine ingenti in deum contumelia, quae vestrum in caput recidat, dei filium execrandorum ac detestandorum simulacrorum haud dissimilem statuatis. De quibus in eorum

Cap. XXXI.

μοῦντες *habent libri. Excidit fortasse* θεοῦ *ante* βλασφημοῦντες.

ἐκ προσώπου τῶν ἠπατημένων, ὡς ἕκαστος τῶν προφητῶν τῆς λέξεως ταύτης ἐπεμνήσθη λέγων, καὶ [2] τὸ, Ψευδεῖς ἐποίησαν ἑαυτοῖς θεοὺς οἱ πατέρες ὑμῶν, καὶ ψευδεῖς ἐγένοντο οἱ βουνοί. Ἄρα οὖν καὶ ὁ μονογενὴς παρ' ὑμῖν οὕτως κρίνεται, καὶ οὕτως αἰσχρῶς περὶ τοῦ ἐξαγοράσαντος ὑμᾶς, εἴ γε ἐξηγόρασε, διανοεῖσθε. Οὐκέτι δὲ τῆς αὐτοῦ ἐπαύλεώς ἐστε, ἀρνούμενοι τὸν ὑμῶν σωτῆρα, καὶ τὸν ἀγοράσαντα ὑμᾶς. Εἰ γὰρ οὐκ ἔστιν ἀληθινὸς ὁ θεὸς, οὔτε προσκυνητός ἐστι, καὶ εἰ ἔστι κτιστὸς, οὐ θεὸς, καὶ εἰ οὐκ ἔστι προσκυνητὸς, πῶς [3] ἄρα θεολογεῖται; Παύσασθε οἱ πάλιν τὴν [4] φύρσιν ἐργαζόμενοι τὴν Βαβυλωνίαν, οἱ τὴν εἰκόνα καὶ τὸν τύπον ἐγείραντες τοῦ Ναβοχοδονόσορ, οἱ τὴν [5] πολυθρύλητον ταύτην σάλπιγγα [6] ἕνωσιν τῶν πολεμούντων σαλπίζοντες, οἱ ἐν μουσικοῖς καὶ ἐν κυμβάλοις, καὶ ἐν ψαλτηρίῳ διὰ τῶν πεπλανημένων ὑμῶν ῥημάτων εἰς πτῶσιν τοὺς λαοὺς φέροντες, εἰκόνι μᾶλλον δουλεῦσαι παρασκευάζοντες ἤπερ θεῷ καὶ ἀληθείᾳ. Καὶ τίς ἀληθινὸς ἕτερος, ὡς ὁ υἱὸς τοῦ θεοῦ; τίς γὰρ ἐξισωθήσεται τῷ κυρίῳ ἐν υἱοῖς θεοῦ, φησὶ ἡ γραφή, καὶ, Ἕτερος πρὸς αὐτὸν οὐ λογισθήσεται. Καὶ τί φησι; Ἵνα ἴδῃς ὅτι περὶ τοῦ υἱοῦ λέγει, καθεξῆς διηγούμενός φησι, Ἐξεῦρε πᾶσαν ὁδὸν ἐπιστήμης, καὶ ἔδωκεν αὐτήν. Καὶ μετὰ ταῦτα, Ἐπὶ γῆς ὤφθη, καὶ τοῖς ἀνθρώποις συνανεστράφη. Πῶς οὖν οὐκ ἀληθινῶς πρὸς αὐτὸν ταῦτα εἴρηται; ὁ καὶ λέγων, Ἐγώ εἰμι ἡ ἀλήθεια.

Κεφ. λβ'. Ἀλλ' ἐρεῖς μοι, Πῶς εἶπεν ὁ μονογενὴς ἀληθινὸς θεὸς, Ἵνα γινώσκωσί σε τὸν μόνον ἀληθινὸν θεόν; ἵνα μὴ πολυθεΐα νομισθείη, ἵνα μὴ διαίρεσις γένηται τῆς ζωτικῆς γνώσεως. Εἰ γὰρ μόνος ἀληθινὸς θεὸς ὁ πατὴρ, ἀληθινὸς ὁ υἱὸς ἐκ πατρὸς ἀληθινῶς γεγεννημένος. Τιμῶν γὰρ τὸν πατέρα, καὶ μόνον αὐτὸν θεὸν ἀληθινὸν ἀποκαλύπτων, ἑαυτὸν ἔδειξεν ἐκ πατρὸς ἀληθινὸν γεγεννημένον. Διὰ τοῦτο ἀληθι-
pag. 756. νὸς πατὴρ ὁ [1] θεὸς, ἀληθινὸς θεὸς ὁ υἱὸς ὁ μονογενής. Καὶ πόθεν τοῦτο δεικτέον; ἀλλ' ὅρα μοι τὰς λέξεις ἐνταῦθα, ὡς μόνον ἀληθινὸν θεὸν φάσκει ἐνταῦθα τὸν πατέρα. Ἐν δὲ τῷ κατὰ Ἰωάννην εὐαγγελίῳ, ὅτι, φησὶ, Ἦν τὸ φῶς τὸ ἀληθινόν. Καὶ ποῖον φῶς ἀληθινὸν, ἀλλ' ἢ ὁ μονογενής; καὶ πάλιν αἱ γραφαί φασι περὶ τοῦ θεοῦ, ὅτι, Φῶς ὁ θεὸς, [2] καὶ οὐκ εἶπε, Φῶς ἀληθινὸν ὁ θεὸς, περὶ δὲ τοῦ μονογενοῦς υἱοῦ τοῦ θεοῦ ὅτι, Φῶς ἀληθινὸν ὁ μονογενὴς, περὶ δὲ τοῦ πατρὸς, Θεὸς ἀληθινὸς, [3] καὶ οὐκ εἶπεν ὅτι, Φῶς ἀληθινὸν ὁ θεός. Περὶ δὲ τοῦ υἱοῦ ὅτι θεὸς, καὶ ἐπὶ τοῦ θεὸς ὁ υἱὸς, οὐ προςέθετο τὸ Ἀληθινόν. Καὶ ὅπου φῶς ὁ θεὸς, οὐ προςέθετο Φῶς ἀλη-

2. *Suspicor* τῷ.
3. *Libri vulgo* ἄρα.
4. φύρσιν *mea est emendatio.* φύσιν *habent cod. Ien. et ed. princ.* φύ *est in cod. Rhedig. Petavius in marg. proposuit* φύσει *et* Βαβυλῶνα. *Voc.* φύρσις *restituimus iam supra cap.* 11.
5. πολυθρύλλητον *ed. Petav.*
6. εἰς ἕνωσιν, *vel* ἐν ᾠσὶν *suspicatus est Petavius. Placet posterius.*

qui decepti fuerant persona prophetae cum loquuntur, eandem quam vos in dei filio vocem adhibuerunt. Velut in hoc loco: *Falsos sibi fecerunt deos patres nostri, mendaces fuerunt colles.* Eiusmodi proinde dei filius a vobis constituitur, ac tam de eo turpiter qui vos redemit, si tamen redemerit, cogitatis. Quocirca nihil ad eius caulam pertinetis, cum vos salvatorem vestrum, a quo empti estis, abnegetis. Etenim si verus deus non est, neque adorandus est: si creatus est, non est deus: quod si minime adorandus est, quomodo deus esse praedicatur? Desinite itaque vos tandem, qui novam hic Babylonem instauratis, ac Nabuchodonosoris effigiem atque imaginem erigitis, qui celeberrimam hanc tubam cogendis militibus inflatis, qui subdolis vestris vocibus, tanquam musicis instrumentis, cymbalis et psalteriis populos in lapsum errorcmque praecipitatis, quos imagini servire potius quam deo ac veritati iubetis. Quis enim perinde verus est alter ac dei filius? *Nam quis aequabitur domino in filiis dei*, ut scriptura loquitur, et, *Alter cum ipso minime comparabitur.* Quid porro? Ut de filio sermonem esse cognoscas, deinceps ista subiecit: *Invenit omnem viam scientiae, et dedit illam.* Tum postea: *In terra visus est, et cum hominibus conversatus est.* Nonne haec vere de illo dicta sunt? qui et de se testatus est, *Ego sum veritas.*

Hier. 3, 23. — Dan. 3 — Ps. 88, 7. — Baruc. 3, 36. — Baruc. 3, 37. 38. — Ioann. 14, 6.

Cap. XXXII. Atenim dices, Cur dei filius verus deus ita loquitur: *Ut cognoscant te solum verum deum?* Ne scilicet deorum fingi turba posset, ne vitalis cognitionis divortium ullum fieret. Nam si pater solus verus deus est, verus est etiam ex patre filius, ab eodem revera genitus. Cum enim patri defert, eumque solum verum deum esse declarat,. seipsum quoque verum a patre genitum esse monstravit. Quocirca verus pater deus est, verus deus, et unigenitus filius. Sed undenam comprobari istud potest? Si nimirum voces ipsas attente perspexeris. Siquidem hoc loco patrem solum verum deum esse definit. At in Ioannis evangelio, *Erat*, inquit, *lux vera.* Quaenam vera illa lux est, praeterquam unigenitus filius? Accedit quod sacrae literae hunc in modum de deo loquuntur: *Lux est deus*, neque, *Vera*, adiiciunt, dei vero filium veram esse lucem asserunt. At de patre, *Verus deus*, non item, *Lux vera deus est*, dixerunt. Cum autem de filio loquuntur, sic esse deum affirmant, ut ad illas voces, *Deus est filius*, veri vocabulum non adiecerint. Ubi vero

Ioann. 17, 3. — Ioann. 1, 8. — 1. Ioann. 1, 5.

Cap. XXXII. — 1. *Voc.* θεός *om. ed. Petav. In cod. Rhedig. est* πατὴρ ὁ θεὸς (*haec super rasuram*) ἀληθινὸς ὁ υἱὸς ἀληθινός πατὴρ ὁ υἱὸς ὁ μονογενής. καὶ μὲν τοῦτο (*haec quoque omnia super rasuram*). 2. *Verba* καὶ οὐχ - - θεοῦ ὅτι φῶς *om. cod. Rhedig.* 3. *Verba* καὶ οὐχ - - περὶ δὲ τοῦ *om. cod. Rhedig.*

θινόν. Τί οὖν λέγομεν περὶ τοῦ πατρός; ὅτι μὲν γὰρ φῶς ἀληθινὸν ὁ Θεὸς, καὶ οὐκ ἄρα ἐλλιπὲς ποιήσομεν τὸ θεῖον· καὶ ἐπειδὴ οὐκ ἔστι γεγραμμένον τὸ φῶς τὸ ἀληθινὸν, [4] οὐκ εἴπομεν ἁμαρτάνοντες ὅτι οὐκ ἔστι φῶς ἀληθινόν. Καὶ ἐπειδὴ ὁ υἱὸς γέγραπται ὅτι Θεός ἐστι, καὶ ἦν ὁ Θεὸς πρὸς τὸν ὄντα πατέρα· καὶ γὰρ ἦν Θεὸς ὁ λόγος. Καὶ οὐκ εἶπεν ὅτι, Θεὸς ἐγένετο ὁ λόγος, ἀλλὰ, Θεὸς ἦν. Ἐκ δὲ τῶν δύο τὰ ἰσόρροπα δειχθήσεται, ἐκ τοῦ μὲν Θεὸς ἀληθινὸς ὁ πατὴρ, καὶ Φῶς ἀληθινὸν ὁ υἱὸς, τὰ ἰσόζυγα φανεῖται τῆς ἀξίας, καὶ ἐκ τοῦ Θεοῦ ὁ υἱὸς, καὶ Φῶς ὁ Θεὸς, τὰ ἰσόρροπα τῆς δοξολογίας εὑρεθήσεται. Καὶ οὐδὲν διοίσει, οὐδὲ ἀντιλέξειέ τις τῇ ἀληθείᾳ, ἀλλὰ ἀληθινὸς Θεὸς ὁ πατὴρ, καὶ ἀληθινὸς υἱὸς ὁ μονογενής.

Κεφ. λγ'. Ἔτι δὲ καὶ περὶ τοῦ ἁγίου πνεύματος ἀναγκάζομαι τοῦ λέγειν ἐνταῦθα, ἵνα μὴ παραλείψας τι δῶ τοῖς βουλομένοις ἐχθροῖς τὰς [1] αὐτῶν ἔχειν προφάσεις. Οὕτω γὰρ καὶ τὸ πνεῦμα τὸ ἅγιον, ὡς αὐτὸς ὁ κύριος μαρτυρεῖ λέγων, Τὸ πνεῦμα τῆς ἀληθείας, Τὸ πνεῦμα τοῦ πατρὸς, ὁ δὲ ἀπόστολος, Πνεῦμα Χριστοῦ. Ἄρα γοῦν τὸ πνεῦμα τῆς ἀληθείας πνεῦμα ἀληθείας, πνεῦμα Θεοῦ, ὡς Θεὸς ἀληθινὸς, ὡς φῶς ἀληθινὸν, ὡς πνεῦμα πατρὸς, ὡς πνεῦμα υἱοῦ. Μία γάρ ἐστιν ἡ τριὰς, μία ἡ δοξολογία, μία ἡ θεότης, μία ἡ κυριότης· πατὴρ πατὴρ, υἱὸς υἱὸς, ἅγιον πνεῦμα ἅγιον πνεῦμα· οὐ συναλοιφὴ ἡ τριὰς, οὐ διεστῶσα τῆς ἰδίας αὐτῆς μονάδος, οὐκ ἐλλιπὴς pag. 757. τῆς τελειότητος, οὐκ ἀλλοία τῆς ἰδίας ἰδιότητος, ἀλλὰ πάντα τελειότης, τρία τέλεια, μία θεότης. Καὶ πέπτωκεν ἡ τῶν δι' ἐναντίας μάχαιρα. Καὶ γὰρ οὕτω γέγραπται ὅτι, Βέλος νηπίων ἐγενήθησαν. Καὶ γὰρ τὰ νήπια, κἄν τε θέλῃ λαμβάνειν βέλη, ἀνίσχυρα τυγχάνει, μὴ δυνάμενα ἐν χερσὶν αὐτῶν τι πράττειν. Ἐὰν δὲ καὶ παραταραχθῇ τὰ νήπια, μᾶλλον ἑαυτὰ σφάζει καὶ ἑαυτὰ ἀδικεῖ, μὴ δυνάμενα ἄλλοις ἐπιχειρεῖν τοῦ βέλους τὸ ἐπιχείρημα, ὡς καὶ οὗτοι καθ' ἑαυτῶν ἐπεστράτευσαν τὴν πλάνην, οὐδὲν δὲ [2] ἐνσκήψουσιν εἰς τοὺς υἱοὺς τῆς ἀληθείας.

Κεφ. λδ'. Παρελεύσομαι δὲ καὶ εἰς ἑτέρας λέξεις πάλιν τὰς ὑπ' αὐτῶν ἐπινοουμένας. Καὶ πρῶτον μὲν ἐκπλήξεώς ἐστι τὸ ἔργον, ὡς εἰρωνείᾳ κέχρηνται πρὸς ἀπάτην τῶν ἀφελῶν καὶ ἀκεραίων φύσει. Ὡς ὁ ὄφις ἠπάτησε τὴν Εὔαν ἀκεραίαν οὖσαν, τῷ αὐτῷ τρόπῳ καὶ οὗτοι, ἐὰν θέλωσι περιποιήσασθαι, τὸ πρῶτον μὲν κολακείαις πολλαῖς καὶ δαψι-

4. οὐκ *negationem suppleverunt Cornarius* (*qui vertit* ideo non dicimus peccantes) *atque Petavius. Abest enim ab libris. Petavio placuit* οὐκ εἴπωμεν.

lux deus nominatur *Lux vera* non dicitur. Ecquid igitur de patre sentiemus? Est enim utique vera lux deus, neque mancum aut defectum divinum esse numen existimabimus. Et quamvis minime scriptum sit veram illum esse lucem, non tamen committemus veram ut esse lucem inficiemur; praesertim cum de filio scriptum sit filium esse deum: *Et erat deus apud existentem patrem: erat enim deus verbum.* Non dixit, Deus factum est verbum, sed, Deus erat. Quamobrem ex his duobus eadem atque aequalia colligentur, ex eo, inquam, quod *Verus deus* appellatur pater, et *Lux vera* filius, aequalis utriusque dignitas apparet. Itemque ex eo quod et deus filius et lux esse deus dicitur par eademque amborum gloria reperietur; adeo ut nihil intersit omnino, nec veritati refragari quispiam iure possit, denique et verus deus pater, verus perinde filius unigenitus asseratur.

De spiritu vero sancto necesse est aliquid hoc loco disputare, Cap. XXXIII.
ne, si quid praetermisero, sua hostibus nostris argumenta ac praesidia integra reliquisse videar. Eodem igitur modo de spiritu sancto sentire nos oportet quemadmodum dominus ipse testatur, cum *Spiritum veritatis, ac Spiritum patris* appellat, apostolus vero *Spiritum Christi.* Est igitur *Spiritus veritatis, Spiritus dei,* uti *Verus deus vera lux, Spiritus patris spiritus filii.* Est enim una trinitas, una gloria, divinitas una, una dominatio, pater pater, filius filius, spiritus sanctus spiritus sanctus; nulla in trinitate commixtio, vel confusio, nec ab unitate sua dissidet, nec ad perfectionem deest illi quippiam, nec est a proprietate sua diversa, sed universa perfectio occupat, ut et perfecta tria sint, et trium nihilominus una divinitas. Qua ratione adversariis nostris gladius e manibus excussus est. Eoque scripturae locus ille pertinet, *Sagittae parvulorum factae sunt.* Nam tela dum ab infantibus tractantur imbecilla sunt, nec in eorum manibus quicquam efficere possunt. Quod si consternati turbatique fuerint, seipsos iugulant, aut sibi damnum inferunt potius quam ut alios illis aggredi et appetere queant. Sic et isti errorem suum contra semetipsos convertunt, neque quicquam adversus veritatis filios infligunt.

(Ioann. 14, 17. Rom. 8, 9. Ps. 63, 8.)

Nunc ad alios illorum sermones orationem confero. In quo Cap. XXXIV.
primum illud admiratione plenum est, quantam ad circumveniendos rudes et simplices calliditatem ac simulationem adhibeant. Nam ut serpens Evam mulierem simplicem decepit, ita illi quos ad partes Gen. 3.
suas pellicere volunt, primum blanditiis ac munificentia omnibusque

Cap. XXXIII. — 1. *Editi* αὐτῶν. 2. ἐνσκήπτουσιν *cod. Rhedig.*

λείᾳ καὶ προςοχῇ, ὑποσχέσει τε ἅμα καὶ φοβερισμοῖς, ὅτι, Τοῖς βασιλικοῖς προστάγμασι, καὶ τῷ τοῦ βασιλέως Οὐάλεντος θυμῷ ἐναντιοῦσθε; τοῖς μὴ βουλομένοις κατὰ τὴν αὐτῶν πίστιν φέρεσθαι. Καὶ τί φασι; Τί γάρ ἐστιν ὃ λέγομεν; Αὐτή ἐστιν ἡ πίστις, μόνον δὲ ὅτι κενοδοξεῖτε. Ἴδωμεν οὖν εἰ ἡ αὐτή ἐστι πίστις. Φασὶν οὖν, Ὁμολογοῦμεν τὸν γεγεννημένον υἱὸν ἐκ πατρὸς, καὶ οὐκ ἀρνούμεθα. Ἀλλὰ δεῖ ἡμᾶς, [1] φασὶ, καὶ τὸ κτίσμα ὁμολογεῖν, καὶ τὸ ποίημα. Οὐδὲν δὲ ἠλιθιώτερον. Πᾶν γὰρ τὸ κτιζόμενον οὐχ ὅμοιον τυγχάνει τῷ γεγεννημένῳ, οὔτε τὸ γεννώμενον ὅμοιον τῷ κτιζομένῳ, μάλιστα πρὸς ἐκείνην τὴν μίαν ἀκραιφνῆ καὶ τελείαν οὐσίαν. Πάντα γὰρ ὑπὸ θεοῦ κέκτισται· μόνος δὲ ὁ υἱὸς τοῦ θεοῦ γεγέννηται, καὶ μόνον τὸ ἅγιον πνεῦμα ἐκ πατρὸς προῆλθε, καὶ ἐξ υἱοῦ ἔλαβε. Τὰ δὲ ἄλλα πάντα κτιστὰ, καὶ οὔτε προελθόντα ἐκ πατρὸς προῆλθεν, οὔτε τοῦ υἱοῦ λαμβάνοντα, ἀλλὰ ἐκ τοῦ πληρώματος τοῦ υἱοῦ, καθὼς γέγραπται, Τῷ γὰρ λόγῳ τοῦ θεοῦ τὰ πάντα ἐστερεώθησαν, καὶ τῷ πνεύματι τοῦ στόματος αὐτοῦ πᾶσα ἡ δύναμις αὐτῶν. Ἀλλὰ, [2] φασὶ, δεῖ ὁμολογεῖν καὶ τὸ κτίσμα, ἐπειδὴ εἶπεν ἡ γραφή· τροπικώτερον λεγόμενον τὸ κτίσμα, καὶ τροπικῶς λεγόμενον τὸ γέννημα. Κἄν τε γὰρ εἴπωμεν γέννημα, οὐχ ὡς ἓν τῶν γεννημάτων ἐροῦμεν. Ἄρα οὖν ἐν ᾧ ἐροῦσι

pag. 758. τὸ γέννημα, καὶ οὐκ ἀληθινὸν τὸ γέννημα, τοὺς ἀκεραιοτέρους ἀπατῶσι. Καὶ τὸ κτίσμα δὲ ὁμολογοῦμεν, φασίν. Ἐπειδὴ γὰρ καὶ θύρα κέκληται ὁ Χριστὸς, καὶ ὁδὸς, καὶ στύλος, καὶ νεφέλη, καὶ πέτρα, καὶ ἀρνίον, καὶ ἀμνὸς, καὶ [3] χίμαρρος, καὶ μόσχος, καὶ λέων, καὶ πηγὴ, καὶ σοφία, καὶ λόγος, καὶ υἱὸς, καὶ ἄγγελος, καὶ Χριστὸς, καὶ σωτὴρ, καὶ κύριος, καὶ ἄνθρωπος, καὶ υἱὸς ἀνθρώπου, καὶ λίθος ἀκρογωνιαῖος, καὶ ἥλιος, καὶ προφήτης, καὶ ἄρτος, καὶ βασιλεὺς, καὶ οἰκοδόμος, καὶ γεωργὸς, καὶ ποιμὴν, καὶ ἄμπελος, καὶ ὅσα τοιαῦτα, οὕτω, φασὶ, καὶ τὸ κτίσμα λέγομεν, καταχρηστικῶς· δεῖ γὰρ ἡμᾶς ὁμολογεῖν.

Sed illud obiiciunt. Cur igitur discipulis suis Christus aliquando dixit, *Vado ad patrem meum, et patrem vestrum, deum meum et deum vestrum*. Nam si deum suum fatetur, quomodo huic aequalis esse poterit, vel ab eo germani filii more genitus? Atque hac quidem oratione summa se in omnibus dei ignorantia laborare demonstrant, nec ex ulla parte evangelii splendore collustrari. Etenim quisquis perscrutari et a seculo ac per generationes indagare voluerit, quae sit veritatis in salvatoris nostri perfecta scientia, eiusque cum patre aequalitatis vis, intelliget. Isti vero Iudaicis opinionibus impediti adversus dei filium exstimulantur, perinde atque illi Christo dicebant, *Nullum ob aliud scelus te lapidamus, sed quod homo cum sis, filium dei teipsum nominas et aequalem deo te facis*. Hac illi Pharisaeorum ac Iudaeorum in Christum iracundia perciti feruntur, neque filium aequalem genitori confiteri volunt. Qua in re sacrarum literarum accuratam diligentiam inprimis considera, quae ante incarnationem nihil eiusmodi de Christo pronuntiarunt, sed pater filio dixisse legitur, *Faciamus hominem*, ut communis opificii auctorem pariter filium appellet et aequalitate germanum significet. Neque vero tum filius *Deum meum, et deum vestrum* uspiam vocavit. Item Adamus *Dei vocem exaudiit ambulantis in Paradiso:* tum, *Fac tibi arcam de lignis incorruptis:* et, *Pluit dominus a domino*. Item dominus Moysi: *Ego sum deus Abraam, et deus Isaac, et deus Iacob*. Quinetiam David: *Dixit dominus domino meo, Sede a dextris meis*. Nec ullibi dominus *Deum meum et deum vestrum* nominavit. Ceterum ubi corpore nostro suscepto, *In terra visus est, et cum hominibus conversatus*, atque inter nos numeratus est, tunc discipulos suos alloquens, quibus cum adaequari penitus solo excepto peccato debuit, *Deum meum*, dixit, *et deum vestrum, patrem meum, et patrem vestrum*. Patrem meum, natura scilicet ac divinitate patrem vestrum, gratia dunta- Cap. LV. Ioann. 20, 17. Ioann. 10, 33. Gen. 1, 26. Gen. 3, 18. Gen. 6, 14. Exod. 3, 6. Ps. 109, 1. Baruc. 3, 38. Ioann. 20, 17.

7. ἡμῶν *mendum est ed. Petav. Colon. repetitae.*

8. *Verba* πατέρα μου μὲν - - καὶ πατέρα ὑμῶν *bis extant in ed. Petav. Colon. repet.*

πατέρα ὑμῶν διὰ χάριν δι' ἐμὲ ἐν τῇ υἱοθεσίᾳ. Θεόν μου δὲ, ὅτι τὸ ὑμέτερον σαρκίον εἴληφα, καὶ θεὸν ὑμῶν, [9] κατὰ φύσιν καὶ ἀλήθειαν. Καὶ οὕτω πάντα ἐστὶ σαφῆ καὶ διαυγῆ, καὶ οὐδὲν ἐναντίον, οὐδὲ θανάτου παραπλοκῆς ἔχον εἶδος ἐν τῇ θείᾳ γραφῇ, ὡς οὗτοι προφασίζονται, πονηρὰ ἑαυτοῖς ἐπινοοῦντες. Νομίζω δὲ πάλιν καὶ πρὸς τοῦτο ἱκανῶς ἔχειν τὴν φράσιν ἐπὶ δὲ τὰ ἄλλα λοιπὸν ἐπελεύσομαι.

Κεφ. νς'. *Τὸ ἅγιον γὰρ πνεῦμα κτίσμα πάλιν κτίσματός φασιν εἶναι, διὰ τὸ διὰ τοῦ υἱοῦ τὰ πάντα γεγενῆσθαι, ὡς εἶπεν ἡ γραφὴ, ἀσυνέτως τινὰς διαρπάζοντες, οὐ καθὼς εἴρηται τὸ ῥητὸν ἔχοντες, ἀλλὰ κακῶς ὑπονοοῦντες, καὶ ἀπὸ [1] τοῦ ῥητοῦ [2] τὸ καλῶς εἰρημένον κατὰ τὴν κακὴν αὐτῶν ὑπόνοιαν παρερμηνεύοντες. Οὐ γὰρ τὸ θεῖον εὐαγγέλιον περὶ τοῦ πνεύματος ἔφη, ἀλλὰ περὶ πάντων τῶν κεκτισμένων, ὅτι εἴ τι*
pag. 779. *κτιστὸν, διὰ τοῦ λόγου γεγένηται, καὶ ὑπὸ τοῦ λόγου. [3] Τὰ γὰρ, Πάντα δι' αὐτοῦ ἐγένετο, καὶ χωρὶς αὐτοῦ ἐγένετο οὐδὲ ἓν, παρεκτεινομένης τῆς ἀναγνώσεως, [4] ἔχει, Ὃ γέγονεν, ἵνα οὕτω γνωσθῇ ὅτι πάντα δι' αὐτοῦ ἐγένετο, καὶ χωρὶς αὐτοῦ ἐγένετο οὐδὲ ἕν. Εἶτα πάλιν, Ἐν αὐτῷ ζωὴ ἦν. Ἔδει γὰρ καὶ ἐν τούτῳ πληρωθῆναι τὴν τοῦ ἁγίου Ἰωάννου ἀκολουθίαν, ἐν τῷ ὄντι τὰ ὄντα [5] πεπληρωμένως ἀεὶ ὁμολογούμενα. Ἐν ἀρχῇ γὰρ ἦν ὁ λόγος, καὶ ὁ λόγος ἦν πρὸς τὸν θεὸν, καὶ θεὸς ἦν ὁ λόγος. Ἐπειδὴ ἦν καὶ ἦν, καὶ ἦν, καὶ τὰ ἐν αὐτῷ ζωὴ ἦν, καὶ ἦν τὸ φῶς τὸ ἀληθινὸν, καὶ τὸ ἐν τῷ κόσμῳ ἦν, καὶ ὅσα περὶ τούτου ἦν, ἐκ πνεύματος ἁγίου σαφηνίζει ὁ μακάριος Ἰωάννης [6] τῷ, Πάντα δι' αὐτοῦ ἐγένετο τὰ γενόμενα. [7] Ἀνωτέρω δὲ τῶν γενομένων αὐτὸς ὁ τὰ πάντα ποιήσας. Λέγει δὲ ἡ γραφὴ δι' αὐτοῦ πάντα γεγονέναι, οὐκ ὠνόμασε δὲ ποῖά ἐστι τὰ γεγονότα. Ὑπόνοια γὰρ οὐδαμοῦ ἦν πονηρίας, ἵνα μή τινες ὑπονοήσωσι τὰ μὴ ὄντα, καὶ βλασφημήσωσι τὸ ἄτρεπτον καὶ ἀναλλοίωτον ἅγιον θεοῦ πνεῦμα. Δι' αὐτοὺς γάρ φησι ὁ κύριος ὅτι, Ἐάν τις εἴπῃ λόγον εἰς τὸν υἱὸν τοῦ ἀνθρώπου, ἀφεθήσεται [8] αὐτῷ, ἐὰν δέ τι [9] εἴπῃ εἰς τὸ ἅγιον πνεῦμα, οὐκ ἀφεθήσεται αὐτῷ οὐδὲ ὧδε, οὐδὲ ἐν τῷ μέλλοντι αἰῶνι. Ἠλίθιον γάρ ἐστι τὸ πᾶν τοῦ αὐτοῦ λόγου. Κατὰ δὲ τὴν βλάσφημον αὐτῶν ὑπόνοιαν ἀντιλέξειέν τις αὐτοῖς καὶ [10] εἴποι, Ὦ γενναῖοι σοφισταὶ, καὶ τῶν λόγων διαστροφεῖς, οἱ βουλόμενοι σὺν τοῖς γεγονόσιν*

9. καὶ κατὰ *cod. Rhedig.*

Cap. LVI. — 1. *Restitui* τοῦ *ex utroque codd. mss. Abest enim ab editis.*

2. τοῦ τὸ *cod. Rhedig.*

3. *Fortasse* Τὸ γάρ.

4. μέχρι *ariolatus est Petavius.*

5. πεπληρωμένως *emendandum esse viderunt Cornarius et Petavius. Ille quidem vertit* ordinis consequentiam, ut in eo qui erat ea quae sunt plene semper confiteretur. *In libris est* πεπληρωμένος.

6. *Vulgo* τό.

7. *Libri habent* ἀνώτερα. *Edidi* ἀνωτέρω *ex emendat. Petavii.*

8. αὐτοῦ *codd. mss.*

9. εἴπῃ *cod. Rhedig., et sic primitus*

xat, per me, adoptionisque beneficio. Deum meum, quoniam vestram carnem suscepi, deum vestrum, secundum naturam, et ex rei veritate. Qua ratione manifesta omnia ac perspicua sunt, neque quicquam contrarium est ac repugnans, nec ullus in scriptura locus mortiferum quicquam, et exitiosum habet admixtum ut isti captandae occasionis gratia videri volunt, qui sibi ipsis perniciosa quaedam excogitare solent. Sed cum hactenus, ut opinor, de his abunde sit dictum, nunc ad alia transibimus.

Spiritum itaque sanctum creaturae esse creaturam asserunt, Cap. LVI.
quod *per filium omnia facta sint,* ut scriptura testatur. In quo stulte Ioann. 1, 3.
nonnullos in errorem abducunt, dum scripturae sententiam non ut concepta est proferunt, sed perperam intelligentes, quod praeclare conceptum est male accipiendo interpretandoque depravant. Neque enim evangelium de spiritu loquitur, sed de creatis rebus omnibus, idque unum declarat, quidquid creatum est, per verbum et a verbo fuisse productum. *Omnia enim per ipsum facta sunt, et sine ipso factum est nihil.* Ubi sententia ad haec usque verba, *Quod factum est,* continuari debet, ut ita discamus omnia per ipsum esse facta, et sine ipso factum nihil. Deinde: *In ipso vita erat.* Quippe in hoc institutae a Ioanne orationis consequentiam impleri oportuit, ut in verbo, quod est, quae sunt omnia perfecte inesse communi confessione constaret. *In principio enim erat verbum, et verbum erat apud deum, et deus erat verbum.* Quandoquidem *Erat,* et *Erat,* et *Erat,* et *Vita erant quae in ipso sunt,* et *Erat lux vera,* et, *In mundo erat,* ac quae ad hoc ipsum attinebant, sancti spiritus afflatu beatus Ioannes declarat. *Omnia,* inquit, *per ipsum facta sunt quae facta sunt.* Porro supra ea quae facta sunt ille constitutus est, a quo facta sunt omnia. Quod autem scriptura cum dixisset *facta esse per ipsum omnia,* quaenam illa forent nominatim haud expresserit, haec esse caussa videtur quod nulla tum esset eiusmodi improbitatis suspicio: ut nonnulli falsa quaedam sibi opinione fingentes adversus immutabilem ac sanctum dei spiritum contumeliosis vocibus auderent insurgere. De illis enim accipienda est illa domini sententia: *Si quis dixerit verbum in filium hominis, remittetur ipsi:* Matth.
sin autem dixerit in spiritum sanctum, non remittetur ipsi, neque 12, 32. et Marc.
hic, neque in futuro seculo. Et vero stolidissima est illorum ratio. 3, 28.
Imo vero ex hac ipsorum opinione, quae cum summa in deum contumelia coniuncta est, sic eos oppugnare, et ad eum modum instare licet: O praeclari sophistae, ac detorquendorum verborum artifices!

fuisse videtur in cod. Ien. quoque, sed ab eadem manu effictum esse εἶποι. *Hoc habent editi libri.*
10. εἴπῃ *codd. mss. et ed. princ.*

ἀριθμεῖν τὸ ἅγιον πνεῦμα τοῦ θεοῦ, διὰ τὸ ῥητὸν τὸ, *Δι' αὐτοῦ τὰ πάντα ἐγένετο*, ἀπὸ τοῦ εἰπεῖν ὅτι *Πάντα*, μηδαμοῦ ὄντος σὺν πᾶσιν ἀριθμουμένου τοῦ ἁγίου πνεύματος. Ἆρα γοῦν καὶ διανοηθῆναι ὀφείλετε, ἢ καὶ ἄλλος τις χείρων ὑμῶν ἕτερος, καὶ τὸν [11] πατέρα διὰ τοῦ υἱοῦ γεγονέναι, κατὰ τὴν βλάσφημον ὑμῶν ὑπόνοιαν. [12] Ὁμοῦ γὰρ συμπεριληπτικός ἐστιν ὁ λόγος φάσκων τὰ πάντα δι' αὐτοῦ γεγονέναι. Εἰ δὲ βλάσφημον περὶ τοῦ πατρὸς λογίζεσθαι τὸ τοιοῦτον καὶ μωρὸν, τὸ ὅμοιον καὶ ἐπὶ τοῖς διανοουμένοις ἐπὶ τοῦ ἁγίου πνεύματος, τοῦ σὺν πατρὶ ἀριθμουμένου καὶ υἱῷ. Εἰ γὰρ ἦν τῶν γεγονότων, οὐκ ἂν τῷ ἀκτίστῳ πατρὶ καὶ υἱῷ ἀκτίστῳ συνηριθμεῖτο· ἀλλ' ὅτι ἄκτι-
pag. 780. στόν ἐστιν συναριθμεῖται. Εἶπε γὰρ, *Ἀπελθόντες βαπτίσατε εἰς ὄνομα πατρὸς, καὶ υἱοῦ, καὶ ἁγίου πνεύματος*. Πῶς δὲ κτιστὸν εἴη τὸ πνεῦμα τὸ μαρτυρούμενον ὅτι, *Ἐκ τοῦ πατρὸς ἐκπορεύεται*, καὶ *ἐκ τοῦ ἐμοῦ λαμβάνει*, δι' οὗ καὶ ἡ τελεία τῶν ἀνθρώπων σωτηρία καὶ ἔνσαρκος οἰκονομία εἰς πᾶσαν δικαίωσιν ἐπληρώθη. *Ἔχρισε γὰρ αὐτὸν πνεύματι ἁγίῳ*, φησὶ ἡ γραφὴ περὶ τοῦ κυρίου. Οὐκ ἂν δὲ τὴν ἔνσαρκον οἰκονομίαν σὺν τῷ θεῷ λόγῳ ἡνωμένην εἰς μίαν θεότητα ἔχρισεν ὁ πατὴρ κτίσματι, ἀλλ' ἐπειδὴ μία ἐστὶν ἡ τριὰς, τρία τέλεια, μία θεότης, ἔδει ἐν τῷ υἱῷ [13] οἰκονομικῶς τοῦτο γενέσθαι, ἵνα πανταπασι δοξαζομένη ἐν ἅπασιν νοηθῇ ἡ τριάς· καθάπερ κατὰ πασῶν τῶν αἱρέσεων περὶ πνεύματος διηγούμενοι οὐ μίαν, οὐ δύο μαρτυρίας εἰςενέγκαμεν ὅτι θεοῦ ἐστι πνεῦμα σὺν πατρὶ καὶ υἱῷ δοξαζόμενον, ἄκτιστον καὶ ἄτρεπτον καὶ τέλειον. Ἐξέπεσε δὲ καὶ ὁ περὶ τούτου τῶν φιλονεικούντων λόγος ὁ καθ' ἑαυτῶν.

Κεφ. νζ. Πάλιν δὲ εἰς τὰς ἄλλας αὐτῶν λέξεις ἑαυτοὺς ἐπιδῶμεν. Φασὶ γὰρ πάλιν τὸ ῥητὸν οὐκ εὐλόγως κατέχοντες, ὅτι αὐτὸς ἔφη ὁ σωτὴρ, *Τί με λέγεις ἀγαθόν; εἷς ἐστιν ἀγαθὸς ὁ θεὸς*, καὶ ἀφώρισεν ἑαυτὸν ἐντεῦθεν ἀπὸ τῆς τοῦ πατρὸς οὐσίας τε καὶ ὑποστάσεως. Τὸ δὲ πᾶν ἐστι γελοιῶδες. Εἰ γὰρ ὁ τοσαῦτα ἡμῖν ἀγαθὰ πεποιηκὼς οὐκ ἀγαθὸς παρ' αὐτοῖς κρίνεται, καὶ τίς ἔτι τούτου μοχθηρότερος εἴη, ὅτι ὁ δεδωκὼς τὴν ψυχὴν αὐτοῦ ὑπὲρ τῶν προβάτων, ὁ τῇ ἑκουσίᾳ γνώμῃ ἐλθὼν εἰς τὸ παθεῖν, ὁ ἀπαθὴς θεὸς ὢν, ὅτι τὸ τὴν δωρεὰν ἡμῖν ποιησάμενος τῶν ἁμαρτημάτων, ὅτι ὁ τὰς ἰάσεις ἐπιτελέσας ἐν παντὶ Ἰσραὴλ, ὁ ἐκ τῆς αὐτοῦ ἀγαθότητος τοσοῦτον γένος τῶν ἀνθρώπων περισυναγαγὼν ἐν ἀγαθότητι, ὁ τῆς ἀγαθότητος πρύτανις καὶ τῆς εἰρήνης δεσπόζων, ὁ ἄνω ἐκ πατρὸς ἀγαθὸς λόγος, ἐκ τοῦ ἀγαθοῦ πατρὸς γεγεννημένος, ὁ διδοὺς τροφὴν πάσῃ σαρκὶ, ὁ ἐνεργήσας ἀνθρώποις καὶ πᾶσι τοῖς ὑπ' αὐτοῦ γεγεννημένοις πᾶσιν ἀγαθότητα, οὐκ

11. πνεῦμα cod. Rhedig. 12. ἐμοῦ mendose habet ed. Petav. Co-

quibus propterea sanctum dei spiritum iis rebus quae factae sunt annumerari libet, quod ita scriptum sit: *Per ipsum omnia facta sunt.* Consequens igitur est ut eadem vos ratione, vel alius quispiam vobis deterior ita animo concipiat, etiam patrem ipsum per filium esse factum, ut impia vestra fert sententia. Quippe generatim universeque concepta est oratio, quae *omnia per ipsum facta esse* declarat. Quod si eiusmodi aliquid de patre suspicari impium ac stolidum est, idipsum quoque de illis existimandum est qui hoc ad spiritum sanctum transferunt, qui cum patre filioque numeratur. Nam si rerum factarum ordine contineretur, cum increato patre et increato filio nequaquam numerandus esset. Sed quod increatus sit, idcirco numeratur. Christus enim dixit, *Euntes baptizate in nomine patris, et filii, et spiritus sancti.* Quinam porro creatus esse potest spiritus ille, de quo ita testatur: *A patre procedit, et de meo accipit?* per quem et hominum perfecta salus et incarnatio ad omnem iustificationem est impleta? *Unxit enim illum spiritu sancto*, ait scriptura de domino. Nunquam autem humanam illam naturam in unam divinitatem cum deo verbo coniunctam creatura aliqua pater inungeret. Nunc cum una sit trinitas, triaque perfecta, et una divinitas, dispensatione quadam fieri hoc in filio debuit, ut in omnibus laude ac gloria celebrata cognosceretur trinitas. Quemadmodum cum adversus haereses omnes de spiritu sancto disputaremus, non uno aut altero testimonio probavimus dei esse spiritum, qui cum patre et filio collaudetur increatus, immutabilis, et perfectus. Quamobrem hac in parte contentiosorum haereticorum exclusa ratio est, quae in illos ipsos recidit.

Matth. 28, 19. Ioann. 15, 26. Act. 10, 38.

Reliqua modo quae afferre solent consideremus. Hanc enim praeterea domini sententiam perabsurde proferunt, qua quidem ipse dixit, *Quid me dicis bonum? unus est bonus deus.* In quo semetipsum ab essentia patris et persona separasse videtur. Verum ridiculum hoc illorum argumentum est. Nam qui tam multa in nos bona contulit, minime illorum opinione bonus habendus est. Quis fingi potest improbior? quandoquidem qui pro ovibus suis animam profudit, qui ad patiendum sponte descendit, cum immunis ab omni passione deus esset, qui delictorum nobis gratiam fecit, qui in omni Israëlitico populo aegritudines sanavit, qui pro sua bonitate tam infinitum hominum genus collegit, qui bonitatis administrator et pacis dominus est, bonum inquam illud verbum quod ab aeterno bono ex patre genitum est, *Qui dat escam omni carni*, qui in hominibus ceterisque a se productis omnibus bonitatem impertiit, bonus ab illis non

Cap. LVII. Matth. 19, 16.

ίου. repet. 13. τοῦτο οἰκονομικῶς *cod. Rhedig.*

ἀγαθὸς παρ' αὐτοῖς κρίνεται; Καὶ οὐκ ἴσασιν οἱ λήθην ἑαυτοῖς περιποιούμενοι ὅτι πρὸς τὸν ἐρωτήσαντα ἀνθυπήνεγκε τὸν λόγον ὅπως καθέλῃ τῆς ἐν αὐτῷ ἐπάρσεως τὸ φρύαγμα. Αὐχῶν γὰρ ἦν ἀπὸ γραμ-
pag. 781. ματέων ὁρμώμενος, ὡς τὰ δικαιώματα τοῦ νόμου ἀκριβῶς φυλάξας, δικαιοσύνην τε καὶ ἀγαθότητα περὶ ἑαυτοῦ σεμνυνόμενος, καὶ ἔλεγε, Διδάσκαλε ἀγαθὲ, τί ποιήσας ζωὴν αἰώνιον κληρονομήσω; Καὶ ἐπειδὴ [1] εἶχε περὶ ἑαυτοῦ ὡς περὶ τηλικαύτης δικαιοσύνης, ὁ κύριος βουλόμενος θεῷ ἀναφέρειν τὴν πᾶσαν ἀγαθότητα, ὅτι οὐδεὶς ἀγαθὸς, πλὴν αὐτοῦ, ἵνα μηδεὶς σάρκα φορῶν τύφον τινὰ [2] ἑαυτῷ ἐπισπάσηται, τούτου [3] ἕνεκεν ἔλεγε, Τί με λέγεις ἀγαθόν; οὐδεὶς ἀγαθὸς εἰ μὴ εἷς ὁ θεὸς, ἵνα ὁ τοιοῦτος καὶ τοσοῦτος τὸν τοιοῦτον λόγον εἰπὼν καθέλῃ τὴν ἐν τῷ εἰπόντι φυσίωσιν περὶ δικαιοσύνης τὴν οἴησιν κεκτημένου, καὶ ἵνα ἐλέγξῃ αὐτοῦ τὴν καρδίαν, ἀγαθὸν μὲν διδάσκαλον χείλεσιν αὐτὸν λέγοντα, μὴ ἐμμένοντα δὲ ἐν τῇ ἀγαθῇ αὐτοῦ διδασκαλίᾳ. Καὶ ὅτι μὲν ἀγαθὸς τυγχάνει, αὐτὸς διδάσκει λέγων, Πολλὰ καλὰ ἐποίησα ἐν ὑμῖν, περὶ ποίου οὖν αὐτῶν ἔργων λιθάζετέ με. Τίνι γὰρ τοῦτο οὐκ ἔστι σαφὲς καὶ φανερώτατον, μάλιστα πολλῶν ἀγαθῶν τῶν αὐτοῦ κτισμάτων ὄντων καὶ καλουμένων; ὥς φησιν ἡ θεία γραφή. Ἰδοὺ γὰρ, [4] περὶ πολλῶν ἀγαθῶν διηγεῖται τὸ θεῖον γράμμα. Ἦν ἀγαθὸς φησὶ Σαοὺλ, υἱὸς Κὶς, ἐκ φυλῆς Βενιαμὶν, ὑψηλότερος δὲ παντὸς τοῦ λαοῦ, ὑπὲρ ὠμιῶν καὶ ἐπάνω, καὶ, Ἦν ἀγαθὸς Σαμουὴλ μετὰ τοῦ θεοῦ καὶ ἀνθρώπων, καὶ, Ἀγαθὴ ἐσχάτη λόγου ὑπὲρ τὴν ἀρχὴν, καὶ, Ἀνοῖξόν σου τὸν θησαυρὸν τὸν ἀγαθὸν, τὸν οὐράνιον· τούτων δὲ κτισμάτων ὄντων, καὶ ἀγαθῶν δηλουμένων, δι' αὐτοῦ τε καὶ ὑπ' αὐτοῦ γεγονότων, πῶς οὐκ ἀναμφιβόλως ἐστὶν ἀγαθὸν εἶναι ὁμολογεῖν τὸν τούτου γενεσιάρχην; Ἀλλ' ἵνα [5] μὴ μηκύνω τὸν περὶ τούτου λόγον (πάντη γὰρ διὰ πλάτους περὶ τούτου εἰρήκαμεν), αὖθις πάλιν εἰς τὰς ἑξῆς παρελεύσομαι, τὴν ἐπίλυσιν ἑκάστης λέξεως ποιούμενος.

Κεφ. νη'. Ἐπιφέρουσι δὲ πάλιν τινὰ ῥητὰ οἱ πάντολμοι, ἐλαττωμάτων ὑπονοίας ὑποσπείροντες εἰς τὸν αὐτοὺς ἀγοράσαντα, εἴπερ ἠγοράσθησαν. Ἐν γὰρ τῷ προσελθεῖν τὴν μητέρα τῶν υἱῶν Ζεβεδαίου καὶ παρακαλέσαι τὸν ἕνα καθίσαι υἱὸν ἐκ δεξιῶν, καὶ τὸν ἕνα ἐξ εὐωνύμων, ὅταν ἔλθῃ ἐν τῇ βασιλείᾳ αὐτοῦ, ἔφη πρὸς αὐτοὺς, Οὐκ οἴδατε τί αἰτεῖσθε. Δύνασθε πιεῖν τὸ ποτήριον ὃ μέλλω πίνειν; οἱ δὲ εἶπον, Ναὶ, δυνά-
pag. 782. μεθα. Εἶπε δὲ αὐτοῖς, Τὸ μὲν ποτήριόν μου πίεσθε, τὸ δὲ καθίσαι

Cap. LVII. — 1. *Rescribendum puto* ηὔχει. *Cornarius vertit* et quoniam sentiebat de seipso velut de tanta iustitia.
2. ἑαυτῷ *om. cod. Rhedig.*
3. ἕνεκα ἔλεγεν *cod. Rhedig.*
4. παρὰ *cod. mss. et ed. princ.*
5. μὴ κίνω *cod. Ien. et ed. princ.*

iudicatur. Haec enim ignorant isti, qui ultro sibi oblivionem adsciscunt, Christum dominum ei qui de se percontatus fuerat responsum illud quod antea commemoravimus dedisse, ut eius fastum arrogantiamque compesceret. Nam cum hic e scribarum numero gloriaretur, quod praecepta legis omnia accuratissime servasset, seque iustitiae ac bonitatis nomine venditaret, atque ita locutus esset, *Praeceptor bone, quid faciendo vitam aeternam possidebo?* cum, inquam, Matth. 19, 16.
ita de se persuasum haberet tantae se iustitiae numeros omnes explevisse, ideo dominus bonitatem omnem ad patrem, tanquam ad auctorem referre cupiens, quod nemo praeter ipsum bonus sit, ne quis carne praeditus superbia arrogantiaque se nimium efferret, respondit, *Quid me dicis bonum! nemo bonus est nisi solus deus:* ut cum tantus ac talis hoc modo loqueretur interrogantis illius qui iustitiae opinione erat inflatus fastum ac spiritus frangeret, tum ut intimos eius pectoris sensus redargueret, eo quod cum bonum ipsum summis duntaxat labiis fateretur, minime tamen bona in illius doctrina acquiesceret. Verumenimvero bonum se esse testatur ipsemet his verbis: *Multa bona feci in vobis: propter quod igitur ex illis operibus lapidatis me?* Ioann. 10, 32.
Quis est hebes adeo, cui non illud perspicue manifesteque constet? praesertim cum creatarum ab illo rerum quamplurimae et sint et appellentur bonae, ut ex scripturae testimonio colligitur; quae quidem bonorum multorum mentionem facit. Ita, *Bonus*, inquit, *erat Saul filius Cis de tribu Beniamim, sublimior omni* 1. Reg. 9, 2.
populo ab humeris et ultra: item, *Bonus Samuel cum deo et hominibus:* 1. Reg. 2, 26. Eccl. 7, 9.
tum, *Melior est orationis finis quam principium:* item, *Aperi thesaurum bonum tuum coelestem.* Num. 28, 6.
Quae cum omnia creaturae quaedam sint ac bonae esse dicantur, per ipsum utique et ab ipso productae, nonne auctorem illorum ac conditorem bonum esse confiteri sine ulla dubitatione licet? Verum ne longius quam par sit in ea disputatione versetur oratio (abunde enim de eo loco dictum arbitror) reliqua videamus, et singula ab illis obiecta diluamus.

Pergunt enim audacissimi homines cuidam scripturae sententiae insistere, ex qua redemptori suo, si tamen ab eo redempti sunt, falsam imminutionis ac defectus opinionem aspergant. Etenim cum ad Christum Zebedaei filiorum mater accessisset rogans, ut alterum ad dexteram, alterum ad sinistram sedere tum iuberet cum ad regnum suum pervenisset, ita illis respondit: *Nescitis quid petatis:* Cap. LVIII.
potestis bibere calicem quem bibiturus sum? At illi dixerunt, Possumus. Dixit autem illis, Calicem quidem meum bibetis, sedere au- Matth. 20, 22 et Marc. 10, 38.

(*quae ipsa tamen parum sibi constans* p. 333. *praebeat* μὴ κίνω), μηκύνω *cod.* p. 334. *initio exhibet* μηκίνω, *cum fine Rhedig.*

ἐκ δεξιῶν μου, ἢ ἐξ εὐωνύμων, οὐκ ἔστιν ἐμὸν δοῦναι, ἀλλ' οἷς ἡτοίμασται παρὰ τοῦ πατρός μου. Ὁρᾷς, φησὶ, πῶς οὐκ ἔχει ἐξουσίαν [1] πάρεξ τοῦ πατρὸς, τοῦ ἔχοντος τὴν ἐξουσίαν παρέχειν ὃ βούλεται; καὶ τίς οὕτως τῶν εὐφρονούντων νοήσειεν; εἰ γὰρ ὁ υἱὸς οὐκ ἔχει ἐξουσίαν, καὶ τίς ἔχει ἐξουσίαν; Ὁ γὰρ πατὴρ, φησὶ, ζωογονεῖ τοὺς νεκροὺς, καὶ οὕτως ἔδωκε καὶ τῷ υἱῷ, ἵνα ὃν θέλει ζωογονῇ, καὶ, Τὰ τοῦ πατρὸς ἐμά ἐστι, καὶ, Πάντα παρεδόθη ὑπὸ τοῦ πατρός μου. Τίς οὖν ἔτι [2] ἀμφιβάλλοι; Τοῦτο δὲ βούλεται παριστᾶν ὁ θεῖος αὐτοῦ καὶ σοφὸς λόγος, ὅτι οὐ κατὰ προσωποληψίαν γίνεται πρᾶγμα, ἀλλὰ κατὰ ἀξίαν. Κυρίου μὲν γάρ ἐστι τὸ παρέχειν, παρέχει δὲ ἑκάστῳ κατ' ἀξίαν, ἕκαστος δὲ ἐργασάμενος τὸ δίκαιον λαμβάνει κατὰ τὸν ἴδιον κόπον· καὶ οὐκέτι αὐτῷ μόνῳ ἐστὶ τὸ δοῦναι, ἀλλὰ τῷ ἑαυτὸν ἄξιον πεποιηκότι. Τολμῶ γὰρ λέγειν ὅτι οὔτε αὐτοῦ ἐστι, καίπερ δυναμένου δοῦναι, μὴ βουλομένου δὲ, οὔτε τοῦ ἁγίου πνεύματος, καίπερ δυναμένου τοῦ ἁγίου πνεύματος δοῦναι κατὰ τὸ εἰρημένον· ὅτι, Ὧι μὲν δίδοται σοφία διὰ τοῦ πνεύματος, τῷ δὲ γένη γλωσσῶν ἐν τῷ [3] αὐτῷ πνεύματι, τῷ δὲ ἑρμηνεία γλωσσῶν, τῷ δὲ δύναμις, τῷ δὲ διδασκαλία, ἓν δέ ἐστι τὸ πνεῦμα τὸ διαιροῦν ἑκάστῳ ὡς βούλεται. Καὶ οὐκ εἶπε, Καθὼς προστάσσεται, ἀλλὰ, Καθὼς βούλεται. Καὶ, Ὁ υἱὸς ὃν θέλει ζωογονεῖ, καὶ ὁ πατὴρ καλεῖ ὃν θέλει πρὸς τὸν υἱόν. Καὶ πάλιν οὔτε ὁ πατὴρ, καὶ ὁ υἱὸς, οὔτε ἅγιον πνεῦμα κατὰ προσωποληψίαν καλεῖ, ἢ δίδωσιν, ἢ παρέχει, ἢ ἀξίαν δίδωσιν, ἀλλὰ καθὼς ἑαυτὸν ἄξιον ἕκαστος εὐτρεπίζει, τουτέσιν οὐκ ἔστιν ἐμὸν δοῦναι, ἀλλ' ἐὰν κάμητε, ἔσται ὑμῖν ἡτοιμασμένον παρὰ τοῦ πατρός μου. Τὸ δὲ τέλειον ὅτι, Ἐγώ εἰμι ἡ ζωή. Καὶ ἔτι ὑπερβήσομαι εἰς τὰ ἕτερα.

Κεφ. νη'. [1] Φησὶ δὲ, πῶς λέγετε αὐτὸν ἐκ τῆς τελείας τοῦ θεοῦ θεότητος; Ἰδοὺ γὰρ, λέγει περὶ αὐτοῦ ὁ ἀπόστολος ὅτι, Ὁ θεὸς ἤγειρεν αὐτὸν ἐκ νεκρῶν. Ὁ δὲ ἐπιδεηθεὶς βοηθείας τοῦ θεοῦ τοῦ ἐγεῖραι αὐτὸν ἐκ νεκρῶν ἄρα ἕτερός ἐστιν, ὁ ἐγείρων τῇ δυνάμει, ἕτερος δὲ ὑποβεβηκὼς ὁ ἐγειρόμενος διὰ τῆς τοῦ δυνατοῦ δυνάμεως. Καὶ ἕως πότε κατατρίβομαι περὶ τὰ ληρώδη νοήματα τῶν κακῶς παρατριψάντων ἑαυτῶν τὸ μέτωπον; τίς οὖν ἤγειρε τὸν Λάζαρον; τίς ἤγειρε τὸν υἱὸν (pag. 783.) τῆς χήρας τῆς ἐν Ναΐν; τίς εἶπε τῇ θυγατρὶ τοῦ ἀρχισυναγώγου, Κοῦμι ταλιθὰ, τουτέστιν ἀνάστηθι ἡ παῖς; τίνος τὸ ὄνομα ἐπεκαλοῦντο οἱ ἀπόστολοι, καὶ οἱ νεκροὶ ἠγείροντο; Νομίζουσι δὲ, ἐπειδὴ οἱ ἀπό-

Cap. LVIII. — 1. Verba πάρεξ - - ἐξουσίαν non habet cod. Rhedig. 2. ἀμφιβάλοι cod. Rhedig. ἀμφιβάλλοιεν.

tem ad dexteram meam, vel ad sinistram non est meum dare, sed quibus paratum est a patre meo. Vides igitur, inquiunt, omni illum potestate carere sine patre, penes quem est cui velit deferendi facultas. Quis sui compos ac prudens haec de Christo cogitare possit? Nam si filius potestate caret, quis eam tandem obtinebit? *Pater enim*, inquit, *vivificat mortuos, et ita dedit et filio, ut quem vult vivificet:* et, *Quae patris sunt, mea sunt:* et, *Omnia tradita sunt mihi a patre meo.* Quis de eo dubitare amplius potest? Quamobrem hoc divinus ipsius ac sapiens sermo demonstrare voluit, nulla personarum acceptione, sed ex cuiusque merito rem omnem transigi. Domini enim est conferre; confert autem unicuique pro dignitate meritorum. Unusquisque enim qui quod iustum est praestitit, pro laboris sui ratione mercedem accipit, nec alteri tribuere licet, praeterquam ei qui se dignum reddiderit. Dicam enim audacter, ne ipsius quidem esse, nisi hoc modo, dare, quamquam hoc in eius potestate situm est, sed quod nequaquam id velit; imo nec spiritus esse sancti, quamvis et ipse tribuere possit, ut ex hoc scripturae loco manifestum est, *Huic quidem datur sapientia per spiritum, huic vero genera linguarum in eodem spiritu, alteri interpretatio linguarum, huic virtus, huic doctrina: unus est autem spiritus, qui dividit unicuique prout vult.* Non dixit, Prout iubetur, sed, Quatenus vult. Ad haec, *Filius quem vult vivificat, et pater vocat quem vult ad filium.* Praeterea neque pater, aut filius, neque spiritus sanctus personarum in vocando dandove ac largiendo, vel cuiusque meritis compensandis rationem habet, sed hoc omnino spectatur, quemadmodum se quisque idoneum dignumque comparet. Denique hic sensus est, Non est meum dare, sed si laboraveritis, paratum erit vobis a patre meo; summum autem ac perfectum est, *quoniam ego sum vita.* Nunc ad alia progrediamur.

Ioann. 5, 21. Ioann. 16, 15. Matth. 11. 27. 1. Cor. 12, 8. Ioann. 5, 21. Ioann. 6, 44.

Obiiciunt illud: Quinam illum ex perfecta divinitate dei prodiisse dicitis? Ecce enim apostolus sic de illo scribit: *Deus suscitavit illum a mortuis.* Ex quo patet dei illum auxilio, qui se a mortuis excitaret opus habuisse. Proindeque alius est qui suapte illum vi suscitat, alius et eodem inferior, qui praepotentis illius virtute suscitatur. Quid amplius perfrictae frontis hominum refellendis nugis ac somniis immoramur? Quis Lazarum excitavit ad vitam? Quis viduae in oppido Naim filium vitae restituit? Quis synagogae principis filiae dixit, *Cumi talitha*, hoc est, *Surge filia.* Quis invocato ab apostolis nomine mortui sunt ad vitam revocati? At isti,

Cap. LIX. Rom. 4, 24. et 1. Cor. 15, 15. Ioann. 11. Luc. 7. Matth. 9. Marc. 5. Luc. 8. Matth. 5, 41

3. αὐτῶν *codd. mss. uterque.* *Etiam Cornarius vertit* Dicunt. φησὶ
CAP. LIX. — 1. Φασὶ *cod. Rhedig.* *cod. Ien.* (*cum rasura*), *et editi.*

στολοι Ἰουδαίοις προςδιαλεγόμενοι διὰ τὸ νομίζειν ἀποστασίαν κηρύσσειν τοὺς ἀποστόλους ἀπὸ τοῦ θεοῦ τοῦ νόμου, καὶ διὰ [2] τὸ πρὸς τὸ γνωστὸν τοῦ ἁγίου πνεύματος, τοῦ γινώσκοντος ὅτι ἤμελλον αἱρέσεις ἀφηνιάζειν τὸν Χριστὸν ἀπὸ τοῦ πατρῴου θελήματος, τούτου ἕνεκα εἰς τὴν μίαν θεότητα τὰ πάντα ἀναφέροντες οἱ αὐτοὶ ἀπόστολοι, ὅτι εὐδοκίᾳ παρὰ πατρὸς ἐγένοντο τὰ πάντα, βουλήσει τοῦ υἱοῦ, [3] συνευδοκίᾳ πνεύματος ἁγίου, μὴ ἄρα κατὰ ἐλάττωσιν, ἢ κατὰ ἀσθένειαν ἢ ἀλλοτρίωσιν τῆς τοῦ θεοῦ λόγου παρὰ [4] τὴν τοῦ πατρὸς οὐσίαν τοῦτο εἴρηται. Καὶ οὐχ οὕτως. Ὅρα γὰρ τὰ πρωτότυπα, πῶς διηγεῖται ὁ ἄγγελος φάσκων ταῖς περὶ [5] Μαρίαν, Τί ζητεῖτε τὸν ζῶντα μετὰ τῶν νεκρῶν; [6] ὁρᾷς, ὁ ζῶν ἐν ἰδίᾳ θεότητι καὶ σαρκὶ ἀνέστη, οὐκ ἦν δὲ μετὰ τῶν νεκρῶν. Καὶ τί φησι αὐταῖς, Ἀνέστη, οὐκ ἔστιν ὧδε; καὶ οὐκ εἶπεν, Ἤγειρεν αὐτὸν ὁ θεὸς, καὶ οὐκ ἔστιν ὧδε; Ἀλλ' ἵνα [7] δείξω σοι τὸ δυνατὸν, ὅτι καὶ ζῶν ἀνέστη, καὶ αὐτὸς πάλιν ἔλεγε πρὸ τοῦ παθεῖν αὐτὸν τοῖς αὐτοῦ μαθηταῖς, Ἰδοὺ, ἀναβαίνομεν εἰς Ἱεροσόλυμα, καὶ παραδοθήσεται ὁ υἱὸς τοῦ ἀνθρώπου εἰς τὸ σταυρωθῆναι, καὶ τῇ τρίτῃ ἡμέρᾳ ἀναστήσεται. Καὶ οὐκ εἶπεν, Ἀναστήσει αὐτόν. Σαφῶς δὲ [8] περὶ τούτου τὸ ἐξουσιαστικὸν τῆς αὐτοῦ δυνάμεως προεδείκνυε λέγων, Ἐξουσίαν ἔχω τὴν ψυχήν μου θεῖναι, καὶ λαβεῖν αὐτήν. Ὁ δὲ ἐξουσίαν ἔχων πῶς ἑαυτὸν ἐγείρειν οὐκ ἠδύνατο; ὁ ἀπόστολος δὲ γράφων, ἵνα δείξῃ μηδὲν ἄνευ θελήματος πατρὸς ἐν τῇ τῆς σωτηρίας οἰκονομίᾳ γεγενῆσθαι, ἔφη, Ὁ θεὸς ἤγειρεν αὐτὸν ἐκ νεκρῶν. Καὶ γὰρ καὶ ἐν ἄλλῳ τόπῳ λέγει αὐτὸς ὁ ἀπόστολος, ὅτι, Εἰ καὶ ἀπέθανεν ἐξ ἀσθενείας, ζῇ δὲ ἐκ δυνάμεως. Ἤθελον δὲ πυθέσθαι τὸν νοῦν τῶν τὰ ἀκριβῆ τῶν γραφῶν γινωσκόντων, ποίαν ἀσθένειαν εἶχεν ὁ μονογενὴς, δι' οὗ ὁ οὐρανὸς ἥπλωται, ἢ παρ' οὗ ὁ οὐρανὸς κέκτισται, δι' οὗ ὁ ἥλιος ἐστιλβώθη, δι' οὗ ἔλαμψαν τὰ ἄστρα, δι' οὗ ἐξ οὐκ ὄντων τὰ πάντα γεγένηται. Ἄρα τὴν ἀσθέ-
pag. 784. νειαν ποίαν λέγει; ἄρα ἣν ἀνεδέξατο ἐλθὼν ὁ λόγος ἐν τῇ ἡμετέρᾳ σαρκὶ, ἐνδυσάμενος ταύτην, ἵνα τὴν ἡμῶν ἀσθένειαν βαστάσῃ; ὡς καὶ [9] ᾄδει περὶ αὐτοῦ ὁ προφήτης λέγων, τὰς ἀσθενείας ἡμῶν ἔλαβε, καὶ τὰς νόσους ἐβάστασεν. Ἀπέθανεν οὖν διὰ τὴν ἡμῶν ἀσθένειαν, ὁ ζωὴ ὢν καὶ ἀπαθὴς θεὸς, ἐν τῇ ἐξ ἡμῶν ἀσθενεστέρᾳ σαρκί· ζῇ δὲ ἐκ δυνάμεως. Ζῶν γάρ ἐστιν ὁ λόγος καὶ ἐνεργὴς καὶ τομώτερος ὑπὲρ πᾶσαν μάχαιραν δίστομον. Ἀπέθανεν οὖν ἐξ ἀσθενείας, ζῇ δὲ ἐκ δυνάμεως τῆς αὐτοῦ θεότητος, ζῇ δὲ ἐν τῇ ἡμετέρᾳ σαρκὶ, ἐν ᾗ τὸ

2. *Reponendum videtur* διὰ τὸ προγνωστὸν τοῦ ἁγίου πν. *Cornarius vertit* propter praenotionem sancti spiritus.

3. σὺν εὐδοκίᾳ *cod. Rhedig. Etiam Cornarium vertisse video* cum bona voluntate spiritus sancti.

4. τὴν *om. in ed. Petav. Colon. repet.*

5. Μαριὰμ *ed. Petav.*

6. *Verba* ὁρᾷς - - μετὰ τῶν νεκρῶν *om. cod. Rhedig.*

7. δείξω σοι *correxi cum Cornario qui vertit* At ut ostendam tibi potentiam *cett. In libris vulgo est* δείξωσι *inter-*

quoniam apostoli contra Iudaeos disputantes, cum persuasum ipsis esset apostolos ab legis deo defectionem praedicare, necnon et quod spiritus sanctus praevideret eiusmodi haereses futuras, quae a paterna voluntate Christum abalienare ac separare studerent, cum, inquam, propterea ad unam divinitatem omnia revocarent apostoli, quandoquidem pro eo ac patri visum est de filii voluntate ac consentiente spiritu sancto omnia condita sunt, haeretici, inquam, isti his loquendi modis inferiorem quandam conditionem aut imbecillitatem, aut divini verbi ab essentia patris alienationem significari putant. Verum longe aliter se res habet. Et ut illud intelligas, age exemplaria ipse contuere, quid angelus Mariae eiusque sociis mulieribus dixerit: *Quid quaeritis viventem cum mortuis?* Vides ut vivens ille Luc. 24, 5. cum sua divinitate et carne surrexerit. Neque vero inter mortuos amplius iacebat. Cur autem ita locutus est, *Surrexit, non est hic?* Matth. 16, 6. non autem ita dixit: Excitavit eum deus, et non est hic? nisi ut potestatem illius ostenderet, quoniam et vivus surrexit? Quin etiam priusquam ipse pateretur discipulos suos sic allocutus est: *Ecce* Matth. 20, 17. *ascendimus Hierosolyma, et tradetur filius hominis ut crucifigatur, et tertia die resurget.* Non dixit, Excitabit ipsum, sed aperte, quod ad eam rem attinet, suae vim potestatis aperuit, dicens, *Po-* Ioann. 10, 18. *testatem habeo animam meam ponere, et sumere ipsam.* Qui igitur potestatem habebat, semetipsum excitare non potuit? Apostolus vero nihil absque patris voluntate in administranda hominum salute gestum demonstrare cupiens, ita scripsit: *Deus suscitavit illum a* Act. 3, 15. *mortuis.* Nam et alio loco idem apostolus, *Tametsi*, inquit, *mor-* 2. Cor. 13, 4. *tuus est ex imbecillitate, vivit ex virtute.* Ego vero quidnam isti homines tam accurata sacrarum literarum scientia praediti in animo habeant, libenter interrogem, quid in unico dei filio imbecillitatis fuerit, per quem coelum expansum est et productum, per quem sol splendore perfusus est, per quem illuxere sidera, per quem e nihilo sunt omnia producta. Quam igitur imbecillitatem ei tribuunt? Eamne quam in nostra carne, ubi illam induit, dei verbum in sese transtulit, quo infirmitatem nostram ipse portaret? Quemadmodum de illo propheta cecinit: *Infirmitates nostras suscepit, et morbos tulit.* Igi- Esai. 53, 4. tur mortuus est propter infirmitatem nostram in imbecilla carne, ille ipse qui vita est et immunis a passione deus: vivit autem ex virtute. *Vivus est enim sermo dei, et efficax, et penetrabilior omni gladio* Hebr. 4, 12. *ancipiti.* Quare mortuus est ex infirmitate, vivit autem ex divinitatis suae virtute, et in carne nostra vivit, in qua passionem illam

punctione hac ὧδε; ἀλλ' ἵνα δείξωσι -- ἀνέστη. καὶ *cett.*

8. *Fortasse* παρὰ τούτου.
9. ᾄδη *codd. mss. et ed. princ.*

πάθος ἀνεδέξατο. Καὶ διὰ τὴν τοιαύτην οἰκονομίαν τὴν εὐδοκίαν πατρὸς σημαίνων ὁ ἀπόστολος ἔφη ὅτι, Ὁ θεὸς ἤγειρεν αὐτὸν ἐκ νεκρῶν.

Κεφ. ξ'. Ἐπιφέρουσι δὲ καὶ ἄλλο ῥητὸν ἐκ τοῦ κατὰ Λουκᾶν εὐαγγελίου, ὅπερ ἐστὶ θεσπέσιον καὶ ἐξαίρετον, καὶ εἰς πάντα χρησιμώτατον. Ποῖον δέ ἐστι τὸ ῥητόν; ἀλλ' ἡ ὁπηνίκα [1] γὰρ ἔμελλον ὁ κύριος ἰδίᾳ βουλήσει ἐπὶ τὸ πάθος ἥκειν, παραλαβὼν τοὺς μαθητὰς ἐν τῷ ὄρει κατὰ τὴν ὥραν ἐκείνην, διέστη ἀπ' αὐτῶν ὡςεὶ λίθου βολὴν, καὶ ἀπελθὼν ηὔχετο, [2] καὶ ἔλεγε, Πάτερ, εἰ δυνατὸν, παρελθέτω τὸ ποτήριον τοῦτο ἀπ' ἐμοῦ, ἵνα μὴ αὐτὸ πίω· πλὴν οὐχ ὃ ἐγὼ θέλω, ἀλλ' ὃ σύ. Καὶ πρῶτον μὲν πάλιν [3] προφασίζονται οἱ αὐτοὶ λέγοντες ὅτι, Ὁρᾷς πῶς [4] ἀποκριτικῶς λέγει, καὶ βούλημα διηλλαγμένον ὑποφαίνει λέγων, Οὐχ ὃ ἐγὼ θέλω, ἀλλ' ὃ σύ; πῶς οὖν ἡ αὐτὴ οὐσία τυγχάνει, φασὶν, ὅτι ἐν αὐτῷ ἕτερόν ἐστι βούλημα, ἐν δὲ [5] τῷ πατρὶ ἕτερον; Καὶ ἀγνοοῦσι τὴν πᾶσαν δύναμιν. Διὰ τοῦτο γὰρ καὶ ὁ ἀπόστολος ἔφη, Ὦ βάθος πλούτου καὶ σοφίας καὶ γνώσεως θεοῦ. Πῶς γὰρ ἴδιον βούλημα ἔφη παρὰ τὸ τοῦ πατρὸς βούλημα, ὁπότε αὐτὸς σημαίνει πρὸς τοὺς μαθητὰς ὅτι, Τετάρακται ἡ ψυχή μου, καὶ, Τί εἴπω, πάτερ; σῶσόν με ἐκ τῆς ὥρας ταύτης· ὡς προκατασκευαστικῶς τὸ ῥητὸν διηγούμενος καὶ ἐπαμφιβόλως τῇ λέξει κεχρημένος [6] ὅτι, Τί εἴπω, πάτερ, σῶσόν με ἐκ τῆς ὥρας ταύτης. Τοῦτο, φησὶ, [7] εἴπω; ἀλλὰ διὰ τοῦτο [8] ἦλθον εἰς τὴν ὥραν ταύτην. Ἦλθε δὲ οὐκ ἄκων, ἀλλ' ἑκών. Ἀνωτέρω γὰρ λέγει ὅτι, Ποτήριον ἔχω πιεῖν, καὶ τί σπεύδω ἕως οὗ πίω αὐτό; καὶ βάπτισμα ἔχω βαπτισθῆναι, καὶ τί θέλω εἰ ἤδη ἐβαπτίσθην; Εἰ τοίνυν θέλει καὶ σπεύδει, καὶ λέγει εἰς τοῦτο ἥκειν, πῶς ἄλλο βούλημα τὸ αὐτοῦ ὑποφαίνει, καὶ ἄλλο [9] τὸ τοῦ πατρός; ἀλλ' ἐπειδὴ pag. 785. ἤμελλε διὰ τοῦ Ἰσραὴλ παραδίδοσθαι, φιλάνθρωπος ὢν καὶ φειδόμενος τοῦ σπέρματος Ἀβραὰμ, ἐποιεῖτο ὑπὲρ τοῦ λαοῦ λόγον. Τὸ δὲ βούλημα ἦν τοῦ πατρὸς, τὸ τὴν οἰκονομίαν οὕτω πληρωθῆναι, τῶν υἱῶν Ἰσραὴλ παραιτίων ἑαυτοῖς ὄντων τῆς τοῦ υἱοῦ προδοσίας, καὶ οὐχ ὑπὸ θεοῦ ἀναγκαζομένων· καὶ οὐχ ἕτερον βούλημα ἦν τὸ τοῦ υἱοῦ παρὰ τὸν πατέρα. Ἀλλ' ἔδει αὐτὸν καὶ ἐν τούτῳ ταῦτα δεικνύειν, ἵνα τὸ πᾶν τῆς μονότητος ἐπὶ τὸν πατέρα ἀναγάγοι, πρὸς τὸ μὴ μερισθῆναί τι τῆς μίας ἑνώσεως καὶ οἰκονομίας.

Κεφ. ξα'. Καὶ καθεξῆς [1] δὲ ἐπιφέρει λέγων, Ἐν τῷ εὔχεσθαι αὐτὸν, ὡς γενόμενος ἐν ἀγωνίᾳ [2] ἐμφέρεται ἐν τῷ κατὰ Λουκᾶν εὐαγγελίῳ, Ἵδρωσε, φησὶ, καὶ ἐγένετο αὐτοῦ ὁ ἱδρὼς ὡςεὶ θρόμβοι αἵματος κα-

Cap. LX. — 1. ἄρ cod. Rhedig.
2. καὶ om. in ed. Petav. Colon. repet.
3. προφασιάζονται ed. princ.
4. ἀποκριτικῶς emendavit Petavius. Libri habent ὑποκριτικῶς.
5. τῷ om. in ed. Petav. Colon. repet.

sustinuit. Ob hanc administrandi rationem patris voluntatem ac decretum significare volens apostolus dixit, *Deus suscitavit illum a mortuis.*

Aliud insuper ex evangelio Lucae testimonium adducunt, plane divinum, et eximium, et ad omnia longe opportunissimum. Quodnam vero illud est? Nimirum cum ad subeundam passionem suapte sponte dominus accessurus esset, discipulis ad montem perductis, eadem illa hora *avulsus est ab illis lapidis fere iactu, et abiens orabat his verbis: Pater si fieri potest, transeat a me calix iste, ut non bibam illum. Verumtamen non quod ego volo, sed quod tu.* Ex quo ita disputandi occasionem captant: Vides, inquiunt, ut ad discernendum apte locutus sit, et diversam ab illo voluntatem indicet? *Non quod ego volo, sed quod tu.* Fierine vero potest, ut eadem amborum sit essentia, cum in utroque alia voluntas insit? Sed vim omnem verborum penitus ignorant. Nam et propterea exclamat apostolus, *O altitudo divitiarum et sapientiae ac scientiae dei!* Quomodo enim voluntatem propriam a paterna diversam esse dixit, cum hoc apostolis ipse declaraverit. *Turbata est*, inquit, *anima mea:* et, *Quid dicam, pater? Salva me ex hac hora.* Quod velut praeparandi gratia ambigue conceptum est. *Quid dicam*, inquit, *pater? Salva me hac hora?* Hoc, inquit, dicam, *Sed propterea veni in hanc horam.* Sponte porro, non invitus, accessit; supra enim dixerat, *Calicem habeo bibendum. Et quid festino donec bibam illum*, et, *Baptismo baptizandus sum, et quid volo nisi ut iam baptizer?* Quare si et vult, et festinat, et huius rei gratia venisse se dicit, quinam aliam suam, aliam patris voluntatem esse demonstrat? Sed quoniam per Israeliticam gentem tradendus erat, cum humanissimus esset, et Abraami stirpi consulere vellet, eius gratia ita locutus est. Porro haec erat patris voluntas, ut hoc modo administrarentur omnia, cum proditionis filii caussa sibimetipsis Israëlitae forent, neque a deo cogerentur; nec filii voluntas erat a paterna diversa. Sed in hoc demonstranda ab ipso illa fuerunt, ut singularitatem omnem ad patrem velut ad principium referret, ne unitas illa et administratio aliqua ex parte divideretur.

Cap. LX. — Luc. 22, 42. — Rom. 11, 33. — Ioann. 12, 27. — Luc. 12, 50.

Praeter haec illud etiam obiicit haereticus, quod in evangelio Lucae scriptum est, nimirum dum oraret Christus, et in agonia constitutus esset, sudasse. *Et factus est*, inquit, *sudor eius, tanquam*

Cap. LXI. — Luc. 22, 44.

6. ὅτι, Τί *ego.* Τί *placuit Petavio. Libri habent* ὅτι.
7. *Vulgo distinctum est* τοῦτο φησὶ εἴπω, ἀλλὰ *celt.*
8. ἤλ῾εν *vitium est ed. Petav. Colon. repet.*
9. τὸ *om. in ed. Petav. Col. rep.*
Cap. LXI. — 1. διεπιφέρει *cod. Rhedig.*
2. ὡς ἐμφέρεται *volebat Petav.*

τερχόμενοι ἐπὶ τῆς γῆς. Καὶ ἐφάνη ἄγγελος κυρίου ἐνισχύων αὐτόν. Προπηδήσαντες τοίνυν οἱ [3] λεξιθῆρες εὐθὺς, ὡς πρόφασιν κατὰ ἐχθροῦ εὑράμενοι, ἐπιφέρουσι λέγοντες, Ὁρᾷς ὅτι ἐπεδέετο καὶ ἰσχύος ἀγγέλων; ἐνίσχυσε γὰρ αὐτὸν ὁ ἄγγελος· ἐν ἀγωνίᾳ γὰρ αὐτὸς ἐγένετο. Καὶ οὐκ ἴσασιν ὅτι ἐὰν μὴ ἔχῃ πάντα ταῦτα, καὶ τὸ, Μὴ ἐμὸν βούλημα, ἀλλὰ τὸ σὸν, καὶ ἐὰν μὴ ἀγωνιάσῃ, καὶ ἐὰν μὴ ἱδρὼς αὐτῷ γένηται ἐκ σώματος προχεόμενος, ἄρα δόκησις ἦν ἡ ἔνσαρκος Χριστοῦ παρουσία, καὶ εὔλογος παρὰ Μανιχαίων καὶ [4] Μαρκιωνιστῶν ἡ περὶ φαντασίας δόκησις τῆς ἐνσάρκου παρουσίας ὑπόθεσις ᾄδεται, καὶ οὐκ ἀληθεστάτη. Ταῦτα δὲ πάντα, ἐπασφαλιζόμενος ἡμῶν τὴν ζωὴν [5] τὰ ὅλα, ἀνεδέξατο οἰκονομικῶς, ἀνθρωποπαθῆ τινα διηγήματα ἔχων οὐκ εἰρωνείᾳ, ἀλλ' ἀληθείᾳ, τὸ, Οὐκ ἐμὸν θέλημα, ἵνα δείξῃ σαρκὸς ὑπόστασιν ἀληθινὴν, καὶ ἵνα ἐλέγξῃ τοὺς λέγοντας νοῦν μὴ ἐσχηκέναι αὐτὸν ἀνθρώπινον, καὶ ἐλέγξῃ τοὺς μὴ λέγοντας σάρκα αὐτὸν ἐσχηκέναι. [6] Πᾶς γὰρ θεῖος λόγος ἀναμέσον τῶν υἱῶν τοῦ σκότους ἑστὼς ἐλέγχει τὸ σκότος, φωτίζει δὲ τοὺς υἱοὺς τῆς ἀληθείας; Ὅρα γὰρ πόσα χρήσιμα ἐν τῷ λόγῳ τούτῳ. Ἀπὸ ἀσωμάτων οὐ προέρχεται ἱδρώς. Ἐν δὲ τῷ [7] τοῦτο γενέσθαι ἔδειξεν ἀληθινὴν σάρκα, καὶ οὐ δόκησιν ἀπὸ σαρκὸς ἐν θεότητι συνηνωμένης·
pag. 786. χωρὶς γὰρ ψυχῆς καὶ νοὸς οὐ γίνεται ἀγωνία. [8] Ἀγωνιάσαντος δὲ αὐτοῦ, ἔδειξε ψυχὴν καὶ σῶμα καὶ νοῦν ἐπὶ τὸ αὐτὸ πεφορηκέναι, ὅθεν ἡ ἀγωνία φαίνεται. Καὶ πάλιν ἐν τῷ εἰπεῖν, Μὴ τὸ ἐμὸν θέλημα, ἀλλὰ τὸ σὸν, ἔδειξεν ἀληθῶς νοῦν ἀνθρώπινον, ἀλλ' ἀναμάρτητον. Ἡ γὰρ θεότης αὐτοῦ, πάντοτε ἐν πατρὶ, καὶ ὁ πατὴρ ἐν υἱῷ, καὶ ὁ υἱὸς ἐν ἁγίῳ πνεύματι, τὰ πάντα τελειωμένως ἔχει, καὶ οὐδὲν διαλλάττει φρόνημα υἱοῦ πρὸς πατέρα, οὐδὲ πατρὸς πρὸς υἱὸν, οὐδὲ τοῦ ἁγίου πνεύματος πρὸς πατέρα καὶ υἱόν. Εἰ γὰρ ἃ μὴ θέλει πατὴρ βούλεται υἱὸς, ἄρα καὶ αὐτὸς ἔσται καθ' ἡμᾶς ψιλὸς ἄνθρωπος θελήματι πατρὸς κατὰ ἐλάττωσιν. Ἀλλ' οὐχ οὕτως ἐστὶ, μὴ γένοιτο. Τῷ δὲ ἀνθρωποπαθῆ διηγεῖσθαι τὸ ἀληθινὸν τῆς ἐνσάρκου αὐτοῦ παρουσίας καὶ τὸ τέλειον τῆς αὐτοῦ ἐνανθρωπήσεως δείκνυσιν, ἵνα εἰς πάντα ἡμῶν [9] σωτηρίαν γένηται, εἰς τὸ μὴ ἕτερα ἀνθ' ἑτέρων νοεῖν, καὶ ἐκπίπτειν τῆς ἀληθείας.

3. λεξίθηρες *ed. Petav. Cf. de hoc vocabulo Lobeck. ad Phryn. p.* 628.

4. Μαρκιανιστῶν *codd. mss. et ed. princ.*

5. *Vulgo distinctum est* ζωὴν, τὰ ὅλα ἀνεδέξατο *cett.*

6. πᾶς *cod. Rhedig., et cod. Ien. cum rasura. Cornarii versio:* Totus enim divinus sermo *cett. Editi habent* πῶς.

7. *Editi* τούτῳ.

8. ἀγωνιεύσαντος *editi.*

9. *Libri vulgo* σωτηρίαν.

guttae sanguinis decidentes in terram: et apparuit angelus domini confortans ipsum. Ex quo vocularum isti captatores, velut occasionem adversus inimicum nacti, ac gestientes et exultantes ita nos oppugnant: Videsne etiam opus illi fuisse ut ab angelis corroboraretur? Corroboravit enim illum angelus, cum in anxietate illa versaretur. Neque vident, nisi haec omnia Christus suscepisset, nisi haec ipsa verba, *Non mea voluntas, sed tua,* usurpasset, nisi angorem illum animi subiisset, ac nisi denique sudorem e corpore distillasset, totum illud assumptae carnis mysterium nihil praeter opinionem ac speciem habiturum fuisse, adeoque Manichaeorum et Marcionistarum larvam illam et adumbratam imaginem, quam de incarnatione praedicant, haud absurdam futuram, neque quidquam in incarnatione ipsa visum iri ex rei veritate gestum. Quamobrem Christus dominus, ut vitam nostram ac salutem muniret, omnia illa singulari providentiae suae gubernatione suscepit, et ex humano affectu non simulate, sed bona fide, disseruit. Veluti, *Non mea voluntas,* ut carnem revera subsistere doceret, ac tam eos refelleret qui humanam illum mentem habuisse negarent quam qui carnem detraherent. Quam enim admirabiliter divinus sermo in filiorum caliginis medio consistens eorum tenebras redarguit, ac veritatis filios illustrat! Animadverte enim quam multa in illa oratione commoda sint. Primum ab iis, quae corporis expertia sunt, manere sudor non potest. Quare hoc ipso, quod sudore diffluxit, veram esse carnem ostendit, non carnis speciem cum divinitate coniunctae. Ad haec sine anima ac mente angor et anxietas esse non potest. Quo cum ille sit affectus, declaravit anima se pariter et corpore ac mente fuisse praeditum, unde ille angor existit. Praeterea his ipsis verbis, *Non mea voluntas, sed tua* etc. humanam sibi mentem inesse comprobavit, sed a peccatis immunem. Siquidem ipsius divinitas perpetuo in patre, et pater in filio, et filius in spiritu sancto perfecte omnia complectitur; neque quidquam filii a patre sensus et voluntas dissidet, neque patris a filio, nec ab utroque spiritus sancti. Nam si filius ea velit quae non vult pater, nihil in eo praeter nudam hominis naturam inesse statuemus, eiusmodique illum voluntate patris, quod eo longe sit inferior, extitisse. Verum absit a nobis ut hoc ita se habere credamus. Nam quod ex humano quaedam affectu ab illo pronuntiata sunt, ad veritatem incarnationis et perfectam humanae naturae conditionem demonstrandam pertinent, suis ut omnibus numeris absolutam nobis salutem afferret, neve dum alia pro aliis animo concipimus, a veritate longius aberraremus.

Κεφ. ξβ'. *Περὶ δὲ τοῦ ὑπὸ ἀγγέλων αὐτὸν θεωρηθῆναι ἐνισχυόμενον, καὶ τί τούτου κυριώτερον; τί δὲ τούτου ἀναγκαιότερον; ἰδοὺ γὰρ εὑρήκαμεν πληρούμενον τὸ ῥητὸν τῆς μεγάλης ᾠδῆς, τῆς παρὰ Μωϋσεῖ γεγραμμένης, ὅπου λέγει, Προςδοκάσθω ὡς ὑετὸς τὸ ἀπόφθεγμά μου. Καὶ μετ' οὐ πολλὰ εἰπὼν πάλιν φησὶ, Προςκυνησάτωσαν αὐτῷ πάντες [1]υἱοὶ θεοῦ, καὶ ἐνισχυσάτωσαν αὐτῷ [2]πάντες ἄγγελοι θεοῦ· οὐχ ἵνα δῶσιν αὐτῷ ἰσχὺν οἱ ἄγγελοι (οὐ γὰρ ἐπεδέετο τῆς τῶν ἀγγέλων ἐνισχύσεως), ἀλλ' ἐνισχύσωσιν αὐτῷ, τουτέστιν ἀποδόντες αὐτῷ τὸ ἴδιον τῆς ἰσχύος αὐτοῦ ὁμολογήσαντες. Καὶ γὰρ καὶ ἡμεῖς ἀσθενεῖς ὄντες πολλάκις θεὸν ηὐλογήσαμεν, πολλάκις θεὸν ἐνισχύσαμεν, οὐχ ὅτι θεὸς ἐπιδέεται τῆς ἡμῶν εὐλογίας, ἀλλ' ὁμολογοῦντες αὐτοῦ τὸ τῆς εὐλογίας κράτος, καὶ διὰ λεπτολογίας ἐροῦμεν, Σή ἐστιν ἡ δύναμις, σὸν τὸ κράτος, σή ἐστιν ἡ τιμὴ, σή ἐστιν ἡ δόξα, σή ἐστιν ἡ εὐλογία, σή ἐστιν ἡ ἰσχὺς, σή ἐστιν ἡ δύναμις. Μὴ ἡμεῖς ἰσχὺν παρέχομεν τῷ θεῷ ἐὰν εἴπωμεν, Σή ἐστιν ἰσχὺς, σή ἐστιν ἡ δύναμις, σή ἐστιν ἡ εὐλογία; μὴ ἡμεῖς δύναμιν αὐτῷ δεδώκαμεν; μὴ ἡμεῖς τὸν θεὸν εὐλογήσαμεν; ἀλλ' ἐνισχύσαντες καὶ ἐνδυναμώσαντες θεοῦ τὴν δύναμιν ὡμολογήσαμεν, καὶ θεῷ τὴν ἰσχὺν ἀποδεδώκαμεν. Οὕτω καὶ ὁ ἄγγελος κατ' ἐκείνην τὴν ὥραν θαυμάσας καὶ ἐκπληττόμενος τὴν ὑπερβο-*

pag. 767. *λὴν τῆς τοῦ ἰδίου δεσπότου φιλανθρωπίας, ὅτι θεὸς ὢν, καὶ σὺν πατρὶ προςκυνούμενος ἐν οὐρανῷ, καὶ θεραπευόμενος ὑπὸ ἰδίων ἀγγέλων αὐτοῦ, εἰς τοσοῦτον ὑπέμεινεν ἰδίᾳ βουλήσει ἑκουσίως ἐλθεῖν καὶ ἐνδύσασθαι σάρκα. Καὶ οὐ μόνον, ἀλλὰ καὶ ἄχρι τοῦ παθεῖν ὑπὲρ τοῦ ἰδίου πλάσματος τῆς ἀνθρωπείας φύσεως, ὑπομένει, [3]καὶ ἄχρι σταυροῦ παραδοθῆναι, γευσάμενός τε θανάτου, θανάτου δὲ σταυροῦ, ὅπως δι' αὐτοῦ τρόπαιον μὲν κατὰ τοῦ θανάτου ἡ ἀνθρωπότης λάβοι, καταργήσῃ δὲ τὸν τὸ κράτος ἔχοντα τοῦ θανάτου, τουτέστι τὸν διάβολον, καὶ θριαμβεύσῃ πᾶσαν ἀρχὴν καὶ ἐξουσίαν. Διὸ καὶ θαυμάζων καὶ ἐκπληττόμενος ὁ ἄγγελος ἔλεγεν αὐτῷ, δοξολογῶν καὶ εὐφημῶν τὸν ἴδιον δεσπότην ἐπὶ τῷ τοιούτῳ σκάμματι καὶ παραδοξοποιίᾳ ἑστῶτα, ὅτι, Σή ἐστιν ἡ προςκύνησις, σόν ἐστι τὸ κράτος, σή ἐστιν ἡ δύναμις, σή ἐστιν ἡ ἰσχὺς, ἵνα πληρώσῃ τὸ παρὰ Μωϋσεῖ γεγραμμένον, ὅτι, Ἐνισχυσάτωσαν αὐτῷ πάντες ἄγγελοι θεοῦ. Καὶ ὁρᾶτε, [4]Χριστοῦ θεράποντες καὶ υἱοὶ τῆς ἁγίας τοῦ θεοῦ ἐκκλησίας καὶ ὀρθοδόξου πίστεως, ὅτι οὐδὲν ἐν τῇ θείᾳ [5]γραφῇ σκολιὸν, οὐδὲ στραγγαλιῶδες, ἀλλὰ τὰ πάντα θαυμασίως εἰς τὴν ἡμετέραν σωτηρίαν γέγραπται, καὶ τετελείωται. Οἱ δὲ προειρημένοι ἐν ἔχθρᾳ ὄντες πρὸς τὸν μονογενῆ υἱὸν τοῦ θεοῦ, καὶ πρὸς τὸ ἅγιον πνεῦμα, πάντα ὡς ἐχθροὶ διανοοῦνταί τε καὶ σοφίζονται. Ἡμῖν δὲ μὴ γένοιτο [6]ἀνθρωπίνοις σοφίσμασι προςανέχειν, ἀλλ'*

Cap. LXII. — 1. υἱοῦ *vitium est ed. Petav.* 2. πάντες *non habet cod. Rhedig.* 3. δὲ *cod. Rhedig.*

Quod autem ab angelis confirmatus visus est, quid maioris mo- Cap. LXII.
menti, quidve necessarium magis illo ipso fieri potuit? Hoc enim
modo illud ex magno Moysis cantico completum videmus, *Expectetur* Deut. 32, 2.
ut pluvia eloquium meum. Tum interiectis plerisque, *Adorent,* in- Ibid. 43.
quit, *ipsum omnes filii dei, et confortent ipsum omnes angeli dei.*
Non ut fortitudinem illi ac robur adiiciant. Neque enim illorum
confirmatione opus habebat, sed confortent, inquit, ipsum, hoc est,
reddant ei vim suam ac fortitudinem acceptam illi referant. Nam
et nos infirmi et imbecilles deo saepe numero benedicimus, saepe
illi robur tribuimus. Non quod benedictione nostra deus indigeat,
sed ut expressam illa benedictione potestatem inesse in illo confitea-
mur. Hinc singillatim ita praedicamus: *Tua est virtus, tua poten-* 1. Par. 29, 11.
tia, tuus est honor, tua est gloria, tua est benedictio, tua est for-
titudo, tua est vis. Num igitur deo fortitudinem tribuimus, cum ita
dicimus: *Tua est fortitudo, tua est virtus, tua est benedictio?* Num
virtutem nos illi conferimus? num deo benedicimus? Sed nimirum
commemorando illa robore ac fortitudine divinam vim praedicando
confitemur, ac deo fortitudinem adscribimus. Eodem igitur modo
angelus per illud tempus excellentem domini sui adversus homines
benignitatem admirans, et obstupescens, quod cum deus esset, et
cum patre adoraretur in coelo, atque ab angelis suis observaretur,
eo usque abiicere se sua sponte voluisset, ut ad haec descende-
ret, ac carnem indueret; neque hoc tantum, sed vel opificii sui
caussa, hoc est hominis, cruciatus perpeti et in cruce suffigi non
dubitaret, ac mortem degustaret, *mortem autem crucis,* ut per Philipp. 2, 8.
ipsum homo trophaeum de morte statueret, *eumque qui mortis im-* Hebr. 2, 14.
perium obtinebat, diabolum videlicet, aboleret, ac principatum omnem Col. 2, 15.
et potestatem velut in triumpho traduceret. Quare angelus ille ad-
miratione ac stupore perculsus, et dominum suum collaudans ac
praedicans, qui in tali scammate et ad tam inusitatum opus, velut
in procinctu steterat, sic illum compellat: *Tua est adoratio, tuum* 1. Paral. 29, 11.
imperium, tua virtus, tua fortitudo, ut quod a Moyse scriptum est
impleret, *Confortent ipsum omnes angeli dei.* Videte itaque Chri-
sti famuli, ac sanctae dei ecclesiae, et orthodoxae religionis filii,
quam nihil in scriptura perplexum ac flexuosum sit: sed omnia ad
nostram salutem scripta sint admirabiliter et perfecte. At isti unici
dei filii et sancti spiritus inimici nihil non hostili animo cogitant,
callideque moliuntur. Absit vero ut nos animum commentis ho-
minum adhibeamus; quin potius dominum nostrum firmata corro-

4. θεοῦ *cod. Rhedig.*
5. στραφῇ *cod. Rhedig. Et in cod. Ien. legere ita aliquis possit.*
6. τὸ ἀνθρωπίνοις *cod. Rhedig.*

ἔχειν τὸν ἑαυτῶν νοῦν ἐῤῥωμένον, ὅπως τὸν μὲν ἡμῶν δεσπότην δοξάσωμεν, μηδὲν δέ τι ἠλαττωμένον ἐν αὐτῷ διανοηθῶμεν. Εἰ γὰρ ὁ τὰ πάντα ἐλθὼν σῶσαι ἔχει ἐλαττώματός τι ἐν [7] *αὐτῷ, πῶς σωθήσεται ἡ κτίσις ἀπὸ τῶν ἰδίων ἐλαττωμάτων;*

Κεφ. ξγ'. *Πάλιν δὲ ἐπιλαμβάνονται ὥςπερ ἀντίδικοι (καὶ γάρ εἰσι Ἰουδαϊκῷ φρονήματι ἐγκείμενοι, καὶ μηδὲν ἐκείνων διαλλάττοντες, πλὴν τοῦ ὀνόματος μόνον), οἱ πάλιν ἡμῖν ἐπιφύοντες νέοι Ἰουδαῖοι, ζητοῦντες κατὰ τοῦ σωτῆρος λέξεις τινὰς, ὅπως παγιδεύσωσιν αὐτὸν ἐν λόγῳ, καθὼς ἔφη τὸ ἅγιον εὐαγγέλιον, καί φασι, Ἔλεγεν ἐν τῷ σταυρῷ, Ἠλὶ, ἠλὶ,* [1] *λημᾶ σαβαχθανὶ, τουτέστι Θεέ μου, θεέ μου, ἵνα τί με ἐγκατέλιπες; καὶ ὁρᾷς, φασὶν, οἰκτρῶς αὐτὸν παρακαλοῦντα καὶ ἀποδυρόμενον, καὶ λέγοντα, Ἵνα τί με ἐγκατέλιπες; καὶ οὐκ ἴσασιν οἱ ἀπὸ*

pag. 768. *τοῦ δηλητηρίου τούτου τῆς τοῦ Ἀρείου* [2] *μανίας καρηβαροῦντες, καὶ τῇ διανοίᾳ τῆς τοῦ θεοῦ γνώσεως λειπόμενοι, ὅτι δεῖ τὰ ἀνθρωποπαθῆ πάντα ἐν τῷ κυρίῳ ὁμολογεῖσθαι ἐν τῇ ἐνσάρκῳ αὐτοῦ ἀληθινῇ παρουσίᾳ. Καὶ πρῶτον μὲν τὰ περὶ αὐτοῦ ὡς φρονοῦσιν, ἀπὸ ἑτέρων εἰς ἕτερα μεταπηδῶντες ἐπιλανθάνονται, μίαν μὴ ἔχοντες κατάστασιν. Πῶς γὰρ δύνανται οἱ τῇ διανοίᾳ μὴ σωφρονοῦντες; ποτὲ μὲν γὰρ λέγειν σωτῆρα βούλονται αὐτὸν καὶ κύριον καὶ Χριστὸν, καὶ πρὸ πάντων αἰώνων, καὶ δεσπότην ἀγγέλων, καὶ ἀρχαγγέλων, δι' οὗ τὰ ὅλα γεγένηται, Ἀρχαί τε καὶ Ἐξουσίαι, ἄγγελοί τε καὶ ἀρχάγγελοι, οὐρανοὶ, καὶ τὰ πάντα, γῆ τε καὶ πάντες ἄνθρωποι, καὶ πάντα τὰ ἐπὶ γῆς, θάλασσά τε καὶ τὰ ἐν αὐτῇ· καὶ ὢ πολλῆς ἠλιθιότητος τῶν τὰ τοιαῦτα περὶ αὐτοῦ δοξαζόντων, καὶ ἐνταῦθα μὴ νοούντων ὅτι οὐ δύναται ὁ πρὸ τῶν αἰώνων κατὰ τὴν αὐτοῦ θεότητα, δι' οὗ ὁ οὐρανὸς καὶ γῆ γεγένηται, ἄγγελοί τε καὶ ἀρχάγγελοι, καὶ ἁπαξαπλῶς τὰ σύμπαντα, ὁρατά τε καὶ ἀόρατα, ταύτην τὴν φωνὴν ἐκ προσώπου τῆς αὐτοῦ θεότητος λέγειν, Θεέ μου, θεέ μου, ἵνα τί με ἐγκατέλιπες; πότε γὰρ ἐγκατελείφθη υἱὸς ἀπὸ πατρὸς, πότε δὲ οὐχ ὁ υἱὸς ἐν τῷ πατρὶ, καὶ ὁ πατὴρ ἐν υἱῷ; ἐπὶ γῆς μὲν γὰρ ὁ υἱὸς καὶ ὁ θεὸς λόγος βεβήκει, οὐρανοῦ δὲ ἥπτετο, καὶ πάντες ἐχθροὶ ἐπληροῦντο τῆς αὐτοῦ δόξης. Καὶ ἐν Μαρίᾳ ἐτύγχανε, καὶ ἄνθρωπος ἐγένετο, ἀλλὰ τῇ δυνάμει αὐτοῦ ἐπλήρου τὰ σύμπαντα. Πῶς οὖν ὁ τοιοῦτος καὶ τηλικοῦτος κατὰ τὴν αὐτοῦ θεότητα οἰκτρῶς ἔλεγεν, Ἠλὶ, ἠλὶ* [3] *λημᾶ σαβαχθανὶ, τουτέστι Θεέ μου, θεέ μου, ἵνα τί ἐγκατέλιπές με; καί τοι αὐτοῦ λέγοντος, Πάλιν ἀπέρχομαι, καὶ οὐκ ἀφίω ὑμᾶς ὀρφανοὺς, ἀλλ' ἔρχομαι πρὸς ὑμᾶς. Καὶ πάλιν ἑτέρῳ τόπῳ λέγει, Ἀμὴν λέγω ὑμῖν, πάντες*

7. αὐτῷ *codd. mss.* ἑαυτῷ *editi.*

Cap. LXIII. — 1. λημᾶς ἀβαχθανὶ (ἀναχθανὶ *cod. Rhedig.*) *codd. mss.* λημᾶ σαβαχθάνι *ed. Pelav.*

2. μανείας *codd. mss. et ed. princ.*

3. λημᾶς ἀβαχθανὶ (ἀναχθανὶ *cod. Rhedig.*) *codd. mss.*

borataque mente celebremus, nec in eo mancum aliquid esse suspicemur. Nam si is, qui ad repraesentandum omnium salutem advenit, vel minimum in se defectum habet, quinam a suis defectibus vindicari creatura poterit?

